
ACADEMIA SCIENTIARVM GERMANICA
BEROLINENSIS

BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

EDITA CONSILIO ATQVE AVCTORITATE
INSTITVTI
GRAECOROMANAE ANTIQVITATIS
STVDIIS COLENDIS DESTINATI



LIPSIAE IN AEDIBVS B.G.TEVBNERI MCMLXVIII


ARETHAE
ARCHIEPISCOPI CAESARIENSIS
SCRIPTA MINORA

VOL. I

RECENSVIT

L. G. WESTERINK

ACCEDIT TABVLA



LIPSIAE IN AEDIBVS B.G.TEVBNERI MCMLXVIII

BIBLIOTHECAE TEVBNERIANAE
HVIVS TEMPORIS
REDACTOR: JOHANNES IRMSCHER

HOC VOLVMEN IMPRIMENDVM
CVRAVIT
KVRT TREV

ES 7M

VLN 294 375/67/68

PRINTED IN THE GERMAN DEMOCRATIC REPVBLIC

LIPSIAE: TYPIS B. G. TEVBNERI (III/18/154)

HOC VOLVMINE CONTINENTVR

PRAEFATIO

I. DE CODICE MOSQVENSI

Arethae opuscula quae hoc volumine comprehenduntur servavit codex Mosquensis, pleraque solus. est codex **M** Musei Historici gr. 315 (olim S. Synodi, Matthaei CCCII, Vladimir 441)[1]), chart. s. XVI ex. a Maximo Margunio scriptus, ff. 439 (I, 1–258, 260–389, 400–445, I–IV), 21,5×16 cm., quo continentur haec:

ff. 1^{r}–13^{v} Leonis philosophi et medici *Σύνοψις ἰατρικῆς* (F. Z. Ermerins, Anecdota medica Graeca, Lugduni Bat. 1840, 79–275); 1^{r}–2^{r} index capitum, 2^{v} nota Dosithei (v. infra p. XIII), 3^{r}–13^{v} textus, 14–15 vac.

ff. 16^{r}–129^{r} Arethae opuscula; 27^{r}–30^{v}, 48^{v}–49^{r}, 129^{v}–134^{v} vac.

ff. 135^{r}–159^{r} Barlaami epistulae 1–3 (ex Marc. gr. 332 ff. 96^{r}–140^{v}; Barlaam Calabro, Epistole greche, ed. G. Schirò, Palermo 1954, 229–314); ff. 159^{v}–160^{v} vac.

ff. 161^{r}–251^{v} Demetrii Cydonis *Περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος πρός τινα τῶν φίλων ἐρόμενον περὶ τούτου.* inc. *Προοίμιον. Ἐπὶ πολλῶν τῆς σῆς φιλομαθείας,* des. *ὥσπερ ἐν ταῖς νόσοις τοῖς ἰατροῖς* (ex Marc. gr. 157 ff. 79^{r}–226^{v}; cf. G. Mercati, Notizie di Procoro e Demetrio Cidone etc., Città del Vaticano 1931,7 1–72); 251^{v} post textum nota Maximi Margunii de Cydone.

ff. 252^{r}–255^{r} Manuelis Chrysolorae *Ὅτι καὶ ἐκ τοῦ υἱοῦ τὸ ἅγιον ἐκπορεύεται πνεῦμα.* inc. *Τοῦτο δὲ καὶ ἐξ*

---

1) De codice post Matthaei et Vladimir disseruerunt Gebhardt/Dobschütz p. XXXVIII, Kougeas 28–33, Compernass[4] 3–8, Šangin[1] 228–230, Karlin-Hayter[1] 273–275, J. Darrouzès, Inventaire des épistoliers byzantins du Xe siècle, Rev. ét. byz. 18, 1960, 115–117.

ἀναντιρρήτων λόγων δῆλόν ἐστιν, des. *παρ᾽ ἧς καὶ τὰς ἀρχαίας συνόδους εὕρηται βεβαιουμένους* (ex Marc. gr. 157 ff. 233^{v}–238^{v}; cf. E. Caudal, Opus ineditum Nili Cabasilae de Spiritus Sancti processione contra Lat., Or. Chr. Per. 9, 1943, 245–306); 252^{r} mg. int. nota Maximi qua indicat se consulto recidisse testimonia a Chrysolora praemissa (Marc. gr. 157 ff. 227^{r}–233^{v}); ib. mg. sup. nota recentior (v. infra); 253^{r-v} vac. propter chartam vitiosam; 255^{v} usque ad 256^{v} vac.

ff. 257^{r}–290^{v} Barlaami *Λογιστικὴ πραγματεία* (ex Marc. gr. 332 ff. 1^{r}–61^{r}; Barlaami monachi logistica ed. J. Chambero, Paris. 1600).

ff. 290^{v}–294^{r} – *Ἀριθμητικὴ ἀπόδειξις τῶν γραμμικῶς ἐν τῷ* $\bar{\beta}^{\omega}$ *τῶν Στοιχείων ἀποδειχθέντων* (ex Marc. gr. 332 ff. 61^{v}–67^{r}; Euclidis opera, ed. Heiberg, vol. V, Lipsiae 1888, 725–738).

ff. 294^{r}–296^{v} – *Ἐξήγησις εἰς τὸν περὶ τοῦ πάσχα τῶν ἀποστόλων κανόνα καὶ περὶ τοῦ γενομένου ὑπὸ τῶν πατέρων κανόνος πρὸς τὴν καθ᾽ ἕκαστον ἔτος τοῦ πάσχα εὕρεσιν.* inc. *Τὸν παρόντα κανόνα ἐξηγήσασθαι,* des. *τῷ ἀποστολικῷ νόμῳ συμβαίνει* (ex Marc. gr. 332 ff. 67^{r}–71^{v}).

f. 297^{r-v} *Τὰ ὑπό τινων προστεθέντα κεφάλαια ταῖς τρισὶ τελευταίαις ἐπιγραφαῖς τοῦ τρίτου τῶν Ἁρμονικῶν Πτολεμαίου, κατὰ τίνας ἂν πρώτους ἀριθμοὺς παραβληθεῖεν οἱ τοῦ τελείου συστήματος ἑστῶτες φθόγγοι ταῖς πρώταις τῶν ἐν τῷ κόσμῳ σφαίραις* (ex Marc. gr. 332 ff. 73^{r}–74^{v}; I. Düring, Die Harmonielehre des Klaudios Ptolemaios, Göteborg 1930, 109,8–111,14).

ff. 297^{v}–303^{v} Barlaami *Ἀνασκευὴ εἰς τὰ προστεθέντα τρία κεφάλαια ταῖς τελευταίαις ἐπιγραφαῖς τοῦ τρίτου τῶν τοῦ Πτολεμαίου Ἁρμονικῶν* (ex Marc. gr. 332 ff. 74^{v}–85^{r}; Düring 112,1–121,21).

ff. 303^{v}–307^{v} – epistulae 4–8 (ex Marc. gr. 332 ff. 85^{r} usque ad 92^{v}; Schirò pp. 315–328).

ff. 307ᵛ–309ʳ – *Περὶ τοῦ πῶς δεῖ ἐκ τῆς μαθηματικῆς τοῦ Πτολεμαίου συντάξεως ἐπιλογίζεσθαι ἡλιακὴν ἔκλειψιν.* inc. *Αἱ μὲν αἰτίαι καὶ αἱ πρῶται ἀρχαί,* des. *ἀπέχουσαν τῆς ἰσημερινῆς δύσεως ὡς πρὸς μεσημβρίαν μοίρας οζ´* (ex Marc. gr. 332 ff. 142ʳ–145ᵛ).

ff. 309ᵛ–312ᵛ – *Ἀκριβέστερον περὶ τοῦ αὐτοῦ, πῶς δεῖ ἐκ τῆς μαθηματικῆς τοῦ Πτολεμαίου συντάξεως ἐπιλογίζεσθαι ἡλιακὴν ἔκλειψιν.* inc. *Αἱ μὲν αἰτίαι καὶ αἱ πρῶται ἀρχαί,* des. *μεταξὺ θερινῆς ἀνατολῆς καὶ ἀπαρκτίου* (ex Marc. gr. 332 ff. 146ʳ–152ᵛ).

f. 313ʳ nota de defectu solis. inc. *'Ιστέον ὅτι περιέχουσι* des. *πρὸ μεσημβρίας μιᾶς ἡμέρας ξ̅ξ̅ ιδ´ κη´´* (ex Marc. gr. 332 f. 153ʳ). 313ᵛ–315ᵛ vac.

f. 316ʳ nota Margunii (v. infra).

ff. 317ʳ–321ᵛ Nicephori Gregorae *Περὶ τοῦ μὴ δεῖν ἀκαίρως καὶ ἀπερισκέπτως θεολογεῖν κατ᾽ ἐξουσίαν τοὺς βουλομένους, καὶ κατὰ Λατίνων* (= Byz. hist. X 8,2; ed. Bonn. I 502,10 – 520,1; PG 148, 704 B11 – 721 B20). 318ᵛ mg. inf. excerptum ex eiusdem encomio in Constantinum imp.

ff. 321ᵛ–327ʳ – *Λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου.* inc. *Ἐμοὶ δὲ τῶν ζωγράφων ἐκείνους πολλάκις ἐπῄει θαυμάζειν.* des. *λιμὴν γαληνὸς καὶ σωτήριος, εἰς δόξαν . . .* (cf. R. Guilland, Essai sur N. G., Paris 1926, XXXIII; 171–172; Bibl. hagiogr. Gr.³ 1092n).

ff. 327ʳ–328ʳ – excerpta, sub his titulis: 327ʳ *Ἀνεγνώσθη παρ᾽ ἡμῶν τοῦ αὐτοῦ Γρηγορᾶ λόγος εἰς τοὺς ἁγίους τρεῖς μεγάλους μάρτυρας, Δημήτριον, Γεώργιον καὶ Θεόδωρον τὸν στρατηλάτην* (Guilland XXXIV; 192). *καὶ ἕτερος τοῦ αὐτοῦ εἰς τὸν ἅγιον Ἀντώνιον πατριάρχην Κωνστατινουπόλεως, τὸν κτήτορα τῆς μονῆς τοῦ Καλλέως* (Guilland XXXI; 174–175). *ἐν ᾧ ταυτὶ παρεσημειώσαμεν.* 327ᵛ *Ἐκλογή τις ἐκ τοῦ πονηθέντος τῷ αὐτῷ Γρηγορᾷ λόγου καὶ ἐγκωμίου εἰς Κωνσταντῖνον τὸν βασιλέα* (Guilland XXXII; 190–192). 328ʳ *Ἀνεγνώσθη τοῦ αὐτοῦ Γρηγορᾶ λόγος, ἐν*

ᾧ βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεράρχου Ποντοηρακλείας, συγγραφεὶς παρὰ τοῦ σοφωτάτου κῦρ Νικηφόρου τοῦ Γρηγορᾶ τοῦ καὶ ἀνεψιοῦ αὐτοῦ, ἀτελής, εὐφραδέστατος μέντοι καὶ πολὺ τὸ γλαφυρὸν συνεπιφερόμενος (v. infra ff. 341ʳ–351ᵛ). 329ʳ–330ᵛ vac.

ff. 331ʳ–334ᵛ – epistula 16 Bezdeki, Ephemeris Dacoromana 2, 1924, 303–311 (= Guilland ep. 155), inc. mut. p. 305, 24 *βίβλους. ἐξεῖναι δ' οὐχ ἧττον.*

f. 334ᵛ (nota) *Ἀνεγνώσθη τοῦ αὐτοῦ λόγος εἰς τὴν ἁγίαν μάρτυρα Βασίλισσαν, οὗ ἀρχή· Νικομήδεια πόλις* (ed. St. Bezdech, Mélanges d'histoire générale, Cluj 1927, 78–85).

ff. 334ᵛ–339ᵛ – *Εὐχαριστήριος εἰς τὴν ὑπεραγίαν θεοτόκον κελεύσει γενόμενος τῆς βασιλίδος Εἰρήνης τῆς Καντακουζηνῆς* fine mut. (L. G. Westerink, Helikon 1967) 340ʳ–ᵛ vac.

ff. 341ʳ–351ᵛ – *Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεράρχου Ποντοηρακλείας* (V. Laurent, *Ἀρχεῖον Πόντου* 6, 1934/35, 29–63). 352ʳ–359ᵛ vac.

ff. 360ʳ–366ʳ Maximi Planudis *Εἰς τὴν θεόσωμον ταφὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὸν ἐντάφιον θρῆνον τῆς θεοτόκου* (PG 147, 985–1016).

ff. 366ᵛ–401ʳ – *Εἰς τοὺς ἁγίους ἀποστόλους Πέτρον καὶ Παῦλον* (PG 147, 1017–1112).

ff. 401ᵛ–419ᵛ – *Εἰς τὸν ἅγιον τοῦ Χριστοῦ μεγαλομάρτυρα Διομήδην* (L. G. Westerink, Analecta Bollandiana 84, 1966, 171–227).

ff. 420ʳ–440ʳ – *Βασιλικός* (L. G. Westerink, Byzantinoslavica 27, 1966, 98–103; seq.).

f. 440ʳ – *Εἰς νομοκάνωνον ὅπερ ἔγραψεν ὁ Πλανούδης, ὃς καὶ γράφει τάδε· ὁ τήνδε γράψας τὴν βίβλον γράφει τάδε· κατὰ μῆνα Ἀπρίλλιον ῑ ἐν ἔτει ,ςψϙα'* [= 1283] (M. Treu, Maximi monachi Planudis epistulae, Vratislaviae 1890, 204).

f. 440ᵛ – *Σύγκρισις χειμῶνος καὶ ἔαρος* (M. Treu, Progr. Gymn. Ohlau 1878), des. mut. 3, 13 *ἔαρος.* 441ʳ–ᵛ vac.

ff. 442^r–v^ *Ἐκ τινων ἀποσημειώσεων ὡς οἶμαι Μαξίμου τοῦ Πλανούδη.* inc. *ἡ ἀπόστροφος καὶ ἡ ψιλή,* des. *ὃς μὲν κίβδηλος ὃς δ᾽ ἀδόκιμος* (sic) *ἐστί.*

f. 442^v^ excerpta e Planudis epistulis (5, 68–71 et 46, 36–46 Treu).

ib. (nota) *Ἀνεγνώσθησαν τοῦ αὐτοῦ Μαξίμου ἐπιστολαὶ ρκα πολὺ μὲν τὸ εὐφραδὲς περιφέρουσαι, οὐδὲν μέντοι καὶ πρὸς πράγματα φέρον καὶ ὑποθέσεις τῶν ἀναγκαίων.*

ff. 442^v^–443^r^ eiusdem *Στίχοι πολιτικοί* (Boissonade, Anecdota Gr. III 461–462, carm. *α′–γ′*). 443^v^–445^v^ I–IV vac.

Fasciculi: I, 1–15 ‖ 16–23; 24–29; 30–41; 42–53; 54–65; 66–77; 78–89; 90–101; 102–113; 114–125; 126–133 ‖ 134–141; 142–149; 150–157; 158–160 (post 159 unum fol. excisum) ‖ 161–172; 173–184; 185–192; 193–204; 205–216; 217–228; 229–236; 237–248; 249–255 (f. 253 e duobus pag. mutilis conglutinatum) ‖ 256–268 (num. 259 om.); 269–280; 281–292; 293–304; 305–316 ‖ 317–330; 331–344; 345–350; 351–359 (unum fol. excisum) ‖ 360–371; 372–383; 384–405 (num. 390–399 om.); 406–417; 418–429; 430–441; 442–445, I–IV.

Officinarum signa: (1) arcuballista, Briquet 730 (a. 1590), 755 (a. 1592); (2) angelus in circulo, Briquet 667 (a. 1598); (3) agnus Paschalis in circulo (deest apud Briquet).

Diversae partes absolutae continuo in unum codicem compaginatae sunt, qui novum integumentum accepit a. 1721.

Notae ad originem et fata codicis pertinentes: f. 2^v^ *ἁλωθέντος τοῦ κατὰ τὴν κρήτην χάνδακος παρὰ τοῦ ἀχμὲτ πασιᾶ βεζύρη ἐν ἔτει τῷ σωτηρίῳ* (spat. vac. 16 litt.) *ὁ μέγας τῆς βασιλείας ἑρμηνεὺς παναγιώτης ἧκε φέρων καὶ τὴν παροῦσαν βίβλον εἰς κωνσταντινούπολιν. οὗ κοιμηθέντος ἐν τῷ κατὰ ῥεζωλάνων πολέμῳ παρὰ τὸν δάνουβιν, ἐλάβομεν ἡμεῖς πρὸς τοῖς ἄλλοις καὶ τὸ παρὸν παρὰ τῆς ἐκείνου συζύγου κυρίας περουζῆς, καὶ ἀφιερώσαμεν τῷ ἁγίῳ τάφῳ. εἴη δὲ ὑπόδικος τῷ ἀλύτῳ ἐπιτιμίῳ ὁ τοῦτο ὁπωσδήποτε τοῦ ἁγίου τάφου ἀφαιρησόμενος.* 1674 *ἐν κωνσταντινουπόλει* ╪ *ὁ ἱεροσολύμων δοσίθεος ἀποφαίνεται.* ‖ f. 252^r^ mg. sup. (m. recentiore) *ἐν ἄλλῳ, ταυτὶ τὰ κεφάλαια τοῦ νείλου εὕρηνται εἶναι, γράμμασιν δὲ τοῖς τοῦ αὐτοῦ ἦν μαξίμου γεγραμμένα, ἃ ὡς ἐκ προσώπου τῶν λατίνων προβάλλεται.* ‖ f. 316^r^ (m. Margunii) *Ἐνετίησιν, ἔκ τινος βιβλίου τοῦ ἐν τῇ βιβλιοθήκῃ τοῦ ἁγίου ἀντωνίου. ἐν ᾧ περιέχεται καί τινα τοῦ θωμᾶ μεταφρασθέντα εἰς τὴν ἑλλάδα ἐκ τῆς τῶν λατίνων παρὰ δημητρίου τοῦ κυδών(η)* ‖ nota Russica testans codicem a. 1693 a Dositheo Mosquam missum esse, quam olim vidit Matthaei (p. 199), nunc non exstat.

Codicem totum (excepto Arethae Opusc. **1**) exaratum **M^1^** esse a Maximo Margunio (c. 1549–1602) iamdudum viderat

auctor notae f. 252r adscriptae et post eum collegerat Papadopulos-Kerameus e scriptura et notulis quibusdam marginalibus Maximi nomine signatis[1]). ei oblocutus est Compernass, qui hunc Maximum voluit esse Planudem codicemque Mosquensem apographum recensionis Planudeae, sed nec cur ita putaret exponere nec specimen scripturae Margunii examinare curavit; quem errorem in lexico Paulyano latius divulgavit Wendel[2]). quin autem recte viderit Papadopulos-Kerameus, nullo modo dubitari potest inspecto uno alterove codice Margunii manu scripto, quales asservant complures bibliothecae[3]).

M² In transcribendo Aretha Margunius excepit alterum scribam (**M²**), qui opusculum **1** scripserat, id vero tam neglegenter et mendose, ut minime mireris Margunium sua manu librum ad finem perducere maluisse[4]).

Materiam huius codicis ex pluribus exemplaribus congessit Margunius. Gregorae orationes (ff. 317–359) depromptas esse ex codice monasterii S. Antonii, qui etiam quaedam opera Thomae a Demetrio Cydone Graece versa continebat, ipse admonuit (f. 316r); fit mentio eius libri

---

1) *Ἱεροσολυμιτικὴ Βιβλιοθήκη* 3, Petropoli, 1897, 267. de Margunio vide E. Legrand, Bibliographie hellénique II, Paris 1885, XXIII–LXXVII; Dict. théol. cath. IX 2039–44; P. K. Enepekides, Der Briefwechsel des Maximos Margunios, Bischof von Kythera, Jahrb. d. österr. byz. Ges. 1, 1951, 16–66; Ch. Astruc, Maxime Margounios et les recueils parisiens de sa correspondance, *Κρητικὰ Χρονικά* 3, 1949, 211–261. notae eius nomen praeferentes exstant ad p. 129, 2; 300, 10; 317, 7; item ff. 251v (*Μάξιμος ταπεινὸς ἐπίσκοπος Κυθήρων*); 252r; 372v.

2) RE s. v. Planudes, 20, 2230.

3) M. Vogel, V. Gardthausen, Die griech. Schreiber des Mittelalters u. der Renaissance, Leipzig 1909, 285–286. accedunt novem codices olim Holkhamienses, nunc Bodleiani: Ruth Barbour, Summary Description of the Greek MSS. from the Library at Holkham Hall, The Bodleian Library Record 6, 1960, 591–613. comparavi Barocc. gr. 212 f. 83v (cum subscriptione Margunii); Paris. gr. 1004, ff. 1v, 2r, 132v; Mosquenses 337 (Vlad. 252) et 420 (Vlad. 244).

4) In codd. Holkhamiensibus inter socios laborum Margunii hanc manum a me rogata quaesivit neque invenit R. Barbour, proxime tamen abesse a cod. Holkh. gr. 82, ff. 284v–288v scripsit.

in catalogo ms. bibliothecae S. Antonii[1]) quem servat Vat. lat. misc. 3960, his verbis: *27. Nicephorus gregora de Antonio patriarcha Constantinopolitano. – Eiusdem sermo de salutatione virginis. / Eiusdem vita Constantini imperatoris. – Eiusdem vita Ioannis archierarchae Ponto-eracleae. / Idem de pascate – Idem ad demetrium – Idem de sancta Basalissa. / Quaedam Divi Thomae Cydone interprete. – Quaedam divi Augustini hipponensis. / Nemesii episcopi emessae liber de natura hominis – Athanasii liber quartus contra arrhianos. / Plutarcus de vita Homeri. – Nicephori oratio, qua gratias agit beatae virgini.* in catalogo quem a. 1650 edidit Tomasini[2]) frustra quaesivi; tamen verisimile est eum etiamtunc in bibliotheca extitisse et cum ceteris perisse incendio quod a. 1687 praeclaram illam bibliothecam absumpsit. certe non repperit qui codices Gregorae recensuit R. Guilland.

Planudis orationes quae in cod. Mosquensi Gregoram sequuntur fortasse in eadem bibliotheca invenit Margunius; nam teste catalogo ms. haec amplectebatur cod. S. Antonii *216: Maximi planudis orationes, et epistulae – Sententiae excerptae ex variis poetis / Eiusdem maximi Carmina heroica.* ut multi alii codices S. Antonii, olim Pici Mirandulae videtur fuisse, inter cuius libros commemorantur Maximi Planudis orationes et epistulae in charta[3]). probabile est eodem fato quo Gregorae codicem et hunc interisse; certe quo Margunius usus est nunc non exstat, siquidem Planudis *Βασιλικός* in uno codice Mosquensi legitur[4]). fortasse non inutile erit monere notam Planudis f. 440r transcriptam non ad id exemplar pertinere, sed

1) De ea bibliotheca cf. Th. Freudenberger, Die Bibliothek des Kardinals Domenico Grimani, Hist. Jahrb. der Görres-Gesellschaft 56, 1936, 15–45.
2) J. Ph. Tomasini, Bibliothecae Venetae mss. publicae et privatae, Utini 1650, 1–20.
3) Pearl Kibre, The Library of Pico della Mirandola, New York 1936, 126.
4) Wendel in RE s. v. Planudes, 20, 2209.

ad codicem Nomocanonis Theoctisto Adrianopolis episcopo oblatum, ex quo postea in corpus scriptorum Planudis recepta est.

Barlaami epistulas et opuscula mathematica (ff. 135 usque ad 160, 257–313) e cod. Marc. gr. 332 Z. hausta esse, Cydonis et Chrysolorae tractatus (ff. 161–255) ex eiusdem bibliothecae cod. 157, docuerunt me specimina collata, ex quibus etiam quanta cura usus sit in transcribendo Margunius comperi. Leonis compendium unde profectum sit nescio; nec, quod magis doleo, de Arethae archetypo quicquam eruere potui. in litteris Margunii nulla eius mentio fieri videtur. id tantum constat, Aretham nostrum descriptum esse ex codice deperdito qui aut Venetiis aut haud procul inde exeunte s. XVI asservabatur. utrum eodem usus sit Lipomanus, postea mihi quaerendum erit.

Codicem Mosquensem scripsit Margunius non ante a. 1578, quo Venetiis domicilium locavit; vix autem ante a. 1590, propter aetatem chartarum. moriturus maximam partem librorum suorum Metochio S. Catharinae in Creta patria sua dono dedit (1602). inter eos procul dubio fuit Arethae codex, quippe qui a. 1669 Chandace capto cum aliis quibusdam libris a Panagiota Constantinopolim ablatus sit. hos mortuo Panagiota ab uxore eius acceptos Dositheus Hierosolymitanus patriarcha bibliothecae S. Sepulchri adiunxit (1674). eos qui ibi remanserunt cum ceteris codicibus Metochii S. Sepulchri recensuit Papadopulos-Kerameus[1]); Aretham ipse Dositheus Mosquam misit a. 1693.

Margunii scripturae haec maxime propria sunt: manus docta, non invenusta, sed properans atque eo minus distincta, ita ut persaepe inter se simillima sint nec discerni possint *α* et *ε*, *ε* et *η*, *ν* et *υ*, *λ* et *χ*, *η* et *ει*, -*οι* et -*ος*, -*αι* et -*ας*, -*οις* et -*ους*; orthographia tam accurata ut, si qua a nostra consuetudine discrepant, semper quaerendum

1) *Ἱεροσολυμιτικὴ Βιβλιοθήκη* 4, 102; 302 (Constantinop. S. Sepulchri 105 et 328).

sit an non ipsi Arethae ea attribui debeant; plurimi errores in scribendo facti et statim correcti, qui ad textum traditum cognoscendum nihil valent; quaedam coniecturae marginales, Margunii more signatae compendio ἴσ. post vocabulum propositum addito (semel praemittitur '*quid si*', 87, 4), quarum quinque falsae (15, 31; 87, 4; 190, 24; 316, 24; 359, 8), tres rectae (39, 31; 115, 18; 188, 5), una quae recta esse possit (34, 9).

Notarum marginalium praeter eas quibus nomen suum subscripsit paucae admodum Margunii esse videntur, nonnullas ipsum Aretham auctorem habere in aperto est (velut 102, 1; 140, 2; 193, 6; 196, 4; 307, 1; 322, 15), reliquarum quoque maximam partem eiusdem esse dixerim, sicut eas quae syntaxin explicant (cf. 129, 4).

Omnino totum hoc corpus tractatuum et epistularum (inter quas sunt excerpta quaedam ab auctore consulto selecta: **37**, **48**, et fortasse **18** et **19**) quale nunc legimus ex Arethae bibliotheca originem ducere verisimile est, exceptis opusculis **54–56**. nam libellum de anima et de incarnatione Verbi ad Nicetam (**56**) e codice singulari iam aetate detrito postea additum esse testimonio sunt fenestrae in prima pagina obviae nec non folia amissa post 346, 14 et 348, 25. scholia, vel potius invectivae, in Lucianum (**54–55**) ex aliquo codice Lucianeo accesserunt corpori opusculorum iam absoluto; is qui ea non sine labore et erroribus transcripsit, vetere exemplari, ac forsitan Arethae ipsius libro usus est, ut indicant accentus omissi, compendia perperam soluta, vocabula male divisa (336, 10–11; 19; 26; 29; 338, 22–23). contra non habeo cur credam etiam quaestiunculas exegeticas quae praecedunt (**52–53**) simili modo ex codice catenae alicuius ab Aretha suis annotationibus aucto depromptas esse, nam et in catenis quotquot vidi Arethae notulae omnes perbreves sunt et hi tractatus eadem cura traditi sunt qua ceterum corpus. illa alia vero additamenta iam ante Margunium accrevisse puto, quia vix credibile est praeter opusculo-

rum codicem etiam veterem Lucianum et alterum codicem Arethae, utrumque hodie perditum, Margunio praesto fuisse. si autem ea appendix iam in archetypo inveniebatur, sequitur Margunium in hac saltem parte ordinem opusculorum eundem servasse, quem in prioribus turbavit; etenim opusc. 2 numero λε in margine insignitum est, ceteros vero auctores codicis Mosquensis comparantes videmus Barlaamum totum transcriptum esse sed dispositione leviter mutata, Gregoram neque integrum neque eodem ordine, Planudis certe epistulas omissas esse. de Arethae opusculis a Margunio praetermissis infra videndum erit.

II. DE CETERIS SVBSIDIIS

C De codice *Cosinitsae* (Cosiphoenissae) *chart.* 1 (a. 1686), qui inter alias epistulas Arethae[1]) unam cum cod. Mosquensi communem habet (**31**), in altero volumine fusius disputabo.

A Codex *Athous Batopedii* 456 membr. s. XI in., ff. 282, 36×23 cm.[2]), continet post Chrysostomi aliorumque orationes scripta diversa de martyrio et miraculis SS. Guriae Samonae Abibi, inter quae ff. 240r–252r Arethae opusc. **6**. in margine superiore f. 240r appicta est imago Arethae addito titulo *O ΜΕΓ(ΑC) ΑΡΕ(ΘΑC) / Ο ΠΡΩΤΟΘΡΟ (ΝΟC)*. forma loquendi aequali magis convenit quam pictori toto paene saeculo posteriori Aretha; suspicari ergo licet hanc effigiem ex alia vetustiore transcriptam esse. codices **M** et **A** ex eodem archetypo fluxisse demonstrant vitia quaedam communia (63,12; 68,21; 69,12–13; 29), rara tamen et quae iam in exemplari Arethae iussu facto

1) Edidit A. Papadopulos-Kerameus, Varia Graeca sacra, Petropoli 1909, 254–272.

2) Eustratiades and Arcadios, Catalogue of the Greek MSS. in the Library of the Monastery of Vatopedi on Mount Athos, Cambridge 1924, 91–92; K. Weitzmann, The Mandylion and Constantine Porphyrogennetos, Cahiers archéologiques 11, 1960, 163–184. de aetate codicis benigne me docuit Ch. Astruc Parisiensis, imaginem nostrae editioni insertam praestitit K. Weitzmann.

extitisse paene necesse est; nam corpus Mosquense in ipsius bibliotheca confectum esse iam vidimus et vitas martyrum Edessenorum ibidem collectas esse probabile est propter effigiem Arethae additam. paucissima vero repperi quae Arethas opus suum retractans consulto mutasse possit, qualia sunt: 64,16 *θεοσεβείας* **M**, om. **A**; 67,5 *μετασκευαζόμενος* **M**, *μετατατόμενος* **A**; 69,14 verba *σὺν – καὶ* aut in **M** inserta aut in **A** praetermissa; quae scribae errori attribuere malo propter ipsam raritatem et collatis 67,19–20, ubi verba in **A** omissa necessaria sunt ad sensum complendum. ex comparatione utriusque codicis apparet **M** et minus frequentia vitia habere et leviora, ac talia ut perraro sensus corrumpatur; quamobrem etiam in lectionibus pari bonitate fides ei habenda est. – codicem **A** recognovit corrector contemporaneus (**A**^c^), eodem exemplari puto usus (cf. 67,27). **A**^c^

Quadraginta fere annis antequam Margunius codicem Mosquensem scripsit, tria opuscula Latine versa ediderat Aloysius Lipomanus in Vitarum sanctorum priscorum patrum t. III, Venetiis 1554: pp. 96–100 Vitam Euthymii (Op. 8), 100–102 oratiunculam inscriptam 'Idem de eodem' (quam alteri volumini reservo), 102–106 Vitam sanctorum Christi martyrum Guriae, Samonae, et Abibi (Op. 6), omnia 'viro docto interprete', Euthymii vitam 'modo tantum Latinis cognitam'. satis magna licentia in interpretando ille vir doctus, quisquis fuit, usus est, ita ut non facile sit quid in Graeco legerit discernere. in op. 6 cum codd. **A** et **M** collatus fere semper cum hoc facit; sicubi cum Athoo congruit, Margunii errori lectionem codicis **M** imputare in promptu est. colligas ergo et Lipomani anonymum et Margunium ex eodem fonte hausisse; nam duas lectiones quae, solae quod sciam, huic opinioni obstare videntur, coniecturas docti interpretis esse dixerim, alteram bonam, quod 69,12–13 scripsit 'cum naturalis humor ... coarctetur ... prohibeatur' (h. e. *συναποθλιβομένης ... ἀποκλειομένης*), alteram pessimam, quod Lip.

67,5 'Sibyllas' fecit ex 'syllabis'. minus autem probabile est, cum codices horum opusculorum rarissimi sint, circa idem tempus prope Venetias duos extitisse, utrumque sine ullo vestigio interisse. quod si revera eodem usi sint, sequatur Margunium archetypum non totum transcripsisse, et praeter illam oratiunculam fortasse deperisse et alia.

III. DE RATIONE HVIVS EDITIONIS

Eorum qui ante me Aretham vel totum vel Mosquensem edere instituerunt, O. von Gebhardt, C. de Boor, S. B. Kougeas, J. Compernass, nemini contigit ut inceptum consummaret. e schedis Gebhardti, qui cod. Mosquensem iam totum descripserat[1]), nonnulla ediderunt E. von Dobschütz, G. Heinrici, Kougeas, K. D. Triantaphyllopoulos, plura ex ipso codice vel e photographis A. Papadopulos-Kerameus, Compernass, P. Karlin-Hayter, alii. itaque magna ex parte scripta minora iam typis vulgata erant, ita tamen ut per viginti fere volumina dispersa essent.

Ipse nihil hac editione egi nisi ut studiosis historiae et theologiae Byzantinae et litterarum classicarum textum integrum et fide dignum proponerem. codicem Mosquensem photographorum ope partim transcripsi, partim cum editionibus contuli, in qua re saepe utile fuit Gebhardti apographum; denique locos correctos aut lectu difficiles vere a. 1963 Mosquae recognovi, codicem totum examinavi.

Errores editionum anteriorum in apparatu non commemoravi; ubicumque vero textus meus ab edito discrepat, semel atque iterum codicem inspexisse me scito. nec mirari oportet si quando silens in textum recepi quae coniecerant editores; identidem enim sua apographa emendantes lectionem codicis inscii restituerunt.

---

1) Adservabantur nuper Marburgi (Westdeutsche Bibliothek), nunc Berolini (Staatsbibliothek der Stiftung Preussischer Kulturbesitz).

In correctionibus aut meis aut alienis recipiendis cautior fui, non quod credam textum Arethae omnino sine mendis ad nos pervenisse (secus docet cod. Athous opusculi **6**), sed quia Arethas tanta licentia in formis verborum et in constructione orationis usus est, insolentissima quaeque scriptorum veterum de industria imitando et adaugendo, ut difficillimum diiudicatu sit, ad quam legem talia exigere oporteat. plura eius generis in indiculum grammaticum congesturus nunc pauca tantum afferam exempli gratia: participia cum aliis partibus orationis ita fere coniungit ut ordo verborum penitus implicetur; dativos et nominativos absolutos vel quasi absolutos non semel admittit; ellipsi ad satietatem utitur, quo factum est ut lacunas saepe quidem statuerim, raro tamen sine dubitatione quadam, cum multa eiusmodi consilio auctoris ita facta esse, alia neglegentiae eiusdem in scribendo vel in emendando imputari possint. coniunctiones *τε* et *καί* supervacuas aliquoties deleveram, cum occurrit Aretham fortasse data opera sic scripsisse, locos quales sunt Herod. 7, 1, 2 et Plat. Phaed. 69b7 male imitantem (78, 9; 100, 31; 254, 22). sane pauca omnino menda sunt quae hoc modo non possis defendere vel certe causam eorum explicare. unde fit ut in recensendo Aretha sensus curandus sit, verba plerumque relinquenda.

De re orthographica haec habeo quae moneam:

In opusculo **1**, quod a scriba **M²** neglegentissime scriptum esse dixi, plurima tacitus ad regulam reduxi, non solita tantum, sed etiam qualia sunt *ἐπανείλοτο* (2, 11), *σφεδροτέροις* (4,18), *προσκόμψη* (5,11), *ἀλλαδικοδοξοῦντος* (5,13–14), *χρεὶρ* (6, 24), *καλλωπίςζεται* (6, 25), *κατάρχωτι* (7, 28), *τουτεῦθεν* (8, 3), *σκηρὸν σκηρῶς* (8, 4), *ἀλλ' ἀραστώνη* (9,,21), *ἐγασία* (11, 1), *φθνόνον* (11, 3).

Cetera, quippe ab optimis scribis religiose transmissa, circumspectius tractanda erant, praesertim cum ex comparatione opusculorum codice Marciano servatorum appa-

reat nonnulla quae a nostro more scribendi differunt ab Aretha ipso profecta esse, velut, *ῥιτίνη, ὑπειδόμενος, ἤτουν, ἑσμός, Ἀβραάμ, οὔμενουν, σύγγνωστος, κατάληπτος*. ea igitur servavi, nec non quae in ipso cod. Mosquensi saepius inveniuntur, ut *εἰδοίητε* 56, 29, *-οίημεν* 57, 6, *-οῖεν* 351,14, *εἰδωλολατρεία* passim. alia similia (*ἐπικήδιος* 88,14 ex corr., 88, 35, *δευτερίῳ* 95,15, *ἀνθρωπίῳ* 140,30, *πορθμίῳ* 253, 9, *ἀριστίδη* 335, 28), cum in hac re unusquisque fere librarius suo iudicio uti soleat, tacitus mutavi, itemque *ἔδοκας* 74, 8, *ὑπενδεδόκει* 284, 6, *δομάτων* 175, 29. quorundam vocabulorum duplicem formam admisi: *ἐπήβολος/ ἐπίβολος, ἐλλ(ε)ιπής, σεραφ(ε)ίμ, Μω(ϋ)σῆς*. in encliticis scribendis et vocabulis vel dirimendis vel continuandis hodiernum usum secutus sum, perinde in corrigendis accentibus quales sunt *μῦρον, ῥῖψαι, ἀγαθῦναι, ποῦς*. iota subscriptum, quod in **M** raro omittitur, haud saepe perperam apponitur (cf. tamen *δεδόχθῳ* 66,30; *δοκῷ* 60,31; 353,10) nescio an omittendum sit cum codice in dativis *Σαμωνᾶ, σατανᾶ, Θωμᾶ*, sim.

Pro compendio *ἑαῦ͂* semper *ἑαυτοῦ* scripsi; recte, ut opinor, etiam 251, 26, ubi Compernass *ἑαυτῶν* praetulerat.

Interpunctionis notas meo iure addidi aut delevi, in qua re saepissime peccat codex; ex. gr. post *χήραις* et *πενήτων* dist. 6,1–3; post *μέτρον* 96,10; post *φάναι* 129, 5; *ἄῤῥενι. οὐ ταῦτα* scr. 133, 3; post *φίλτρῳ* dist. 135, 1; post *πάντως* 150, 16; post *φίλον* 182, 15; post *τῶνδε* 184, 19; post *ἐκκλησίᾳ* non dist. 210, 6; post *ἀγαπᾶτε* dist. 240, 16; post *ἐχούσης* 270, 15; post *ἐννοίας* 310, 26.

Saepe Margunius inter scribendum se ipsum correxit; talibus apparatum onerare nolui, iis tantum receptis quae vestigium aliquod lectionis traditae seu verae seu falsae servare possint. coniecturas suas, ut iam dixi, in margine adscripsit, sed sunt et in textu aliquot correctiones quae e lectione duplici archetypi ortae esse possint, vel ex cunctatione Margunii, cum de ductibus exemplaris dubius haeserat.

Cum ab hac editione scholia Arethae exclusa sint, opusculi **55** recensionem Mosquensem solam recepi, lectiones scholiorum in Lucianum ibi tantum attuli ubi ex iis errores cod. Mosquensis corrigi possunt.

Restat ut grato animo commemorem photographa codicis Mosquensis et Gebhardti schedarum suppeditasse itinerisque mei Mosquensis sumptus fecisse Institutum Batavum Studiis Liberalibus Adiuvandis, pelliculas codicis Athoi praebuisse Institutum Francogallicum Textibus Investigandis. tum gratias debitas libenter persolvo praefectis bibliothecarum Mosquensis et Marburgensis pro copia facta, itemque omnibus qui aliquo modo mihi adfuerunt in hoc volumine conficiendo, Ch. Astruc, R. Barbour, F. Halkin, H. G. Heil, P. Karlin-Hayter, B. Kotter, B. Laourdas, V. Laurent, M. V. Ščepkina, K. Weitzmann, praesertim vero R. J. H. Jenkins, qui in plagulis emendandis multum laboris consumpsit, et amicissimo H. D. Saffrey.

EDITIONES

J. Bidez, F. Cumont, Recherches sur la tradition manuscrite de l'empereur Julien, Mémoires publiés par l'Académie Royale LVII, Brux. 1898, Appendice I, 130–138. **24**.

J. Compernass[1], Denkmäler der griechischen Volkssprache, Heft 1, Bonn 1911, 1–9. **26**.

Corr.: J.E. Kalitsunakis, Berl. Philol. Woch. 33, 1913, 982–984.

—[2], Aus dem literarischen Nachlasse des Erzbischofs Arethas von Kaisareia I, Didaskaleion 1, 1912, 295–318. **21**.

Corr.: P. Maas, A. Heisenberg, Byz. Ztsch. 22, 1913, 209–210; E. Kurtz, Kritisches und Exegetisches zu Ar. v. Kais., I, Byz. Ztschr. 24, 1923–24, 18–27.

—[3], item II et III, Didaskaleion 2, 1913, 95–100; 181 u. ad 206. **35**; **17**.

Corr.: A. Heisenberg, Byz. Ztschr. 22, 1913, 538–539; Kurtz I.

—[4], Zwei Psalmenhomilien des Arethas von Kaisareia, Studi bizantini e neoellenici 3, 1931, 1–44. **3**; **4**.

—[5], Zwei Schriften des Arethas von Kaisareia, Studi bizantini e neoellenici 7, 1935, 89–125. **41**; **27**.

O. von Gebhardt, E. von Dobschütz, Die Akten der edessenischen Bekenner, Texte und Unters. 37, 2, 1911, 210–222. **6**.

Corr.: F. Halkin, L'éloge des trois confesseurs d'Edesse par Aréthas de Césarée, Mélanges de l'Université St. Joseph Beyrouth 38, 1962, 269–276.

G. Heinrici, Zur patristischen Aporienliteratur, Abh. d. kön. sächs. Ges. d. Wiss. 75, Leipzig 1909, 841–860 (1–20). **52**; **53**.

Corr.: Kurtz II, Byz. Ztschr. 25, 1925, 19–32.

M. Jugie, Homélies mariales byzantines, III Euthymius, Patrol. Orient. 16, 3 [1922], 463–514 (39–90). **8**.

P. Karlin-Hayter[1], Texts for the Historical Study of the Vita Euthymii, Byzantion 28, 1958 (ed. 1959), 363 u. ad 389. **28**; **45–47**.

–[2], Arethas' Letter to the Emir at Damascus, Byzantion 29–30, 1959–60 (ed. 1960), 281–302. **26**.

–[3], New Arethas Texts for the Historical Study of the Vita Euthymii, Byzantion 31, 1961, 273–307. **1**; **2**.

–[4], New Arethas Documents III, Byzantion 32, 1962, 117–127. **11**; **12**.

–[5], New Arethas Documents IV, Byzantion 32, 1962, 387–487. **14**.

–[6], New Arethas Documents V, Byzantion 34, 1964, 49–67. **18**; **19**.

S. B. Kougeas: *Σ. Β. Κουγέας, Ὁ Καισαρείας Ἀρέθας καὶ τὸ ἔργον αὐτοῦ,* Athenis 1913, 114–118; 139–147. **38–40**; **43**; **17**; **32**; **51**.

A. Papadopulos-Kerameus[1], Monumenta Graeca et Latina ad historiam Photii pertinentia I, Petropoli 1899, 26–46. **3**; **5**.
Corr.: Kurtz II.

–[2], Varia Graeca sacra, Petropoli 1909, 269–270. **31**.

H. Rabe[1], Die Lukianstudien des Arethas, Nachr. v. d. kön. Ges. d. Wiss. zu Göttingen, Philol.-hist. Kl. 1903, Göttingen 1904, 643–656. **54**; **55**.
Corr.: Kurtz II.

–[2], Scholia in Lucianum, Lipsiae 1906, 71–74; 78–82. **55**; **54**.

M. A. Šangin[1], М. А. Шангин, Византийские политические деятели первой половины х в. Византийский Сборник 1945, 228–248. **21**.

–[2], Письма Арефы - новый источник о политических событиях в Византии 931–934 гг. Византийский Временник 1 (26), 1947, 236–260. **37**; **25**.

H. Schenkl, M. Antonini imp. In semet ipsum, Lipsiae 1913, XXXIX (ed. min. IX). **44**.

S. P. Šestakov[1], К истории греко-болгарских отношении в третьем десятилетии х-го века, Byzantinoslavica 1, 1929, 159–163. **31**; **36**.

—[2], (eadem disputatio emendatius impressa), Byzantinoslavica 3, 1931, 97–102. **31**; **36**.

A. Sonny, Zur Ueberlieferungsgeschichte von M. Aurelius *Εἰς ἑαυτόν*, Philologus 54, 1895, 181–183. **44**.

K. D. Triantaphyllopoulos[1]: *Κ. Δ. Τριανταφυλλόπουλος, Ἑλληνικαὶ νομικαὶ ἰδέαι ἐν τῷ Βυζαντίνῳ ποινικῷ δικαίῳ, Ἀρχεῖον Ἰδιωτικοῦ Δικαίου* 16, 1953, 151–188. **30**.

—[2], *Ἀνέκδοτος περὶ ἀσυλίας ἐπιστολὴ τοῦ Ἀρέθα πρὸς Λέοντα τὸν Σοφόν, Πελοποννησιακά* 5, 1961, 1–20. **29**.

VERSIONES

Anglicae:

Karlin-Hayter[1]: **28**; **45–47**. —[3]: **1**; **2**. —[4]: **11**; **12**. —[5]: **14**. —[6]: **18**; **19**.

Francogallica:

A. Abel, La lettre polémique „d'Aréthas" à l'émir de Damas, Byzantion 24, 1954, 343–370: **26**.

Latinae:

Anonymi apud A. Lipomanum, Vitarum sanctorum priscorum patrum, t. III, Venetiis 1554, 96–106: **8**; **6**. (saepius denuo impressa, ultimum in PG 106, 787–806; retractavit Jugie op. cit.)

Neograeca:

Triantaphyllopoulos[2]: **29**.

Russicae:

Н. Попов, Лев Мудрый, Москва 1892, 296–304: **26**.
Šangin[1]: **21**. —[2]: **37**; **25**.

SIGLA

M	Mosquensis Musei Historici gr. 315, s. XVI ex.
M¹	eius manus prior, Maximi Margunii (Opusc. 2—56)
M²	eiusdem manus altera, scribae ignoti (Opusc. 1)
A	Athous Batopedii 456, s. XI in.
A^c	idem manu aequali correctus
C	codex olim Cosinitsae chart. 1, a. 1686, teste Papadopulo-Kerameo
Lip.	A. Lipomanus, Vitae sanctorum priscorum patrum III, Venetiis 1554
Cs	Compernass
Kh	Karlin-Hayter
Pk	Papadopulos-Kerameus
Wk	Westerink
⟨ ⟩	addenda
{ }	delenda
[ ]	supplenda in spatio vacuo vel lacuna codicis
( )	compendia soluta (in marginalibus et in apparatu)
* *	lacuna in codice non indicata
ci.	coniecit
exp.	expunxit, expunctum (punctis deletum)
ind.	induxit, inductum (lineola deletum)
ins.	inseruit
s. l.	supra lineam
CAG	Commentaria in Aristotelem Graeca
CPG	Schneidewin/Leutsch, Corpus Paroemiographorum Graecorum
PG	Migne, Patrologia Graeca

Lauchert – F. Lauchert, Die Kanones der wichtigsten altkirchlichen Concilien, Freiburg i. B./Leipzig 1896

1

Ἀπολογία τῆς πρὸ τούτου ἐνστάσεως καὶ τῆς αὖθις ἀναχωρήσεως Ἀρέθα ἀρχιεπισκόπου Καισαρείας

16r

Constantinopolim reversus post m. Febr. a. 907 causas exponit, cur quarto matrimonio Leonis VI diu et acriter adversatus nunc tam subito indulgere polliceatur. non se sicut alios contemptu sacrorum canonum eo adductum esse, sed misericordia erga fratres; nam cum ipse solus fere pro recto certaret neque ulla lex nec regula vitae in ecclesia maneret, invitum se ad alteras partes transisse, unius potius salutem quam omnium desperandam esse ratum. nonnisi toto grege salvo ovem perditam a bono pastore quaeri; sibi non licuisse suum gregem sine pastore relinquere nec propter adversa quaedam munus suum deserere. sed ne in imperatorem quidem supplicem factum et lege sancire volentem ne cives suum exemplum imitarentur, acerbius agere se debuisse, cum lex martyrii potentes irritare nos vetet et patres ecclesiae saepe ius canonicum remiserint, neque id in levioribus tantummodo. si statim ab initio a pluribus adiutus esset, bonum fructum inde percipi potuisse; nunc vero divortium pervinci nec posse nec debere, sed potius S. Basilii mansuetiori rationi accedendum esse. at ne quis sibi obiciat quod fortiora remedia prius temptando pacem ecclesiae turbaverit; non sane prorsus irrita ea fuisse, cum imperator a templo Dei exclusus quid deliquerit penitus intellexerit. non enim turpe esse si omnia conatus a spe destituaris, seque, cum nec pecunia nec gratia veniam vendiderit, integra mente munera archiepiscopi repetiturum.

Oratio cum insequenti arti cohaeret, partim etiam iisdem verbis utitur; hac priore tamen laicos adloqui videtur brevi post reditum, illa episcopos paulo posterius.

1 M²—Karlin-Hayter³ 279–299 || **3** *Ἀρέθα—Καισαρείας* add. **M¹**

*Οὔτε τῶν θείων νόμων ὑπερφρονῶν, ὦ νῦν ἡμῖν συμπαρ-
όντες, οὔτε παλινῳδίαν ᾄδων, ὅπερ τινὲς διακωμῳδοῦνται
τῶν παλαιῶν ἐκ τοῦ τοῖς πρὶν δόξασι τὴν ἐναντίαν τραπέ-
σθαι· οὐ τοῦ τὰ πάντα φέρειν καὶ ἄγειν τῷ ἡμετέρῳ νεύματι
πεῖράν τισι βουλόμενοι διδόναι· μέθη γὰρ ἄντικρυς τοῦτο* 5
*καὶ μεμηνότος ἤδη λαμπρῶς, τῶν μὲν ἱερῶν κατορχεῖσθαι
καὶ κατὰ τῆς εὐσεβείας νεανιεύεσθαι, αὐτὸν δὲ ἑαυτῷ
ἀντιφθέγγεσθαι ἢ τοῖς μὴ προσοῦσιν ὡς ὑποῦσιν ἐγκαλλω-
πίζεσθαι· – ἀλλὰ τὰ μὲν ἴσως ἄλλων, οἳ μήτε θεὸν τοῦ
παντὸς ἔφορον νενομίκασι μήτε βιοῦν ἀνθρωπίνως κακῶς* 10
*ἐπανείλοντο· ἐγὼ δὲ καὶ ταῖς θείαις οὐκ ἀπειθῶν δια-
τάξεσι· – πῶς γάρ; ὃς καὶ ὑπερέπαθον τούτων καὶ οὐδενὶ
τῶν προσπεσόντων κεχείρωμαι, καίτοι γε πολλῶν μὲν
δεξιωτέρων, μυρίων δὲ τῶν ἀηδεστέρων ἡμῖν ἐπιρραξάν-
των καὶ ὧν ὑμῶν οἱ πολλοὶ μάρτυρες· ἀλλὰ τούτων* 15
*ἁπάντων (θεοῦ δὲ τὸ δῶρον) ἀνώτεροι δεδειγμένοι καὶ εἰς
ἀφρὸν ἄλλως τὸ φλεγμαῖνον τῶν πειρασμῶν διαχεθῆναι |*
16v *καὶ τῇ πέτρᾳ τῆς στερρᾶς ἡμῶν ὁμολογίας ὅση δύναμις
διηγωνισμένοι, νῦν ἥκομεν θαῦμα καὶ ἄπιστον τοῖς ὁρῶ-
σιν, ὧν διεκρινάμεθα πρώην συναγελασθησόμενοι τούτοις* 20
*καὶ τῇ μοίρᾳ τῇ ἀντιπάλῳ αὖθις συναριθμηθησόμενοι καί,
ἵν' ἐν καιρῷ τὸ τοῦ θείου Παύλου μνησθῶ, ἃ καταλύειν ἐδό-
ξαμεν ἐποικοδομήσοντες· ἀλλ' ἀπεριπτωτικῶς ταῦτα οὐδὲ
σκαιότητι γνώμης οὐδὲ φαυλότητι τρόπων, ἃ δὴ πονη-
ρῶν ἀνθρώπων ἐπιτηδεύματα ὁ ἱερὸς πάλιν ἀπεφήνατο* 25
Παῦλος, γοητικῷ μὲν ἤθει πλανώντων καὶ πλανωμένων,

22—23 Gal. 2, 18 || **24—p. 3, 2** 2 Tim. 3, 13

1 *ὦ* Kh: *ᾧ* **M** || **3** *τοῦ τοῖς* Kh: *τούτοις* **M** || **4** *τοῦ* Wk: *τὸ* **M** || **5** aut *βουλλόμενοι* aut *βουλευόμενοι* **M** | *μέθη*] *θ* dub. (*μέση* legerunt Gebhardt, Kh) | *ἄντικρυς* Wk: *ἀντικρυ* (sic) **M** || **7** *νεανιεύεσθαι·* ⌗ *αὐτὸν· αὐτὸν* (-*όν*[1] dub.) **M** || **8** *ὑποῦσιν* Wk: *ὁποσοῦσιν* (vel *ὑπ*-) **M** || **11** *διατά$\overset{ξ}{σ}$εσι* **M** || **13** *προσπεσόντων* Wk: *προπ*- **M** || **14** *δεξιωτέρων — ἐπιρραξάντων* post *ἁπάντων* (16) ins. **M**, signo ·· ordine restituto || **16** *ἀνώτεροι*] -*οι* ex -*ον* (?) **M** || **17** *φλεγμαῖνον* Kh: *φγμαῖνον* **M** | *διαχεχεθῆναι*, *χ*[1] ind., ut vid., **M** || **18** *καὶ τῇ πέτρᾳ*] leg. *πρὸς τὴν πέτραν*? || **21** *καὶ — συναριθμηθησόμενοι* in mg. sup. add. **M** || **26** *ἤθει* potius quam *ἔθει* **M**

τὴν δ' ἐπὶ τὸ χεῖρον ἑαυτοῖς αἰσχρῶς ἄγαν μηχανωμένων προκοπήν τε καὶ περιφάνειαν. ἀλλ' εἴ τί με χρὴ τὸ ἐμαυτοῦ ἀπόρρητον ἐξειπεῖν καὶ τὸ λανθάνον τέως εἰς μέσον ὑμῖν καταθέσθαι, ἔπαθον τὴν ψυχὴν πάθος τῷ ὄντι ἐπαινετὸν
5 *καὶ μακάριον· ᾐδέσθην τὸ συγγενές, τὴν ἀδελφότητα ᾤκτειρα, | ὅλος γέγονα τῆς τῶν πολλῶν σωτηρίας, οἷς οὐκ* 17r *ᾤμην περιτυχὼν τοῦ τόνου καὶ τῆς εἰς ἄγαν ἀκριβείας ὑφῆκά τι καὶ ὑπεχάλασα. ἐπεὶ γὰρ τῆς ἀκριβείας τῶν ἱερῶν ἀντεχόμενος νόμων οὐχὶ πολλοὺς εἶχον τοὺς συν-*
10 *αντιλαμβανομένους τοῦ ἔργου (καίτοι γε ἐχρῆν ἱερέας γε ὄντας καὶ τῶν θείων θεσμῶν φύλακας, ὅτι μηδὲ πάντες, τὸ τοῦ ἐμοῦ Ἰησοῦ, χωροῦσι τὸν λόγον) ἀλλὰ βραχεῖς μὲν καὶ εὐαρίθμους τὴν εὐθὺ τοῦ καλοῦ τείνοντας, τοὺς δ' ἄλλους τοῦ κυκεῶνος καὶ τῆς ἐντεῦθεν φορᾶς γενομένους ἢ*
15 *διὰ τὰ ζεύγη τῶν βοῶν τὰ νεόκτητα ἢ τὸν ἀγρὸν τὸν νεόκτητον ἤ τι τῶν ἄλλων ὅσα τὴν αἴσθησιν παίζει καὶ τῆς ἐπουρανίου πείθει καταφρονεῖν κλήσεως – ἐπεὶ τοίνυν ἡμᾶς μὲν μετανίστη καθάπερ στρουθίον ἢ ἔλαφον ἐπὶ τῶν θείων νόμων τὸ ὑψηλόν τε καὶ ἀνακεχωρηκὸς τῶν πολλῶν ὄρος*
20 *ὁ μηδὲν ταπεινὸν ἢ χαμαίζηλον λόγος πεφροντικώς, οἱ δὲ τῇ κάτω περιαγωγῇ τε καὶ τύρβῃ ἐλεεινῶς {ἀπεκάθηντο} ἤγοντο καὶ ἐφέροντο οὐδ' ἔστιν ὅσον εἰπεῖν τῷ συρφετῷ τοῦ νῦν αἰῶνος περιαντλούμενοι καὶ πρὸς τὴν ἄβυσσον | τῆς* 17v *καταγνώσεως κατασπώμενοι· τοιοῦτο γὰρ πᾶν τὸ μηδὲν*
25 *ἔχον ὃ τὴν ἐπὶ τὰ χείρω ῥοπὴν ἐπίσχει καὶ ἀνακρούσεται· – εἰ γάρ τις καὶ περιλέλειπτο τοιοῦτος τῇ μοίρᾳ τῇ ἀντιθέτῳ (περιελέλειπτο δέ· τί γὰρ οὔ;) ἀλλ' οὖν τί πρὸς τοσοῦτον ἀμητὸν εἷς ἢ καὶ δύο κατὰ τὴν τοῦ κυρίου ῥῆσιν θερίζοντες; κωφοὶ δὲ καὶ οὗτοι καὶ ἐκπεπληγμένοις*

11–12 Mt. 19, 11 || **15** Luc. 14, 18–19 || **16–17** Hebr. 3, 1 || **17–19** Ps. 10, 1; 17, 34 || **27–29** Mt. 9, 37

7 *περιτυχὼν*] *-ὼν* ex *-εῖν* **M** | *τοῦτονουκαιτῆς* **M** || **9** *ἱρῶν* **M** || **14** *τοῦ κυκεῶνος* Kh: *τοὺς κυκεῶνας* **M** || **15** *τὰ*[2]] *τὴν* ex *τὰ* **M** | *νεόκτητον*] fort. *νεώνητον* || **21** *ἀπεκάθηντο* puncto not. **M**; del. Wk ut var. lect. ad *κάθηντο* (p. 4, 1) || **25** *ἐπίσχει* Wk: *ἐπίχει* **M** || **28** *κυρίου ῥῆσιν* Gebhardt: *κυρῆσσιν* **M**

*κάθηντο ἐοικότες τὸ πλημμελὲς τῆς κινήσεως· ἡ γάρ τοι καινοτομία τῶν ἱερῶν νόμων πάντα καταβραβεύουσα τὰ ἀμείνω καὶ τοῖς ἑαυτῆς ἐπαινέταις τὸ ἀδεῶς βιοῦν τῇ ** τὸ ἁμαρτάνειν καὶ κατεκύλιεν· — ἐπεὶ τοιγαροῦν ταῦτα, καὶ ἐφ' ἑνὶ τῷ ἀτόπῳ λοιπόν, τὸ τοῦ λόγου, καὶ τἄλλα* 5 *συνεδραζόμενα κατελάμβανον, οὐκ ἤνεγκα τὸ σιγᾶν, ἀλλὰ τῶν μὲν ἅτε κηδεμονικὸς καὶ φιλάδελφος ἄγαν ὑπεραλγήσας, ὅσων τὸ πρόθυμον τῇ τοῦ συνεργοῦντος ὑπεξελύετο ἀπορίᾳ, τοὺς δὲ τῆς ἐμπληξίας οἰκτείρας καὶ τῆς ἀτάκτου φορᾶς καὶ συγχύσεως, ἑκὼν μὲν ἀλλ' οὖν γε καὶ ἄκων* 10 18ʳ *φέρων δέδωκα ἐμαυτόν, κρεῖττον ἡγησάμενος | ἑνός που ἀφειδοῦντα τῆς τῶν λοιπῶν ἐπιμελείας ἀντέχεσθαι ἢ τοῦ παντὸς τῆς ὁλοκληρίας περιεχόμενον τὸ πᾶν προσαπολλύναι κινδυνεύειν κακοβουλίᾳ νικώμενον. ἀλλὰ γὰρ οὐχ οὕτως ἔχει τὸ ἀσφαλές, ἡττᾶσθαι δὲ πέφυκεν εἰς ἀεὶ τῶν κατὰ* 15 *πλῆθος τῆς σωτηρίας ἡ τοῦ ἑνὸς ἀνθρώπου ** μείζοσι τὰ ἐλάττω τε καὶ κουφότερα, ἐπεὶ καὶ ἰατρῶν παῖδες ἀπαμαυροῦσθαι καθάπαξ τοῖς σφοδροτέροις τῶν πόνων τοὺς ἥττους καὶ πραοτέρους ἐπεσημήναντο.*

Ἥκομεν τοιγαροῦν, ἥκομεν· οὐ πάντῃ μὲν ἴσως ἐπαινε- 20 *τῶς, ἀλλὰ γὰρ τί παθεῖν ἔδει (ὃ καὶ φθάσας ὑπεῖπον) τὸν τῆς τῶν ἀδελφῶν σωτηρίας ἡττώμενον; ἆρ' οὐχὶ καὶ ἀνάθεμα ἑαυτὸν ὑπὲρ τούτων γενέσθαι κατεύξασθαι; — Παύλου καὶ τοῦτο κατόρθωμα. καὶ εἰ ἀνεπηρέαστον τὸ ποίμνιον καθειστήκει καὶ τῆς τῶν ἐφεδρευόντων μανίας ὑπέρτερον,* 25 *οὐδὲν ἂν ἐμποδὼν συμπαθεστάτῃ παραβολῇ σωτηρίῳ ἑπόμενον τὰ μὲν αὐτοῦ λιπεῖν πεποιθότως οὐδὲν τῆς ἀφ' ἑτέρων προνοίας δεόμενα, τὸ δὲ μεταδιώκειν τε καὶ μετα-*

5–6 Aristot. Phys. I 2, 185a 11–12 || **17–19** Hippocr. Aphor. 2, 46 || **22–23** Rom. 9, 3 || **26** – p. 5, 3 Luc. 15, 3–7

1 *κάθηντο* puncto not. **M**; fort. *ἀπεκάθηντο*, cf. p. 3, 21 || **3** *ἑαυτῆς* Wk: *-οῖς* **M** | *τῇ*] *τη* **M** | lac. indic. Wk; suppleas *τοῦ κρατοῦντος γνώμῃ εἰσηγουμένη κατέσπα πάντας εἰς* || **5** *τῷ* Kh: *τὸ* **M** || **6** *ἤνεγκα τὸ* Gebhardt: *ἠνέγκατο* **M** || **13** *περιεχόμενον* Wk: *περιεπόμενον* **M** || **16** lac. indic. Wk || **21** *παθῶν* (ειν supra) **M** || **24** *τοῦτο* Wk: *τούτου* **M** | *εἰ* Wk: *εἰς* **M** || **25** *τῶν* Kh: *τῷ* **M** || **26** leg. *ἂν* ⟨*ἦν*⟩ ? | *σωτηρίῳ* Wk: *-ίας* **M** || **27** *λιπεῖν* Wk: *λυπεῖν* **M**

καλεῖν τὸ πλανώμενον | καὶ οὔπω πρὶν ἀνεῖναι μέχρις ἂν 18ᵛ
αὐτὸ τοῖς λοιποῖς ἐν σταθμοῖς ⟨συγ⟩καθεῖρξαι καὶ τῷ
τῶν σῳζομένων πλήθει καταριθμῆσαι· ἐπειδὴ δὲ πᾶν
ἀπωλώλει αὐτοῖς κτίλοις καὶ ἡγεμόσιν, ἆρά γε οὐ περὶ
5 πλείστου τὴν τῶν πολλῶν σωτηρίαν τῆς τοῦ ἑνὸς θείημεν;
εἰ γὰρ ἓν θρέμμα τοσαύτης ἠξίωται φροντίδος, τοσαύτης
ἀπέλαυσε κηδεμονίας, πόσῳ μᾶλλον τὸ πᾶν σύστημα καὶ
μυριοπλασίας, ὅσῳ καὶ πλήθει τὸ ἓν ὑπερβάλλον, τῆς περὶ
αὐτὸ προμηθείας δεόμενον. ἢ καὶ ἰατρῷ σωφρονῶν τις ἐπι-
10 τιμῴη δυσωδίας τε καὶ τῆς ἄλλης ἀηδίας ἐπιεικῶς ἀναπιμ-
πλαμένῳ, ὡς ἄν τις ἡμῖν προσκόψῃ τῇ τοῦ ἑνὸς μώλωπος
παροράσει, ἐπὰν οὗτος πρὸς τὸ ἀνήκεστον ἀπεῖδεν, τῶν
ἄλλων τῆς σωτηρίας προμηθουμένοις; ἀλλ' ἀδικοδοξοῦν-
τος ὁ τρόπος. τί δαί; τοὺς ἄλλους ἀφίημι, οὓς τὸ συνεῖναι
15 τὸ σῶφρόν τε | καὶ ἔμφρον μεγάλα ὀνίνησιν· ἀλλ' οἷς ἡμᾶς 19ʳ
τὸ πνεῦμα κυρίου ἐπέστησε θρέμμασιν, ἡμῶν μελλόντων
τε καὶ βουλευομένων καὶ τὰ ἀκίχητα διωκόντων, τίς
τὴν λογικὴν ἑτοιμάσεται πόαν; τίς ἐπὶ νομὰς ἐξελάσει καὶ
τίς ἀπὸ νομῶν ἀνακαλέσει; τίς τῇ ποιμαντικῇ σύριγγι
20 κατακηλήσει ἢ τὸ συντετριμμένον ἐπιδεσμήσει ἢ τὸ πηλοῦ
περίπλεων ἀποπλυνεῖ καὶ ἀπαλλάξει {ὡς} τοῦ ἄχθους; τίς
τοῦ φορυτοῦ τὸν σηκὸν ἀπαλλάξει, ὡς μὴ ἄν τι ὑπὸ πολλῷ
τοῖς ἀρνάσι ὑπῇ ἐγκαθεύδειν; τίς τοῖς θηρίοις προσ-
πολεμήσει ἢ τοῖς ποιμαντικοῖς φύλαξι, τοῖς κατὰ κύνας
25 φημί, ἐμβριθέστερον ἐπισυρίσας ἢ καὶ αὐτὸς τῇ τοῦ λόγου
καλαύροπι τοῖς κακοῖς τῶν θρεμμάτων σπαράκταις τὸν
ὄλεθρον ἐπιστήσας; καὶ ἵν' ἔτι σεμνότερον εἴπω· τίς τοὺς
ἐν κυρίῳ υἱοὺς ἐπισκέψεται καὶ τὰ εἰκότα παιδαγωγήσει;
τίς ταῖς ἱεραῖς θυγατράσι τὸν τῆς σωφροσύνης περιάψεται
30 κόσμον καὶ τῷ ἀχράντῳ θαλάμῳ | νυμφοστολήσει; τίς 19ᵛ

17 Hom. *P* 75 (cf. CPG I 345)

2 *συγ-* add. Wk || **5** *τῆς* Wk: *τῇ* **M** || **8** *ὑπερβάλλον* Kh: *-ων* **M** || **10** *ἀηδίας* Wk: *ἰδίας* **M** || **16** *κυρίου* Wk: *ἣν* **M** (cf. p. 19, 1) || **21** *ἀποπλυνεῖ* Kh: *ἀποπλύνει* **M** | *ὡς* del. Wk (cf. l. 22) || **22** *φορυτοῦ* Kh: *φορητοῦ* **M** | *τι*] *τω* (?) **M**: *ἔτι* Jenkins | *πολλῷ*: *πηλῷ* Jenkins || **27** *ἔτι* Kh: *ἔστι* **M**

τὴν νεότητα σωφρονίσει, ταῖς χήραις εἰς ἀνενόχλητον
ἐπαρκέσει τῷ βίῳ, τῶν ὀρφανῶν πατρικῶς ἀντιλήψεται,
τῶν πενήτων τὸ ἐνδεὲς ἀναπληρώσει; τίς τοὺς ἀδελφοὺς
ἀδελφὰ προσερεῖ ἢ τοῖς γέρουσι τὴν ὧν δέονται βακτηρίαν
ἐπορέξει; τίς τοὺς ἀτάκτους ἐν τάξει θεῖται τῇ καθηκούσῃ 5
ἢ τοὺς ἀθυμοῦντας πνεύματι πραότητος παρακαλέσει ἢ
τοὺς νοσοῦντας ἰάσεται σωτηρίοις φαρμάκοις ἢ τοὺς
πενθοῦντας παραμυθήσεται; ὁρᾶτε ὅσος ὁ πόνος, ὅσος
ἡμῖν ὃς ἐποφείλεται κάματος, καὶ ὑπὲρ ὅσων ὁ ἀγὼν πρό-
κειται. εἶτα τούτων ἀφέμενος πάντων ὧν καὶ προσῆκε καὶ 10
ὑπὲρ ὧν βραβεῖα κεῖται δίκαια, ὑπὲρ ὧν ἧττόν μοι μέλει
καὶ ὅσον ὅτι μηδέ τίς με τούτοις ἐπέστησεν ἀποδιατρίψω
τὸν χρόνον καὶ πρὸς ἀέρα δέρειν τὸ πυκτεύειν καταναλ-
λώσομαι ἐξὸν ἐπιτευκτικώτερον χρῆσθαι τῷ ἀγωνίσματι;
ἀλλ' οὐδεὶς οἶμαι τῶν νοῦν ἐπαινέσεται ἐχόντων· | 15
20ʳ *τὴν μὲν γὰρ τῶν ἄλλων μὴ σῴζων οὐδεὶς ἐγκληθήσεται,*
τὴν ἑαυτοῦ δὲ πικρῶς καὶ ἀνηλεῶς καὶ ὡς οὐκ ἂν ἀνθρώ-
πινος ὑπογράψειε λόγος. κράτιστον μὲν γὰρ εἰ καὶ πάντα
τις κατορθώσειε ⟨εἰς⟩ μισθοῦ μείζονος προσθήκην· εἰ
δὲ τοῦτο ἀμήχανον, τοῖς καθ' ἑαυτοὺς ἐπαρκέσωμεν. ἀδύ- 20
νατον γὰρ ἀνθρώπους γε ὄντας ἐξ ὁμοτίμου πάντας καὶ
ἴσῃ τῇ προθυμίᾳ τῷ κρείττονι ἐπακολουθεῖν, ὅτι μηδ' ἐν
τοῖς μέλεσι τοῖς ἡμετέροις τὸ πᾶν ὀφθαλμός, οὐδὲ οὖς, οὐ
γλῶσσα, οὐ χείρ, ἕκαστος δὲ τῷ κατ' ἀξίαν χαρίσματι
καλλωπίζεται. ἐπεὶ δὲ ταῦτα, οὐκ ἄν τις ἐπαινέσειεν 25
εἰκότως διδάσκαλον δυσφοροῦντα ὅτι μὴ πᾶν αὐτῷ τὸ
ἐκτός τε καὶ τὸ ἐντὸς τοῦ παιδευτηρίου κατορθοῦν φαί-
νοιτο, ἀλλ' εἰσί τινες ἐν τοῖς ἄλλοις σκληροί τε καὶ βαρυκάρ-
διοι καὶ τῆς ἑαυτοῦ σπουδῆς τε καὶ σοφίας ἀνάξιοι, καὶ δή

13–14 1 Cor. 9, 26 (cf. CPG II 111 adn.) || **16–18** Gen. 19, 17 (cf. Bas. Ep. 217, can. 84, PG 32, 808 B 14–C 6)

1 *σωφρονίσει* Kh: *-ησει* **M** || **4** *δεόντω(αι)ν* **M** || **10** *ἀφέμενος* Wk: *ἀφεμένων* **M** || **11** *κεῖται* Wk: *κατα* **M** || **15** *τῶν* Kh: *τὸν* **M** | *ἐπαινέσεται* Wk: *ἐπενέσθαι* **M** || **19** *εἰς* add. Wk | *μείζονος προσθήκην* Kh: *μείζος προσθήην* **M** || **22** *μηδ' ἐν* Kh: *μηδὲν* **M** || **29** *καὶ*[3]] leg. *εἰ*?

γε διὰ τοῦτο | καὶ βραχεῖς τινὰς τοιούτους ἁπάντων κατ- 20ᵛ
ολιγωροίη καὶ τοῦ διδάσκειν περιΐσταιτο τὸ ἐπωφελές τε
καὶ χρήσιμον. καὶ γὰρ ἂν μικροψύχων τὸ πάθος, ἑνός τινος
ἢ καὶ δύο ἁμαρτημάτων ἀγανακτούντων τὸ πᾶν τῆς
5 σωτηρίας καταπροΐεσθαι καὶ βλάπτεσθαι μεγάλα παρα-
χωρεῖν ἐξ ἐλαχίστων τῶν αἰτιῶν ἀφορμώμενον· ὥσπερ ἂν
εἴ τις ἐν πλοίῳ διαρρέοντι κυβερνήτης καθίσας, ὅτι μὴ
πάντῃ κενόν τε καὶ ἄνικμον θαλαττίας νοτίδος τὸ τῆς νεὼς
ἔδαφος καθορᾷ, ὁ δὲ τοὺς οἴακας ἐκλιπὼν ⟨ἐῴη κα⟩ταχεῖ-
10 σθαι τὴν θάλατταν καὶ τὸ πλοῖον ὑπέραντλον φέρεσθαι· ἢ
καὶ οἱ χώραν καλλιεργοῦντες καὶ σίτῳ κατασπείροντες
εὐγενεῖ καὶ ὡραίῳ, ἐπεί τινες τῶν κόκκων ἠσθενηκότες εἰς
αἶρας μετέβαλον, τὸ πᾶν οὕτως ἐῷεν τῆς γεωργίας ἀνεπι-
μέλητον, δέον, εἰ μὲν οἷόν τε, καὶ καθαρὸν τῶν ζιζανίων
15 τὸ λήιον ἀπεργάζεσθαι, | εἰ δ' οὐχὶ πᾶσα ἀνάγκη, οὐδὲν 21ʳ
πρᾶγμα τῷ σίτῳ συναύξεσθαι τὰ ζιζάνια ἐναφιέναι, ὡς ἡ
θεάνθρωπος γλῶσσα ᾐνίξατο, εἰς τὸν παγκόσμιον θερισ-
μὸν ἐκκαθαρθησόμενα, μὴ καὶ λάθοιμεν τῷ πονηρῷ τῆς
γεωργίας καὶ τὸ χρηστὸν συναιροῦντες καὶ ἀφανίζοντες.
20 Ἄλλως τε καὶ βασιλέα τοῦτον ἑώρων, ὑπὲρ οὗ καὶ πρὸς
ὃν ὁ ἀγών, ἐπεὶ παντοῖος γενόμενος καὶ πᾶσαν πεῖραν
προσαγαγὼν οὐκ εἶχεν ἑλεῖν, πρύμναν ἀνακρουόμενον,
τὸ ᾀδόμενον, καὶ πρὸς ἱκετείαν περιφανῶς ἀποκεκλικότα,
παντοδαπῶς ἡμᾶς ὑποποιούμενον ταῖς ἐντεύξεσιν καὶ
25 πᾶσαν μὲν ἐλεεινὴν ἀφιέντα φωνὴν τὴν ἐπ' αὐτῷ μόνην
συγγνώμην αἰτοῦσαν, τοὺς δ' ἄλλους ἐπέχειν τὰ τοιαῦτα
παρεγγυώμενον· ὃ καὶ ὑποτέμνεσθαι κατεσπεύδομεν ὡς
μέγιστον ὂν εἰς ἐπίκλημα τῷ κατάρχοντι, εἴ γε τὸ τοῦ
κρείττονος ἔργον | εἰς νόμον προβαίνειν τῷ ὑπηκόῳ 21ᵛ

15–19 Mt. 13, 29–30 || **20**–p. 9, **12** = infra p. 16, 11–17, 26 ||
22 CPG II 623

2 *περιΐσταιτο* Wk: *περιϊστάντων* **M** || **7** *καθίξας* (σ supra ξ), ξ ind., **M** ||
9 *οἴακας* Kh: *οἶκας* **M** | *ἐκλιπὼν* Kh: *ἐλιπὼν* **M** | *ἐῴη κα-* add.
Wk || **18** *ἐκκαθαρθησόμεθα* (να supra θα) **M** || **21** *πᾶσαν* infra p. 16, 13: *πὰν* **M** ||
23 *ἱκετείαν* p. 16, 14: *ἵτειαν* **M** | *ἀποκεκλικότα* p. 16, 15: *ἀποβεβλι-
κότα* **M** || **25** *μόνην*] *μόνῳ* p. 16, 17 || **28** *ὂν* p. 16, 20: *ὃν* **M**

πεπίστευται. ἀλλ' οὕτω τούτου μοι διαγενομένου καὶ
ταῦτα μόνον οὐ καταπράξαντος καὶ τετελεκότος, τίνα με
εἰκός, ὦ πρὸς τῆς εἰρήνης αὐτῆς, τοὐντεῦθεν γενέσθαι;
σκληρὸν σκληρῶς φέρεσθαι; πρὸς ἀπόγνωσιν καὶ τὸ δρᾶσαί
τι τῶν ἀνηκέστων συνωθεῖν αὐτὸν ἔτι; ἀλλὰ γὰρ φείδεσθαι 5
ἀπὸ τοῦ ἔχοντος ἐξουσίαν φονεύειν καὶ ὁ σοφὸς παραινεῖ
Σολομών· καὶ ὁ τοῦ μαρτυρίου φιλάνθρωπος πάλιν θεσμὸς
μὴ πρὸς ὀργὴν πλείω τὸν τιμωρούμενον ἀναφλέγειν ἡμᾶς
ἐμπεδοῖ μηδὲ πρὸς οἷς αὐθαίρετος κεκίνηται καθ' ἡμῶν
ἤδη καὶ ἡμᾶς ἐμπαρέχειν αὐτῷ πρόφασιν ἐκείνῳ μὲν 10
μείζονος καταδίκης, ἡμῖν δὲ οὔμενουν εἴποι τις ἂν ἡλίκην
ἀπανθρωπίας, οἷς κήδεσθαι τῶν μισούντων τὸ ἱερόν τε καὶ
22ʳ θεῖον ἐπέσκηψε διδασκάλιον. | ἐν οἷς οὖν τὸ μᾶλλον ἀγριαί-
νειν μᾶλλον τῶν ἀγριαινόντων κατάγνωσις ὡς οὐχ ὑπὲρ
τοσούτων αὐτὸν ἐκβιαζομένων πρὸς τυραννικὴν ἀποκλί- 15
νειν ὠμότητα, εἴκειν ἀνάγκη, οὐκ αὐθαδίζεσθαι, καὶ
ταῦτα ἐπειδὰν σχεδὸν ἅπαντες οἱ ἀνὰ τὴν ὑπ' οὐρανὸν
ἱερεῖς τῆς ἐκείνου γεγόνασι χειρός τε καὶ τάξεως· πολλῶν
ἔχοντες καὶ ἄλλων οὐχ ὁμοίων οὐδὲ ἡττόνων ἀλλά γε δὴ
καὶ κρειττόνων μεταγωγὴν καὶ διάσκεψιν ἀπὸ τοῦ παλαιοῦ 20
ὕψους καὶ τῆς ἀρχαίας ἀκριβείας τε καὶ σεμνότητος ἐπὶ τὸ
ῥαθυμότερόν τε καὶ ὑποβεβηκὸς παρασχεῖν ὑποδείγματα,
οὐχ ὅπως σωματικῆς ἡλικίας ἢ ταῖς ἱερατικαῖς τάξεσιν
εἰσηγεῖται τὸ πρόσφορον, ἀλλ' ἤδη καὶ ἀνωτέρω τούτων
καὶ ἃ τῷ σωτηριώδει βαπτίσματι καὶ τῇ θείᾳ τελετῇ 25
ἐποφείλεται. ἀλλ' εἰ μέν, ὃ καὶ ἀρχόμενος εἶπον τοῦ λόγου,
πολλοὺς εἶχον τοῦ πόνου συλλήπτορας καὶ ἀφ' ἑστίας, ὡς
22ᵛ ἄν τις ἐρεῖ, ὃ καὶ ἀρχὴν εἰσηγησάμην ἐγώ, | τὴν ἐγχείρησιν
ἀναστέλλοντας, ὦ μακαρίας γεωργίας καὶ μακαριωτέρων
τοῦ θερισμοῦ καὶ τῆς ἅλω καὶ τῆς γλυκείας καὶ διαρκοῦς 30

5–7 Sir. 9, 13 || **7–13** cf. Greg. Naz. Or. 43, 6, PG 36, 500 D 2–5 || **27** CPG I 14; II 62

2 *καταπράξαντος* p. 16, 23: *καταπάξαντος* **M** || **5** *ἔτι* p. 16, 27: *ἐστι* **M** || **13** *οὖν τὸ μᾶλλον* p. 17, 2: *τὸν οὖν μᾶλλον* (*οὖν* s. l.) **M** || **14–15** *ὡς οὐχ ὑπὲρ τοσούτων* p. 17, 3–4: *ὡςουχιπερτοσοῦτον* **M** || **23** *ἢ* p. 17, 14: *ἢ* **M**

εἰς τὰ ταμεῖα κυρίου συγκομιδῆς τε καὶ ἀποθέσεως. ἐπειδὴ
δὲ τοῦτο κατακαυχήσασθαι τὸ πλῆθος τῶν ἐμῶν παρείλε-
το κακῶν, ἆρά γε ἐν τοῖς ἐπιεικέσι καταλεγόμενον τῷ
ἀνενδότως αἰτουμένῳ καὶ τὸ ἀδύνατον προβαλλομένῳ τοῦ
5 *ἐπιτάγματος χρόνῳ καὶ τύχης ὄγκῳ καὶ ἐξουσίᾳ τὸ*
βέβαιον προσκτησάμενον μὴ ὅσον δή τι ἐνδοῦναι, ἀλλ'
ἐπὶ τὸ χεῖρον τοῦτον προάγειν τῇ διαστάσει τοῦ συζυγίου
ἐκβιαζόμενον; τῆς αὐθαδείας. καίτοι γε οὐχ οὕτω Βασιλείῳ
τῷ πάνυ δοκοῦν, ἀλλ' ἀνθρωπίνῃ ἔσθ' ὅπῃ συγκατιόντι
10 *ἀσθενείᾳ, μεθεῖται συνεῖναι τῷ πάντως κριθέντι ὁ μὴ*
φιλοσοφεῖν οἷός τε ὢν τὰ τοιαῦτα, εὐλογωτέραις αἰτίαις
ὑπείκειν τοῖς ἱεροῖς δόγμασιν ἀνειργόμενος. |

Ἀλλ' ὀψὲ ταῦτα μεταμανθάνοντας ὑποκρούσει τυχόν τις 23r
τῶν φιλαιτίων καὶ ⟨μετὰ⟩ τόνδε τὸν τάραχον καὶ ὁπηνίκα
15 *πολλοῖς ὑπάρξαι σκανδάλου παραίτιος· λέγων μέν τι, οὐχ*
ὅσον δὲ βούλεται. καὶ πῶς γὰρ ἦν ἄλλως ἢ τὴν ἀρχιερεῦσιν
ἐνδείξασθαι μεταπρέπουσαν παρρησίαν ἢ τὸν ἐπὶ τῇ
σιωπῇ τε καὶ συνέσει τῷ μηδὲν ἀντιστῆναι τῶν πολλῶν
ἀποσκευάσασθαι ὄνειδον; τί δὲ πλέον δόξαι τῶν ἄλλων, οἳ
20 *οὐκ ἐπιεικείᾳ – ποῦ γὰρ τὸ πρὸ ταύτης αὐτοῖς ἀκριβές,*
ἵνα κἀκείνη φανῇ; – ἀλλὰ ῥαστώνῃ βίου τὸ πᾶν τε καὶ ὅλον
ἐλεεινῶς ἐκιβδήλευσαν; ἢ οὗτός γε καὶ ἀριστέα μοι δοκῶ
ἀμαθέστατα αἰτιάσασθαι ὅτι μὴ λόγον ἀλλ' ἔργον δεῖγμα
προφαίνει ἀνδρίας καὶ τῶν ἄλλων ὑπὸ τὴν πρώτην τῶν
25 *πολεμίων βοὴν αἰσχρῶς ἐκλιπόντων τὴν τάξιν αὐτὸς μένειν*
ὑπὸ τῇ ἑαυτοῦ κέκρικεν ἀσπίδι μηδ' ὅλως ταῖς τῶν ὑπεναν-
τίων ἐμβολαῖς εἴκων τε καὶ ἀνατρεπόμενος, | *ἀλλ' ἔχων* 23v
οὕτως ἁλίσκεται καὶ ὑπὸ χεῖρα γίνεται τῶν ἀντιπάλων,

8—12 Bas. Ep. 199, can. 26, PG 32, 724 C 1–4 || **15—16** cf. Plat. Reip. I 329 e 6–7

1 *κυρίου* Wk: *ἦν* **M** (cf. p. 5, 16) | *ἀποθέσεως* Kh: *ἀποθεως* **M** || **3** *καταλεγόμενον* p. 17, 18: *καταλεγοιμὴ* **M** || **4** *τὸ* p. 17, 18: *τῷ* **M** || **7** *προάγειν* p. 17, 21: *προσάγειν* **M** || **8** *αὐθαδείας* Wk: *ανδατείας* (sic) **M** | *οὕτω* p. 17, 22: *οὔ* **M** || **9** *ἀλλ' ἀνθρωπίνῃ* p. 17, 22: *ἀλλὰ φιλ-ανθρωπίνῃ* **M** | *συγκατιόντι* p. 17, 24: *-ιόν* **M** || **10** *πάντως* p. 17, 24: *πάντας* **M** || **13** *τυχόν* Wk: *-ών* **M** || **14** *μετὰ* add. Wk | *τόνδε* Kh: *τόδε* **M** || **19** *οἳ* Kh: *οἱ* **M** || **20** *αὐτοῖς* Wk: *-ῇς* **M** | *ἀκριβῶς*] *-ῶς* ex *-ες* **M** || **23** leg. *αἰτιάσεσθαι* ?

μόνος ἁπάντων περιλειφθεὶς οἰκτρὸν θέαμα. εἶτα, πρὸς
τῆς δικαιοσύνης καὶ ἀληθείας, εἰκότι λόγῳ καταμω-
κήσεταί τις τοῦ μὴ λόγῳ ἀλλ' ἔργῳ τὸ πρακτέον εἰσηγου-
μένου καὶ κατ' αὐτὸν πείθοντος καὶ τοὺς ὁμοίους; ἢ δημο-
κοπίου καὶ ἐξαπάτης σῶφρόν γέ τι ποιῶν γράψεται τοῦτον, 5
ἀλλ' οὐκ ἐκείνους ῥιψάσπιδα προσκαλέσεται δίκην τοὺς
ῥαθυμίᾳ καὶ μαλακίᾳ τῷ παντὶ λυμηναμένους καὶ τὰ τῶν
ἀνδραγαθούντων διαφθείραντας σημεῖα; ἐγὼ μὲν οἶμαι, ἂν
μὴ πάντῃ πρὸς τὸ εὐθύ γε λημᾷ· οἱ μὲν γὰρ νικῶντες
ἑάλωσαν ἐπὶ σχήματος ἄξιον ἀριστεῦσιν ἀπενεγκάμενοι 10
κίνδυνον, οἱ δὲ προδιαφθείραντες ἑαυτοὺς καὶ τοὺς
κατωρθωκότας λοιπὸν προσδιέφθειραν· καὶ οἱ μὲν ἀνδρῶν
24ʳ ἀγαθῶν | οἱ δὲ προδοτῶν εἰς ἀεὶ ἀποφέρονται κλῆσιν.
οὔκουν μεμπτέον τῷ ἀριστεῖ ὅτι μὴ ἐν χειρῶν πίπτοι
νόμῳ ἀγωνιζόμενος, ἐπείπερ ὅσον γε τὸ πρόθυμον εἰς 15
τέλος ἀποκέχρηται τῷ ἔργῳ, ἐκείνῳ δὲ ὃς καὶ τοῖς πᾶσιν
ἁλῶναι γέγονε πρόφασις καὶ ἀφορμὴ μεγίστη τῷ πταί-
σματι. ἢ κατορθοῦντος μέν ἐστί που γέρας καὶ ἀνδριζομένου,
ἐκπίπτοντος δὲ καὶ ἐκλυομένου καὶ δὴ καὶ τοῖς κατορ-
θοῦσι τοῦ τρόπου βασκήναντος οὐ δή τις ποινὴ οὐδέ τις 20
ἐθελοκακίας ἀπόκειται μέμψις; ἀλλὰ γὰρ ὀρθῶς σκο-
ποῦντι καὶ ἀπαθῶς οὐδὲ τέλεον ἂν φανείη ἁλοὺς ὁ ἐφ' ἑνὶ
μόνῳ τὸ κατορθοῦν δεδυστυχηκώς, τῶν ἐπὶ τοῖς ἄλλοις
κατὰ ῥοῦν αὐτῷ διαγενομένων καὶ πρὸς ὃ τὴν σπουδὴν
24ᵛ ἀπησχόλησεν. ἐῶ γὰρ εἰπεῖν | ὡς οὐδὲ ἐπὶ τῷ ἑνί· πῶς γάρ; 25
ὃς καὶ αὐτός, ὁ τέως ἀπηυθαδισμένος, δεδάμασται τῆς
πρώην εἰσόδου τῶν ἀνακτόρων ἀποκλησθεὶς καὶ διηνεκὲς
τὸ ἁμάρτημα ἑαυτοῦ κατενώπιον ὁρᾶν ἀνασχόμενος. ὅσον
δὲ τοῦτο εἰς ἀπολογίαν ἡμῶν καὶ αὐτοῦ, σκληροὶ καὶ
ἀτεράμονες ἀγνοήσειεν· εἰ δ' ἄρα, οὐκ ἄμισθος εὐγνώμονί 30

21—25 = infra p. 18, 2–7 || **27—28** Ps. 50, 5

1 *περιλειφθεὶς* Wk: *περιληφθεὶς* **M** || **7** *ῥαθυμίᾱς* **M** || **8** *δια-φθείραντας* Kh: -*τα* **M** | *οἶμαι* Wk: *οἶ* **M** || **9** *εὐθύ γε λημᾷ* Wk: *εὐθυγέλημα* **M** || **13** *ἀποφέρονται* Wk: -*ωνται* **M** || **14** *μὴ* Wk: *τῷ* **M** || **16** ὅς ex ὥς (?) **M** || **18** *ἢ* Wk: *ἤ* **M** || **24** *ῥοῦν*] *νοῦν* infra p. 18, 5

γε κριτῇ ἡ τοῖς βελτίστοις ἐπίπονος ἐργασία. τὸ μὲν γὰρ ἐμὸν ἅπαν εἰς δύναμιν καταβέβληται, εἰ δ' ἄλλως ἀπήντηκε τὸ τέλος, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ, εἰς φθόνον καὶ ἀτυχίαν διαβαλλόμενος.

5 *Οὐ μεταμανθάνοντος οὖν τὰ παρόντα, καὶ πολλοῦ γε δεῖ σκαιότητός τε καὶ ἀμαθίας· ἀλλ' ἐγνωκότος μὲν πρὸς ἀκρίβειαν τὸ συνοῖσον καὶ ὃ τῇ ἱερᾷ ἐπωφείλετο τάξει,* | *ἐκ νόθου δὲ καὶ ὑπηνεμίου σπορᾶς τὸ κατ' ἄκρας νικῆσαι* 25ʳ *παραθραυσθέντος καὶ παρευδοκιμηθέντος. οὐδ' εἰ μὴ* 10 *τετύχηκα τοῦ σκοποῦ καταγέλαστος νομισθείην, ἀλλ' εἰ προκείμενον οὕτως ἀργὸς ὤφθην καὶ τοῦ δέοντος ἀνεγχείρητος· οὐδὲ γεωργῷ τις ἐπιχλευάσει ἅμα δύσει Πληϊάδων βοῦς ὑπαγαγόντι ζυγῷ, πολλῇ προθυμίᾳ σπέρματα γῇ καταβαλομένῳ, αὐχμῷ δὲ ἤ τινι τῶν γεωργίαν σινόντων* 15 *οὐδὲ τὸ ἀρχαῖον ὅλως κεκομισμένῳ. τὸ μὲν γὰρ ἐλπίσαντα μεγάλα καὶ τὰ χρηστότερα τὴν γῆν ἐκπονῆσαι φιλοτιμότερον πᾶς ἀποδέξεται καὶ τοῖς ἐγκωμίοις ⟨τῷ⟩ γεωργῷ κατ' ἀξίαν ἀγάσεται· τὸ δὲ μὴ κατὰ νοῦν τούτῳ προχωρῆσαι τὸ σπουδασθὲν οὐ τὴν ἐκείνου τοῦ θέλοντός τε καὶ τρέ-* 20 *χοντος γνώμην, ἀλλὰ τοῦ αὔξοντος καὶ ἐλεοῦντος θεοῦ τὸ ἀνείκαστον αἰτιάσεται τῶν κριμάτων. καὶ εἰ μὲν ὁμοίως τοῖς προλαβοῦσι συμπεριενεχθείην τῷ πράγματι, μισθοῦ τὴν συγγνώμην ἀπεμπολῶν καὶ* | *καπηλεύων τὸ δῶρον αἰσχρῶς* 25ᵛ *ὡς οὐκ εἰς ἀδελφῶν πρὸς τὸ βέλτιστον ἐπαναγωγήν, ἀλλ'* 25 *εἰς χρηματισμὸν ἑαυτῷ τῷ οἰκονομεῖν παραχρώμενος, ἐκπέσοιμι τῷ ὄντι τῆς θείας ἐμπορίας καὶ πρὸς ἐσχάτην ταύτης πενίαν ἀπορριπτοίμην· εἰ δὲ τούτων ⟨σὺν⟩ θεῷ πέπονθα οὐδὲ ἕν, ἀλλὰ καὶ τὸν ἀρχιερέα καιροῦ καλοῦντος ἐπ' αὐτῶν τῶν πραγμάτων ἀλλ' οὐ τῶν λόγων ὥς τινες*

12 Hesiod. Op. 614–617 || **19–22** Rom. 9, 16; cf. 1 Cor. 3, 7 || **27–28** cf. Plat. Prot. 317 b 7

3 *εἰς* Wk: *εἰ* **M** || **9** *παρευδοκιμηθέντος* Wk: *παρευδοκιμήσαντος* **M** || **14** *καταβαλομένῳ* Wk: *καταβαλλομένῳ* **M** | *ἤ τινι* Kh: *ἥτινι* **M** || **15** *κεκομισμένῳ* Wk: *κεκοσμιμένῳ* **M** || **17** *τῷ* add. Wk || **18** *προχωρῆσαι* Wk: *προσχ-* **M** || **25** *τῷ* Wk: *τὸ* **M** || **26** *ἐκπέσοιμι* Kh: *ἐκπέσοιμοι* **M** || **27** *σὺν* add. Wk || **28** *πέπονθα* Wk: *πέποιθα* **M**

ἐπεδειξάμην ὡς μηδεμίαν λοιπὸν μαλακίας ἢ ἀνανδρίας κατασκεδάζεσθαι ὑπόθεσιν – ἀλλ' ὅσον τοὐμὸν φάναι, ἐμοὶ μὲν γὰρ καὶ διήλεγκται σὺν παρρησίᾳ τὸ ἀπαίσιον καὶ ὑφήγηται τὸ πρακτέον, κἂν εἰ μὴ πέπεικα· μὴ καταργεῖσθαι δὲ πάντως τῇ τινῶν ἀπιστίᾳ τὴν τοῦ κρείττονος 5 πίστιν καὶ τῷ θεσπεσίῳ δέδοκται Παύλῳ καὶ ἐνοχῆς οὐδέπω καὶ τήμερον κἂν εἰ μὴ πείσῃ ὅσα εἰς νόμους τελεῖ τυγχάνει ὁ διαμαρτυράμενος· καὶ ἀνθρωπίνης ἔργον |
26r οὐδεμιᾶς χάριτος κατέστην. καὶ νῦν μὲν ποιμένος ἀληθινοῦ διαθέσει καὶ ἡγεμόνος τῷ πονοῦντι καὶ κάμνοντι οὐκ 10 ἄχρηστον τάχα ῥοπὴν παρέχομαι ἐμαυτόν, θεῷ ⟨δὲ⟩ τὰ καθ' ἡμᾶς ἐπιτρέψαντες τὸ ἀπὸ τοῦδε καὶ ὡς ἂν ἐκείνῳ δοκῇ καὶ τὰ παρόντα καὶ τὰ ἑπόμενα οἰκονομεῖν τε καὶ διατάττειν εἰς οὐδὲν ὅλως ἀντιφθεγγόμενοι στέργομεν τοῖς παροῦσι (θεὸς γὰρ οὗτος ὁ δικαιῶν ἐφ' ἡμῖν· τίς ὁ πρὸς 15 κρίσιν αὐτῷ ἀντικαθιστάμενος;) ἐκεῖνό γε πρὸ παντὸς ἄλλου ποιούμενοι δι' εὐχῆς, μὴ τῇ τῶν πολλῶν δόξῃ καὶ ὑπολήψει καὶ θεὸν αὐτὸν παραμετρεῖν τὰ ἡμέτερα, ἀλλὰ τῇ πρὸς αὐτὸν ἀληθεῖ διαθέσει καὶ οἷς οὗτος ὁ δραστικώτατος νοῦς τῶν μετιόντων ἐπίσταται ἀκριβέστερον καὶ ταῦτα 20 λογιζόμενος καὶ ἐπισταθμώμενος τὸ ἑξῆς ἡμῖν τοῦ βίου ἀκύματον διεξάγοι τε καὶ ἀνεπηρέαστον, καὶ δὴ καὶ κατὰ τὸ εὐάρεστον ἑαυτῷ τοῖς ἐκεῖσε λιμέσιν ἑαυτοῦ ἐγκατοικίζοι τε καὶ ἐγκαθορμίζοιτο, ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν,
26v μεθ' οὗ | δόξα τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ 25 αὐτοῦ πνεύματι, τῇ μιᾷ πάντων ἀρχῇ καὶ βασιλείᾳ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

4–6 Rom. 3, 3 || **14–15** Hebr. 13, 5 || **15–16** Rom. 8, 33

2 *ὑπόθεσιν* Wk: *ὑποτίθησιν, -η- ex -ε-,* **M** | *φάναι* Wk: *φανεῖναι* **M** || **11** *δὲ* add. Wk || **21** *ἡμῖν* Kh: *ὑμῖν* **M** || **27** seq. tit. op. 2: *ἀπολογία περὶ τῶν αὐτῶν τοῖς ἐπισκόποις* **M**

2

Ἀρέθα ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας ἀπολογία περὶ τῶν αὐτῶν τοῖς ἐπισκόποις

31r

In festo S. Michaelis (d. 6 Sept. aut 8 Nov., a. 907 vel 908) apud episcopos rationem reddit longi silentii et secessus. eius causam fuisse non invidiam nec rixandi studium, sed imprimis amorem optimi imperatoris toties a se sinceris laudibus exornati; quem postquam obstinatum viderit et nato filio disciplinam ecclesiasticam pro seditione ducentem, a ceteris paulisper secedere se maluisse, ut ipsa mora aliquid efficeret aut saltem dignitatem officii tueretur. deinde ad verbum transfert quae in Op. 1 dixerat de poenitentia imperatoris, de lege contra tetragamiam lata, de vitanda offensione, de indulgentia a patribus quoque concessa; addit ne Ambrosium quidem Valentinianum et Theodosium ultra vituperationem castigasse. nec nihil se egisse obsistendo, quippe qui nunc imperatorem socium habeat adversus polygamiam.

Ὡς εἰς καιρὸν ὑμῖν ἥκομεν, φιλοθεώτατον καὶ ἱερὸν σύνταγμα, κἂν ὑπερήμεροι, τὴν τῶν προκειμένων ἀπολο-
5 *γίαν ἐνστήσασθαι. αἰσθάνομαι γάρ τι καὶ πάσχειν ὑμᾶς, ἐπεί τισι δοκοῦμεν ἴσως εὐδοκιμεῖν τὴν περὶ λόγους σοφοὺς ἄσκησιν καὶ περὶ πολλοῦ ποιεῖσθε μαθεῖν, ἀνθ' ὅτου γε δὴ κωφὴν τὴν πρὸς ὑμᾶς συνέλευσιν πεποιήμεθα ἀλλὰ μηδὲν τῆς τοσαύτης ἡμῶν ἐνστάσεως τῶν εἰς αἰτίαν*
10 *ἀναφερομένων ὑμῖν παρεθέμεθα. τὸ δὲ ἦν πρόχειρον ἐξειπεῖν ἤπερ ὑμῖν ἑτοιμότερον διακοῦσαι· καί μοι δοκῶ τῆς πάντα βέλτιον ἢ κατὰ ἄνθρωπον μηχανωμένης προνοίας σοφώτερόν τι διοικουμένης εἰς τὸν παρόντα καιρὸν τὸν λόγον μοι τεταμιεῦσθαι, καθ' ὃν σύνοδος μὲν ἀνθρώπων*

2 Karlin-Hayter[3] 299–307 || **11** *ἤπερ* Wk: *ἧπερ* **M**

πολλὴ τὴν ἱερὰν ταύτην πανήγυριν αἰθριάζουσα, αὐτὸς δὲ ἡμῖν οὗτος ὁ χορηγός, ὃς τῆς ἀΰλου δυνάμεως κυρίου τῇ στρατηγίᾳ φαιδρύνεται καὶ τῶν ὑποπτέρων λόχων τὴν τάξιν διακεχείρισται, μετέωρος δὲ πᾶς τις τὴν ἀκοὴν λόγους ἐπωφελεῖς ἐνωτίσασθαι. ἡ γάρ τοι τῆς ἑορτῆς 5 *ἐκεχειρία ἀνώτερον αὐτοὺς τῆς ἀπὸ τῶν ἄλλων καταρτίσασα ἀσχολίας μόνῃ σχολάζειν ψυχῇ καὶ τοῖς κατὰ ψυχὴν ἔργοις ἀνέπεισεν. ἐπεὶ τοιγαροῦν οὕτω μοι ταῦτα μετὰ τῆς ἄνωθεν ῥοπῆς συγκατήρτισται καὶ στρατηγῷ τοσούτῳ τὸν λόγον συστρατηγούμεθα, φέρε δὴ φέρε τόν* 10 *τε πόθον ὑμῖν ἀφοσιωσώμεθα καὶ ἑαυτοῖς τὸ ἀπρόσκοπον διαπερανώμεθα. τὸ μὲν οὖν ἐπὶ τοσοῦτον διακριθῆναί με τοῦ ἱεροῦ τούτου πληρώματος καὶ τὸν ἀπὸ τῶν ἄλλων ἀνακεχωρηκότα βίον ἑλέσθαι οὔμενουν ὡς ἄν τις ἀπειρόκαλος οἰηθείη ἀπειροκάλως ἐπανῃρήμεθα οὐδ᾽ ὥς τισιν* 15 *ἑαυτοῖς δόξαν περιποιούμενοι (τίνα γάρ, οἷς τὸ περὶ ταύτην φιλότιμον ἤδη μοι καταλέλυτο;), οὐ φθόνῳ, οὐ μίσει, οὐκ ἔριδι, οὐ διχοστασίαις, οὐ μάχαις ἐπαγαλλόμενοι· τί γὰρ ἐκ τούτων εἰς κέρδος τοσοῦτον ὅσον εἰς βλάβην καταλαμβάνομεν; καὶ ταῦτα ἐπειδὰν εἰς σαρκικοὺς καὶ* 20 *φιλαμαρτήμονας καὶ τὴν κατ᾽ ἀνθρώπους ἐλεεινῶς μεταδιώκοντας βιοτὴν καὶ τῷ θείῳ Παύλῳ ἀπεσκορακιζόμεθα, οὗ τί ἂν ἀτοπώτερόν τε καὶ ἀθλιώτερον;*

Ἀλλ᾽ εἴ τί με χρὴ τὸ ἐνὸν ἐξειπεῖν καὶ τὸν ἐνδομυχοῦντα πυρσὸν ἐμφανῆ καταστῆσαι, πρῶτον μὲν φίλτρῳ παθαινόμενος 25 *βασιλέως καλοῦ τε καὶ ἀγαθοῦ καὶ τί γὰρ τῶν εἰς ἐξαίρετον οὐχὶ καταπλουτοῦντος τοῦ κράτους καὶ τοὺς πώποτε βασιλέας ὑπερελαύνοντος, οὐκ ἄρτι μοι τοῦτο ὑποφυόμενον ἔχων οὐδ᾽ ἐπ᾽ ὀλίγον τῇ τῆς φιλίας ῥιζούμενον γῇ, ἀλλὰ γὰρ πάλαι καὶ πρόπαλαι καὶ ἐκ πατρῴας* 30 *φυτείας εἰς βάθος εὐεργεσιῶν στηριζόμενον· ἀφ᾽ οὗ γε πολλὰ μὲν τὰ κατὰ τοῦ κράτους ἐγκώμια διαπονησάμενος καὶ ἅπερ οὐ κόλαξ ἀπερεύγεται τρόπος εὐημερίας ἐφ-*

17—22 1 Cor. 3, 3

16 *οἷς* Wk: *ἧς* **M** || **17** ⁻⁻*ἤδη* exp. **M**, mg. ⁻⁻*πάλαι*, cf. p. 149, 31

όδιον, | *ἀλλὰ πιστοῦ φίλου διάθεσις οἶδε μαιεύεσθαι,* 31ᵛ
μυρίαν δὲ τὴν ὑπόθεσιν ἐκ τῶν προσόντων αὐτῷ κρειττό-
νων ὅσαι ἡμέραι ἐπιδαψιλευόμενος, μακάριον οὐδ᾽ ὅσον
εἰπεῖν ἐμαυτὸν ἔκρινον. ἀλλὰ μεταξὺ κρότων, φεῦ τοῦ
5 *κοινοῦ πτώματος· κοινὸν γὰρ δήπου τὸ τοῦ κατάρχοντος·*
τῇ φθονερᾷ τοῦ βασκήναντος περιστάσει ἐκλείπουσάν μοι
τὴν χορηγίαν καὶ ἀπορρέοντα τὸν τῶν ἀγαθῶν ὁρμαθὸν
αἰσθανόμενος καὶ πρὸς τὴν ἀπ᾽ ἐναντίας χώραν μεταταττό-
μενον, ὅτι μηδὲν τῶν ἀνθρωπίνων καλῶν βασκάνου μοί-
10 *ρας ἐλεύθερον, οὐκ ἀνεκτὸν ἡγούμην τοσοῦτον ζημιωθῆναι*
καλὸν οὐδὲ τοῖς νόθοις τῆς πολιτείας ἐπιτηδεύμασι τὸ
γνησιώτατον καὶ ἄχραντον κάλλος καταρρυποῦσθαι καὶ
καταχραίνεσθαι οὐδὲ τὴν παρρησίαν καὶ τὸ κράτος τῶν
ἐμῶν λόγων διόλλυσθαι, οὐ τῶν ἱερῶν ἀνακτόρων, οἴμοι
15 *τῶν ἀνελπίστων κακῶν, ἀπροφασίστως ἐκβάλλεσθαι.*
ἐντεῦθεν παντοῖος (ἴστε καὶ αὐτοί) τὰ πρὸς ἐπαναγωγὴν
τούτῳ γενόμενος καὶ μέχρις αἵματος μὴ ταῦτα προχωρεῖν
ἀντικαταστάς, ἐπεὶ μὴ πείθειν εἶχον τὸν ἅτε δὴ κρεῖττον
τοῦ ἐπιταττομένου φερόμενον καὶ πρὸς ἀνήνυτόν μοι τὸν
20 *λόγον διασκεδάζοντα καὶ δή γε καὶ παιδοποιησάμενον ἤδη*
ἀφ᾽ ὧν ἐνεκέκλητο γάμων, ἐξ οὗ μοι καὶ τὸ νουθέτημα
εἰς ἐπανάστασιν διεβάλλετο ὡς εἰς γονὰς βασιλείους τὸ
βλάσφημον ἀποπτύοντι, ἐπεῖχον τὴν πρόοδον καὶ τόπον
ἐζήτουν ἀποφυγῆς καὶ τῆς ἱερᾶς ἐμαυτὸν πληθύος
25 *ὑπέστελλον, δρᾶσαί τι τῷ χρόνῳ τῶν δι᾽ ἐπιθυμίας οἰόμενος*
ἀλλὰ μή τι παθεῖν τῶν ἀπὸ τῆς σιωπῆς εἰς κατάγνωσιν.
ἀλλὰ γὰρ οὐκ ἦν, ὡς ἔοικε, τυχεῖν με τῶν κατ᾽ ἐλπίδα
ῥιτίνης, τὸ ᾀδόμενον, οὐχ ὑπούσης ἐν Γαλαὰδ καὶ ἰσχυρο-
τέροις ἀεὶ τοῦ πείθειν παραβαλλόμενον.
30 *Ἀλλὰ πρῶτον μὲν τοῦτο· τί δαὶ καὶ ἄλλο; οὐκ εἶχον ὅποι*
καταθῶμαι τὴν ἱερὰν ῥαθυμίαν· ὡς ἂν οὖν μὴ δοκοῖμεν
τὸ ἱερώτατον πλήρωμα τοιούτοις καιροῖς ἐρήμην ἁλίσκε-

17–18 Hebr. 12, 4 || **27** Ier. 8, 22

10 *ἡγούμην* Wk: *ἀνηγούμην* **M** || **20** *διασκεδάζοντα* Wk: *δια-σκευάζοντα* **M** || **31** *ῥαθυμίαν*] mg. *ἀθυμίαν ἴσ.* **M** | *δοκοῖμεν* **Kh**: *δοκοῖ μὲν* **M**

σθαι καὶ ἐκ προστάγματος ὑποκατακλίνεσθαι τοῖς κρατοῦσιν, ἀλλά τι καὶ φανῆναι τῆς ἱερᾶς ὅπερ ἐχρῆν ἐξουσίας τοῦ ἐπὶ γῆς κράτους ὑψηλότερόν τε καὶ μεγαλοφρονέστερον καὶ τὸν ἐκ τοῦ σιγῆσαι μῶμον τῶν πολλῶν ἀποσκευαζόμενον, τὸ ταῦτα ἐγκαρτερῆσαι τοῦ ἐκλυθῆναι προὐτίμησα. 5

Πλὴν ἐπεί μοι τούτων ἅλις ἔχειν νενόμιστο, τὸ μηδὲν ἄγαν σοφὸν εἰς νουθέτησιν τῇ διανοίᾳ συστρέψας, εἶτα δὲ ὅτι καὶ τὰ τῆς ἐλπίδος εἰς μάτην κεκένωτο (μῆνας γάρ, τὸ τοῦ Αὐσίτου δικαίου, κενοὺς ἐπὶ νυξὶν ἐπωδύνοις ὑπεμείναμεν), ἐπὶ τὸ χεῖρον δὲ προὐχώρει τὸ σπουδα- 10 ζόμενον, πρὸς δὲ καὶ βασιλέα τοῦτον ἑώρων, ὑπὲρ οὗ καὶ πρὸς ὃν ὁ ἀγών, ἐξ οὗ παντοδαπῶς μοι διαγενόμενος καὶ πᾶσαν πεῖραν προσαγαγὼν οὐκ εἶχεν ἑλεῖν, πρύμναν ἀνακρουόμενον, τὸ τοῦ λόγου, καὶ πρὸς ἱκετείαν περιφανῶς 32r ἀποκεκλικότα, ὁλοσχερῶς | ἡμᾶς ὑποποιούμενον ταῖς 15 ἐντεύξεσι καὶ πᾶσαν μὲν ἐλεεινὴν ἀφιέντα φωνὴν τὴν ἐπ᾿ αὐτῷ μόνῳ συγγνώμην αἰτοῦσαν, τοὺς δ᾿ ἄλλους ἐπέχειν τὰ τοιαῦτα παρεγγυώμενον· ὃ καὶ ἡμεῖς μάλιστα ἐδεδίειμεν καὶ δι᾿ ὃ τὴν πρᾶξιν ἀναχαιτίζειν καὶ ὑποτέμνεσθαι κατεσπεύδομεν ὡς μέγιστον ὂν εἰς ἐπίκλημα τῷ κατάρχοντι, 20 εἴ γε τὸ τοῦ κρείττονος ἔργον εἰς νόμον προβαίνειν τῷ ὑπηκόῳ πεπίστευται· — ἀλλὰ γὰρ οὕτω τούτου μοι διαγενομένου καὶ ταῦτα καὶ ἐπαγγειλαμένου καὶ καταπράξαντος, τίνα με εἰκός, ὦ πρὸς τῆς εἰρήνης αὐτῆς, γενέσθαι τοὐντεῦθεν; σκληρὸν σκληρῶς φέρεσθαι καὶ πρὸς ἀπό- 25 γνωσιν καὶ τὸ δρᾶσαί τι τῶν ἀνηκέστων συνωθεῖν αὐτὸν ἔτι; ἀλλὰ μὴ γίνεσθαι πολὺ δίκαιον καὶ φείδεσθαι ἀπὸ τοῦ ἔχοντος ἐξουσίαν φονεύειν καὶ ὁ σοφώτατος παραινεῖ Σολομών· καὶ ὁ τοῦ μαρτυρίου φιλάνθρωπος πάλιν θεσμὸς μὴ πρὸς ὀργὴν πλείω τὸν τιμωρούμενον ἀναφλέγειν ἡμᾶς 30 ἐμπεδοῖ μηδὲ πρὸς οἷς αὐθαίρετος κεκίνηται καθ᾿ ἡμῶν ἤδη καὶ ἡμᾶς παρέχειν αὐτῷ πρόφασιν ἐκείνῳ μὲν μείζονος καταδίκης, ἡμῖν δὲ οὐμενουν εἴποι τις ἂν ἡλίκην ἀπανθρω-

8–10 Iob 7, 3 || **11**—p. 17, **26** = supra p. 7, 20–9, 12 || **13–14** CPG II 623 || **27** Eccl. 7, 16 || **27–29** Sir. 9, 13 || **29**—p. 17, **2** cf. Greg. Naz. Or. 43, 6, PG 36, 500 D 2–5

πίας, οἷς κήδεσθαι τῶν ἐπηρεαζόντων τὸ ἱερόν τε καὶ θεῖον ἐπέσκηψε διδασκάλιον. ἐν οἷς οὖν τὸ μᾶλλον ἀγριαίνειν μᾶλλον τῶν ἀγριαινόντων κατάγνωσις ὡς οὐδ' ὑπὲρ τοσούτων αὐτὸν ἐκβιαζομένων πρὸς τυραννικὴν ἀποκλί-
5 νειν ὠμότητα, ὑπείκειν, οὐκ αὐθαδίζεσθαι, σοφόν τε καὶ κάλλιστον ἔγνωμεν, καὶ ταῦτα ἐπειδὰν σχεδὸν ἅπαντες οἱ ἀνὰ τὴν ὑπ' οὐρανὸν ἱερεῖς τῆς ἐκείνου γεγόνασι χειρός τε καὶ τάξεως καὶ συνδιαφέρειν ἡμῖν τὸ τοιοῦτον ἄχθος συνοδικῶς εἵλοντο· καὶ οὐκ ἀλόγως, ἀλλὰ καὶ ἄλλων
10 πολλῶν ἔχοντες οὐχ ὁμοίων οὐδὲ ἡττόνων ἀλλά γε δὴ καὶ κρειττόνων μεταγωγὴν καὶ διάσκεψιν ἀπὸ τοῦ παλαιοῦ ὕψους καὶ τῆς ἀρχῆθεν ἀκριβείας τε καὶ σεμνότητος ἐπὶ τὸ ῥαθυμότερόν τε καὶ ὑποβεβηκὸς παρασχεῖν ὑποδείγματα, οὐχ ὅπως σωματικῆς ἡλικίας ἢ ταῖς ἱερατικαῖς τάξεσιν
15 εἰσηγεῖται τὸ πρόσφορον, ἀλλ' ἤδη καὶ ἀνωτέρω τούτων καὶ ἃ τῷ σωτηριώδει βαπτίσματι καὶ τῇ θείᾳ τελετῇ ἐποφείλεται. οὐδὲ γὰρ εὐπρεπὲς ἄλλως οὐδ' εἰς ἐπιείκειαν ὅλως καταλεγόμενον, τῷ ἀνενδότως αἰτουμένῳ καὶ τὸ ἀδύνατον προβαλλομένῳ τοῦ ἐπιτάγματος χρόνῳ καὶ
20 τύχης ὄγκῳ καὶ ἐξουσίᾳ τὸ βέβαιον προσκτησάμενον μὴ ὅσον δή τι ἐνδοῦναι ἀλλ' ἐπὶ τὸ χεῖρον τοῦτον προάγειν τῇ διαστάσει τοῦ συζυγίου ἐκβιαζόμενον. καίτοι γε οὐχ οὕτω Βασιλείῳ τῷ θείῳ δοκοῦν, ἀλλ' ἀνθρωπίνῃ ἔσθ' ὅπῃ συγκατιόντι ἀσθενείᾳ μεθεῖται συνεῖναι τῷ πάντως κρι-
25 θέντι ὁ μὴ φιλοσοφεῖν οἷός τε ὢν τὰ τοιαῦτα, εὐλογωτέραις αἰτίαις ὑπείκειν τοῖς ἱεροῖς δόγμασιν ἀνειργόμενος.

Τί δαί; καὶ ὁ τῷ ὄντι θεῖος Ἀμβρόσιος πῶς Οὐαλεντινιανῷ τῷ μεγάλῳ καὶ Θεοδοσίῳ τῷ πάνυ τοῖς | αὐτοκρά- 32ᵛ τορσι κέχρηται, τῷ μὲν ἐπὶ ζεύγει τοῦ θήλεος καπηλεύειν
30 τὸν γάμον προῃρημένῳ, τῷ δὲ φόνοις ἀκρίτοις εἰς κόρον ὑπενεχθέντι; ἆρά γε πέρα τοῦ διελέγξαι τὸ τολμηθὲν προκεχώρηκεν; οὐκ ἔστιν εἰπεῖν· ἀλλ' ἐμοί (κατὰ κύριον δὲ καὶ τόδε μοι καύχημα) οὐκ ἄχρι ῥημάτων ψιλῶν προ-

22–26 Bas. Ep. 199, can. 26, PG 32, 724 C 1–4 || **32–33** cf. 2 Cor. 11, 16–18

βέβηκε τὸ διαμαρτύρασθαι, εἰ μὴ καὶ πρὸς ἔργον τὰ τῆς ἐνστάσεως ἐξενήνεκται. ὀρθῶς δὲ σκοποῦντι καὶ ἀπαθῶς οὐδὲ τέλεον ἂν ἀτυχήσας τοῦ σκοπουμένου φανείην ὁ ἐφ' ἑνὶ μόνῳ τὸ πρὸς ἀκρίβειαν κατορθοῦν δεδυστυχηκώς, τῶν ἐπὶ τοῖς ἄλλοις κατὰ νοῦν ἡμῖν διαγενομένων καὶ πρὸς ὃ τὸ 5 *πᾶν τῆς ἡμετέρας σπουδῆς ἀπησχόληται. μᾶλλον δὲ ἀληθέστερον ἤδη ἐρεῖν, οὐδὲ τῷ ἑνὶ δεδυστύχηκα· πῶς γάρ; ὅς γε συνεργόν μοι καὶ τοῦτον προσείληφα. ὃς γάρ τοι τῶν παρόντων ἁπάντων ὑπάρξας καὶ τοῖς λοιποῖς ἐπὶ τῶν ὁμοίων μεγίστη κατέστη ῥοπή τε καὶ πρόφασις, οὗτος τὰ νῦν* 10 *ἔμοιγε καὶ συναναιρῶν καὶ συναφανίζων τὸ τόλμημα πῶς οὐ τῶν ἐμῶν θήραμα λόγων; ἀφ' οὗ γε καὶ δῆλον ὡς εἰ τὸν ἰδιώτην βίον μετήει, ᾧ γε μηδὲν ἐμποδὼν κατὰ μονότητα διαζῆν, οὐδὲν ἂν ὑπολέλειπτο τῶν εἰς τελείαν ἀποβλεπόντων τῶν θείων νόμων φυλακὴν καὶ εὐπείθειαν.* 15

Ἔχετε τῆς ἡμετέρας ἐνστάσεως, ἀδελφοὶ καὶ συμποίμενες, τὸν ἀπολογισμὸν καὶ τῆς ἐπὶ τοσοῦτον τοῦ χρόνου τριβῆς· ἔχετε δὲ καὶ ἡμᾶς. ἀλλὰ τί τὸ ἐντεῦθεν; εὐχαῖς πρὸς θεὸν πρῶτα μὲν τὸ κράτος καθυποβαλεῖν μηδὲν ἔτι τῶν ἀηδεστέρων ἐπισυμβῆναι τούτῳ μηδὲ οἷς ἐχθρὰ χεὶρ 20 *τε καὶ παλαμναία κατακαυχήσαιτο, πάντα δὲ εἰρηναῖα καὶ ἀστασίαστα καὶ ταῖς κατὰ βαρβάρων νίκαις ἐμπομπευόμενα· ἔπειτα δὲ καὶ ἡμᾶς ἀμφοτέρους ἀλλήλους τοῖς αὐτοῖς ἀνταμείβεσθαι, ἐμὲ μὲν ἐπ' αἰσίῳ πεποιῆσθαι ὑμῖν τὴν ἑαυτοῦ ἕνωσιν καὶ συνάφειαν, ὑμᾶς δὲ εἰς μηδὲν τῶν* 25 *ὅσα θεῷ τε τὸ εὐάρεστον κἀμοὶ τὸ πρόσφορον διοικεῖται ἀντιπαθοῦντας καταλαμβάνεσθαι. οὕτω γὰρ ἂν ἀλλήλοις ἀνακραθέντες καὶ εἰς ἑνὸς συμπλήρωσιν σώματος τετελεκότες τῇ κεφαλῇ Χριστῷ τοῦ καλοῦ τούτου σώματος εὖ μάλα συναρμολογηθείημεν καὶ συμβιβασθείημεν, αὐτοῦ* 30 *τούτου χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ δόξα τιμὴ κράτος τῷ ἀχράντῳ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.*

2–7 = supra p. 10, 21–25 || **29–30** Eph. 4, 15–16

5 *νοῦν*] *ῥοῦν* p. 10, 24 || **18** *δὲ* aut *δὴ* M

3

Ἑρμηνεία εἰς τὰ ἐπίλοιπα τοῦ $\bar{\alpha}^{ov}$ ψαλμοῦ

Cum Basilius in sermone de Psalmo 1 priores versus tantum tractasset, Arethas successor eius in sede Caesariensi hoc sermone cetera supplet, ita ut pauca de Basilii commentario praefatus deinde singulos versus interpretetur.

Ἔθος ἐστὶ τοῖς τῶν παίδων εὐγνώμοσι τὰ πατρικὰ χρέα, κἂν μή τις ᾖ ὁ πρὸς τὴν ἔκτισιν κατεπείγων, ἀλλ' ὅμως αὐτοὺς αὐθαιρέτους ἀπο|τιννύναι ὁρμᾶν. μόνως γὰρ ἂν 33r
5 *οὕτως οἴονται καὶ τοῖς πατράσι τὸ ἀπρόσκοπον πραγματεύεσθαι καὶ ἑαυτοῖς τὸ φιλοπάτορας καὶ εἶναι καὶ ὀνομάζεσθαι. ἐπεὶ τοίνυν καὶ Βασιλείῳ τῷ μεγάλῳ, οὐ πολλοστοὶ μετ' ἐκεῖνον ἡμεῖς ὥσπερ τῆς ἄλλης ἀρετῆς οὕτω δὴ καὶ τῆς ἱερᾶς ταύτης καθέδρας διάδοχοι, ἐπικεχείρηται μὲν*
10 *τῶν εἰς τὴν βίβλον τῶν ψαλμῶν τοῦ πρώτου ἐξήγησις ᾄσματος, πολλὰ δὲ εἰπεῖν ἔχοντι τῷ ἀνδρί (οἷος ἐκεῖνος σοφίας περιουσίᾳ καὶ τὰ βραχέα πρὸς μῆκος ἀποτεῖναι περιττὸς καὶ τὰ πολλὰ πάλιν τῇ τοῦ συντετμημένου χάριτι λόγου συστεῖλαι εἰδὼς εἰς ἐλάχιστον) καὶ δὴ καὶ διανοίας*
15 *ὀξύτητι καὶ ἐντρεχείας εἰς βάθος προφητικοῦ νοῦ ἱκανῷ καθεστῶτι ῥᾷστά τε διαδῦναι κἀκεῖθεν τὰ ὑποβρύχια τῇ τοῦ πνεύματος ἀβύσσῳ εἰς φῶς ἀγαγεῖν, ἐξ οὗ καὶ πλάτος τῷ λόγῳ περιπεποίηται – ἐπεὶ οὖν ταῦτα, ἔτι δ' ἐν προοιμίοις τῶν προτεθέντων ἀρκούντως τοὺς ἀκροατὰς ἑστιά-*
20 *σαντι καὶ τοῖς ἑξῆς τὸ λεῖπον ἐν λόγοις ἀναπληρώσειν*

18 – p. 20, **1** Bas. Hom. in Ps. I, 6, PG 29, 228 B 1–7

3 Compernass[4] 10–16 || **9** *ἐπικεχείρηται* Wk: *-ησται* **M**

ἐπηγγελμένῳ· οὐ γάρ που καὶ πρὸς ἔργον εἰς τὴν παροῦσαν ἀφιγμένον αὐτὸν ἴσμεν τοῦ ἐπαγγέλματος, καίτοι γε δυσχερῆ τινὰ ἑαυτὸν πρὸς πᾶν ἀποφηνάμενον τὸ ἀτέλεστον, πλήν γε ὅτι μὴ εὐπρεπὲς οἶμαι νενόμιστο κόρῳ τὸ τῆς διδασκαλίας αὐτῷ νόστιμον καθυβρίζειν καὶ εἰς 5 *ἀνήνυτον ἤδη κεκμηκυίᾳ τῇ ἀκοῇ τὸ τοῦ παρακαλοῦντος προχωρεῖν σπούδασμα, δευτερολογίας ἴσως οὐχ ὑπολελειμμένης τῷ διδασκάλῳ κἂν τούτοις ὁ λόγος ἀπέληξεν, — ἥκομεν τὰ νῦν εὐγνώμονες ἡμεῖς ὀφειλέται τό τε πατρικὸν ἀναπληροῦντες ὑστέρημα καὶ τὸ ἐλλεῖπον τοῦ κεφαλαίου τε* 10 *καὶ ἀρχαίου προθύμως διαλυσόμενοι, οὐχ ὅσος μὲν ἐκεῖνος ἑαυτοὺς ὑπειληφότες τὴν χορηγίαν τοῦ ἐνδεοῦς ἐπιδαψιλεύσασθαι (μανία γὰρ ἄντικρυς τοῦτο κἂν ἐπινοίᾳ λαβεῖν), ἀλλ' οὖν καθ' ὅσον οἷοί τε ὦμεν καὶ ταῖς ἐκείνου πρεσβείαις τὸν λόγον χειραγωγώμεθα. πάντως δὲ οὐκ ἀτιμάσετε* 15 *προαίρεσιν φιλοπάτορα, ὦ νῦν ἡμῖν παρόντες, εἴπερ κατόπιν τοῦ προσήκοντος, ὃ καὶ ἀνάγκη πᾶσα παθεῖν, φέροιτο, οὐδὲ πολλῷ πλέον ὁ προκατάρξας τοῦ ἐγχειρήματος ἱερός τε καὶ μέγας Βασίλειος, ὃς καὶ προαιρέσεως τόνῳ τὸν πρὸς τὰ κάλλιστα πόνον ἡγεῖται ἀπόδεκτον καὶ* 20 *τοῖς εὐπορουμένοις ποτὲ τῆς τροφῆς λειψάνοις τοὺς λιμοῦ δαιτυμόνας ἐδεξιοῦτο φιλοτιμότερον. διὸ καὶ χωρῶμεν ἤδη ταῖς τούτου εὐχαῖς εὐθὺ τοῦ σκοποῦ τείνοντες.*

Ἀφορισάμενος ἡμῖν ὁ ἱεροψάλτης Δαυίδ, ᾗ φησὶν ὁ θεσπέσιος οὗτος ἀνήρ, διὰ τῶν προεφωδευμένων τὸν τῷ ὄντι μα- 25 *κάριον ἄνδρα καὶ οἱονεὶ ἀνακαθάρας τοῦ εἰς τέλειον ἄνδρα* 33ᵛ *τῆς ἡλικίας Χριστοῦ τοῦ πληρώματος τὸν ἑαυτοῦ | ἀποξέοντος ἀνδριάντα· ταῦτα δέ ἐστιν, ὡς ἔπος εἰπεῖν, βουλῆς τε μὴ κοινωνεῖν ἀσεβέσι καὶ πράξεσιν ἁμαρτωλοῖς μὴ συμφθείρεσθαι, προσέτι δὲ λοιμῶν συνεδρίῳ ἐναπομένειν μηδ'* 30 *ὅλως ἀνέχεσθαι — ταῦτα τῆς μακαρίας ὡς πορρωτάτω σοφῶς ἀπελάσας ζωῆς, ἐπεὶ μὴ τῇ ἀργίᾳ μόνῃ καὶ ἀποχῇ*

9 Bas. Hom. II in Ps. XIV, 1, PG 29, 265 A 1–2 ‖ **24–31** Ps. 1,1 ‖ **24–25** Bas. Hom. var. ⟨9⟩, 1, PG 31, 329 A 3–4 ‖ **26–27** Eph. 4, 13

32 *ἀπελάσας* Wk: *-σαι* **M**

τῶν κατεγνωσμένων ἡ ἀληθὴς παραγίνεται εὐδαιμονία, ἀλλὰ καὶ πράξεως ἐπαινουμένης δεόμεθα πρὸς ἀνάληψιν, εἰ μέλλοιμεν μὴ διακένοις ἀγάλλεσθαι κατορθώμασιν, εἰκότως λοιπὸν μετ' ἐκεῖνα καὶ τὸ πρακτέον ἡμῖν εἰσηγήσατο,
5 'ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ' εὐθέως ἐπενεγκών. διττὸν δὲ τὸν τοῦ κυρίου ἐπιστάμεθα νόμον, ἕνα μὲν τὸν ἀπὸ τῆς δημιουργίας τοῦ ἀγαθοῦ ἐνσημανθέντα τοῖς μέλεσι τοῦ ἐντὸς ἡμῶν ἀνθρώπου, κατὰ Παῦλον τὸν μέγαν διδάσκαλον, ὃν εἰκόνα καὶ χαρακτῆρα τοῦ πλάσαντος καὶ ὁ
10 ἱερώτατος Μωϋσῆς ὑπ' αὐτοῦ τούτου δεδωρῆσθαι ἀνθρώποις ἐθέσπισε· τούτῳ τῷ νόμῳ καὶ τὸν ἐκτὸς νόμον παρὰ τοῦ φθονεροῦ δαίμονος ἀντιστρατευόμενον, ἐπὰν ὁ εὐσεβὴς λογισμὸς νήφῃ καὶ σωφρονῇ, εὐείκτως ἄγαν καταγωνίζεταί τε καὶ τρέπεται. ἀλλ' εἷς μὲν οὗτος τῶν τοῦ κυρίου νόμων,
15 ἕτερος δὲ ὁ ἐν γράμματι ἤτοι ὁ ἐν Σιναίῳ Μωϋσέως διακονοῦντος δοθεὶς ἢ καὶ διὰ τῶν καθεξῆς ἁγίων καὶ πνευματοφόρων ἀνδρῶν τὴν πρὸς ἁμαρτίαν ἡμῶν εὔκολον φύσιν ἀντιστηρίζειν καὶ ὑπερείδειν ἐξηυρημένος καὶ ἀφορμὰς καθὸ ζῆν προσῆκε τὸν τοῦ θεοῦ ὑποβαλλόμενος
20 ἄνθρωπον. τούτοις τοῖς νόμοις τὸ θέλημα προσνέμειν φησὶ τὸν μακάριον ἄνδρα, τὸν μὲν τῇ πρὸς τὸ κρεῖττον ῥοπῇ συνεπισχύοντα καὶ κρατύνοντα, τῷ δὲ τῇ ἐπακολουθήσει τῶν δεδογμένων ἀνυπερθέτως ἑπόμενον· ἀλλὰ προσνέμειν μὲν οὐδὲν πρᾶγμα τῷ καὶ κατὰ μικρὸν τῆς αἰσθητῆς
25 ματαιότητος ἀλλοτριοῦν ἑαυτὸν συνιέντι, κρατύνειν μέντοι ταῖς ἱεραῖς ἐνεργείαις ἐκείνου ἂν εἴη, ᾧ μεταρσίῳ τε εἶναι καὶ ὑπὲρ πᾶσαν τὴν περιπέζιον ἤδη φέρεσθαι κτίσιν οἱ τῆς ἀρετῆς ἱδρῶτες μετὰ τῆς ἄνωθεν ἐπισκοπῆς ἐχαρίσαντο. οὐδὲ γὰρ ἀμοχθεὶ τὸ χρῆμα προσγίνεται οὐδὲ θελήσει
30 μόνῃ τὸ τοσοῦτον ἔργον ἀνύεται. παντὶ γὰρ δήπου καὶ ὁ θεῖος ἀπόστολος τὸ θέλειν μὲν παρακεῖσθαι τὸ ἀγαθὸν

5 Ps. 1, 2 || **7–9** Rom. 7, 22–23 || **9–11** Gen. 1, 27 || **11–12** Rom. 7, 23 || **27–28** cf. Hesiod. Op. 289 || **30** – p. 22, **1** Rom. 7, 18

5 εὐθέως] εὐ- aut ἐν- M || **22** τῷ Wk: τὸν M || **27** κτίσιν Cs: κτῆσιν M

ὑποσημαίνει, νικᾶσθαι μέντοι τῇ ἀθυμίᾳ τε καὶ ῥαστώνῃ τῶν ἐκμελῶς τὰ ἑαυτῶν ἀπευθυνόντων κινήματα.

Ἐπεὶ τοίνυν μὴ ψιλῷ τῷ θέλειν ἡ κτῆσις τῶν ἀρετῶν παραγίνεται, ἀλλὰ καὶ πρᾶξις τὸ τέλειον κατεργάζεται, διὰ ταῦτα τῷ θελήματι τὴν μελέτην ἐπισυνῆψεν εἰπὼν 5 'ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός'. ἔστι γὰρ ἡ μελέτη 34r τριβή τις καὶ γυμνασία | καὶ ἄσκησις πράγματος καθ' ἑκούσιον τοῦ λόγου ῥοπὴν ἐγγινομένη, ἥντινα δὴ ῥοπὴν καὶ θέλημα καλεῖν ἀνθρώποις νενόμισται, ὡς, ἐὰν μὴ θατέρῳ 10 παρῇ καὶ τὸ ἕτερον, οὐκ ἔστιν εἰπεῖν καθ' ὅσον ἡ λώβη τῷ περιλοίπῳ ἐντρίβεται, τοῦ μὲν τῇ ἀτελείᾳ ἐξασθενοῦντος, τοῦ μελετᾶν δὲ τῷ ἀλογίστῳ τε καὶ ἀνεπιστάτῳ ἐπὶ τὸ ἀνδραποδῶδες ἐκπίπτοντος. 'ἡμέρας' δὲ προστίθησι 'καὶ νυκτὸς' τὸ ἐνδελεχὲς καὶ ἀνένδοτον τοῦ γυμνάσματος 15 παριστῶν· εἴ γε γὰρ δὴ δεόντως αὐτὸ μέτιμεν, οὕτω μεταχειρίζεσθαι ἀσφαλές. ὥσπερ γὰρ οἰκίᾳ θησαυρῷ τῶν τιμίων εὐτυχησάσῃ μὴ συνεχέσι τοῖς τοίχοις περιειργομένῃ εὐεπιβούλευτον ἔσται τὸ ἐναπόθετον καὶ πλοίῳ φερομένῳ κατὰ πελάγους οὐ πάρεστι τὸ εὐθυδρομεῖν διαλείποντι 20 χρωμένῳ τῷ κατὰ πρύμναν ἀνέμῳ, οὕτω καὶ τῷ κατὰ θεὸν βιοῦντι κατ' οὐδὲν ἴσως ἢ καὶ ἐπ' ἐλάχιστον ὄνησις, τῆς συνεχοῦς ἀπολήγοντι ἐργασίας. ἢ πῶς ἂν διὰ παντὸς ἡ τοῦ θεοῦ αἴνεσις ἐν τῷ νοερῷ ἡμῶν στόματι διατηρηθείη, ὡς μή τινι ἐκφύλῳ καὶ ἐπακτῷ τὸ εὐγενὲς ἡμῶν καθυβρί- 25 ζηται καὶ πρὸς νόθον ἀποσκορακίζηται κύημα ταῖς ἀλλοτρίαις ἐπεισσποραῖς καὶ ἐπεισόδοις αἰσχρῶς μάλα δολούμενον;

Ἀλλὰ γὰρ ὅρα, τί τὸ ἐντεῦθεν καὶ οἷον ὁ τοιοῦτος πόνος ὀνίνησι τὸν ἐπὶ τοσοῦτον τὴν μακαρίαν ταύτην ἐργασίαν 30 φιλοπονήσαντα. ἐπειδὰν γὰρ μὴ μόνον τὸ περὶ τὰ κρείττω ἐπιδειξώμεθα πρόθυμον, ἀλλὰ καὶ ἔργοις τὴν γνώμην

6–7 Ps. 1, 2 ‖ **23–24** Ps. 33, 2

23 *ἢ* Wk: *ἡ* **M** ‖ **27** *ἐπεισσποραῖς* Wk: *ἐπεισποραῖς* **M**: *ἐπισποραῖς* Cs (cf. p. 49, 7)

κυρώσωμεν, κατάλληλον μὲν τῇ ἀρχῇ καὶ τὸ πέρας, ἀκόλουθον δὲ τῇ ὁδῷ καὶ τὸ κατάλυμα ἀνευρήσομεν. τῇ γὰρ θελήσει προσγινομένη ἡ ἄσκησις ἐπὶ τὸ εἶναι ἀναντιρρήτως ἀπηύθυνεν. πρῶτον μὲν γὰρ ἡμῖν ἐπανελέσθαι 5 *σπουδάζεται τὰ χρηστά, ἔπειτα, εἴ τι μὴ τούτοις ὁμολογοῦν καὶ συμβαῖνον φωρᾶται τῶν ἡμετέρων, τῇ κατὰ ταῦτα μελέτῃ ῥυθμίζειν καὶ κατορθοῦν, καὶ ἐπὶ πᾶσι τὸ εἶναι λαμβάνειν καθάπερ τινὰ χαρακτῆρα τῶν μὴ κατὰ ταῦτα διακειμένων τρανῶς ἀφορίζοντα. τί ἂν οὖν ὁ τῶν τοιούτων* 10 *φιλεργὸς ἄνθρωπος πάθοι;* 'ἔσται', φησίν, 'ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται· καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται'. *καλὸς τοῦ κατορθώματος ὁ μισθός, ἐπαινετὴ τῶν πόνων* 15 *ἡ ἀνταπόδοσις. τῷ γάρ τοι τῇ ἀγαθῇ τοῦ διαπονοῦντος προθέσει τὴν θείαν ἐπιρροὴν ἐπιγενέσθαι (οὐδὲν γὰρ ἡμῖν τῆς ἄνωθεν συμμαχίας χηρεῦον κατορθοῦται τῶν ἀγαθῶν, εἴ γε συμφώνως τῷ τοῦ κυρίου λόγῳ πᾶν δώρημα τέλειον ἄνωθεν), ἔσται λοιπὸν ὁ τοιοῦτος κατ' οὐδὲν ὑστερῶν τοῦ* 20 *παρὰ τὴν ὑδρορρόην δένδρου πεφυτευμένου, ᾧ κατὰ καιρὸν ὁ καρπὸς ἐξανθεῖ, εἴπερ εἰς ὥριμον τὰ κάλλιστα συντελούμενα τό τε χρειῶδες παρέχεται ἑαυτῶν καὶ τὸ καλὰ εἶναι πιστεύεται. | ὡς γὰρ οὐκ ἔστι χειμῶνος σῖτον ἀμᾶν, οὐδὲ* **34v** *ῥοδωνιὰν δρέπειν ἐπὶ κρυστάλλῳ καὶ ἀπανθίζειν, οὕτως* 25 *οὐδὲ παρήλικι ἀρετῇ τὸ ἀξιέπαινον περιγίνεται· πίστις τοῦ λόγου ἡ ἐλεεινὴ τοῦ προπάτορος ἔκπτωσις, ὃς τὴν ἐντολὴν τοῦ πεποιηκότος ὑπεριδὼν καὶ τὴν προθεσμίαν τῆς μεταλήψεως ὑποτεμόμενος τοῦ φυτοῦ, ἐνάμιλλον τῆς ἀκαιρίας τὸ πρόστιμον ἀπηνέγκατο. εἰς τὸν ἐπιτήδειον τοιγαροῦν* 30 *τοῦ μή τι τοιοῦτον παθεῖν καὶ ὁ ταῖς θείαις ἀρδόμενος χάρισι τὸν ἑαυτοῦ τε δώσει καρπὸν καὶ οὐδὲ τὸ φύλλον αὐτοῦ μεθήσει διαρρυΐσκεσθαι. τί δὲ τὸ φύλλον αἰνίττεται; τὴν φυσικὴν ἔμοιγε δοκεῖν ἀρετήν, ἣν λόγῳ μὲν οὐδενὶ*

10—13 Ps. 1, 3 || **18—19** Iac. 1, 17

5 *μὴ* Wk: *μοι* **M**

κτώμεθα οὐδὲ μαθήσει, ὅτι μηδὲ πρός τινα σκοπὸν ἀφορμᾷ ψυχὴν τρέφοντα, ἐφ᾽ ᾧ τὸ ἀπόδεκτον τοῦ ἀνδραγαθήματος, ἄλλως δὲ συνεργὸς ἡμῖν πρὸς τὰ βελτίω καταλαμβάνεται καὶ συντηροῦσα τὸ σπουδαζόμενον καὶ καλῶς περιέπουσα ἕτερον τρόπον ὃν καὶ τὸ φύλλον τοῖς δένδροις 5 *περικάρπιον παραπέφυκε σκέπασμα. καὶ ὁ μὲν ἀληθῶς τὴν θείαν κατευημερούμενος εὐζωΐαν τοιοῦτος, μακάριος δὲ κἀκεῖνος καὶ οὐδὲ πάντη ἀπόβλητος, ὃς κἂν χειμάρρῳ τῆς τοῦ θεοῦ τρυφῆς ἐκμεθύσκεται, οὐκ ἀεννάῳ μὲν τῷ ῥείθρῳ διαβρεχόμενος, ἀλλ᾽ οὖν τὸν ὑποφυόμενον* 10 *σχοῖνον ἐξημερούμενος εἰς λογικὸν γεώργιον μεθαρμόζεται, Αἰγύπτου καὶ Ἰδουμαίας αὐτίκα τῶν πονηρῶν καὶ ἀκανθοβόλων ἡμῶν ἀφανισθέντων πεδίων, ὡς τῷ ἐνθεωτάτῳ τῶν προφητῶν Ἰωὴλ προσηγόρευται, καὶ συναφανιζόντων ἑαυτοῖς τὸ ἐκ τῆς ῥίζης Ἡσαῦ ἀναφυόμενον πικρὸν* 15 *βλάστημα, ὃ τοῖς πόρνοις μοσχεύμασι τῆς μοχθηρᾶς ἡμῶν ὕλης ὑποτρεφόμενόν τε καὶ συντηρούμενον οὐ τῷ τυχόντι λυμαίνεται τὸν διὰ τῶν αἰσθητηρίων πρὸς τὰς ἀνάνδρους ἡδονὰς βακχευόμενον. εἰ δέ τις χειμάρρουν καὶ τὴν παλαιὰν διαθήκην ἐξείληφε προσκαίροις καὶ ἀνὰ μέρος ῥαντίσμασιν* 20 *ἀφαγνίζουσαν καὶ τούτῳ τῆς χάριτος καθυστεροῦσαν, εἰς πάντα καιρὸν ταύτης ἁγιαζούσης τὸν προσερχόμενον, τῆς τῶν ἐπαινουμένων ἡμῖν μάλα καὶ οὗτος καταστήσεται τάξεως.*

Ἀλλὰ τὸ μὲν ἐπὶ τοσοῦτον. ζητεῖ γοῦν τὸ ἐντεῦθεν ὁ 25 *λόγος, τί τὸ* ʻπάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεταιʼ. *πότερον γὰρ περὶ τοῦ παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένου ξύλου ὁ λόγος; καὶ τί δένδρῳ πλέον τοῦ καρποῦ καὶ τῶν φύλλων ἐξέσται ποιεῖν, μᾶλλον δὲ τί καὶ ποιήσει, ᾧ μήτε νοῦς ἔνεστι, μὴ ψυχή, τῇ κατ᾽ αἴσθησιν κινήσει* 30 *συμπαραπέμποντα τὸ ποιεῖν καὶ πρὸς ὅ τι προὐστήσαντο τέλος τὴν ὁδὸν ἀπευθύνειν κατεπειγόμενα; αὕτη γὰρ μόνη*

8–9 Ps. 35, 9 || **10–14** Ioel 4, 18–19 || **14–16** Hebr. 12, 15–16 || **19–21** Hebr. 9, 13 || **26** Ps. 1, 3

8 *κἂν* Wk: *κἀν* M

τῷ ποιεῖν ἡ ἀληθὴς ἔννοια ἐπακολουθεῖ. ἐκείνας γὰρ ποιητικὰς οἱ περὶ ταῦτα κομψοὶ ἀπεφήναντο τέχνας, αἷς ἡ πρόσφορος ὕλη προσπορισθεῖσα τῆς ἑαυτῶν ἐντεχνίας παρέσχετο τὴν ἐπίδειξιν. οὔκουν τῷ παρὰ τὰς ἀφέσεις
5 πεφυτευμένῳ ξύλῳ τὸ πάντα | ὅσα ἂν ποιῇ κατευοδοῦσθαι 35r
προσλογιούμεθα, μικρὸν δὲ τὴν τάξιν τῶν προκειμένων μετακινήσαντες, εἶτα τοῖς ἀνωτέρω προσενείραντες τὸ παρὸν τῷ καθ' ὑπερβατὸν τρόπῳ τὸ ἄπορον ἀπολύσομεν. ὅς γὰρ 'ἐν τῷ νόμῳ κυρίου μελετήσει ἡμέρας καὶ νυκτός',
10 οὗτος ἐκεῖνος καὶ 'πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται'. ποιήσει γὰρ ὄντως ἐν τοῖς τοῦ πλάστου προστάγμασι τὸ ἐπιτήδευμα ἀσχολῶν, ὡς μήτε αἰσχύνης ὑποπίμπλασθαι ὅτε ταῖς θείαις ἐντολαῖς ἐπιβλέπειν ἐξῇ, μήτε ματαιοπονίας ζημίαν ὑφίστασθαι ὁπηνίκα πυρὶ τὰ ἡμέτερα δοκιμάζηται,
15 τῷ δ' ἀσινῆ καὶ ἀλώβητα διαμένειν ἐν ἅπασι κατευμεγεθῶν λαβεῖν εὔοδον, οἷς τε ὁ ῥέων οὗτος αἰὼν ἀπολήγει καὶ οἷς ὁ ἑστὼς καὶ ἀδιάδοχος παρατείνεται.

'Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς'. τῷ διπλα-
20 σιασμῷ μὲν τῆς ἀπαγορεύσεως τὸ τοῦ συμπτώματος ἀληθέστατον ἐμπεδοῖ, ἀπ' ἐναντίας δὲ τῷ προτεθέντι τοῦ μακαριζομένου ἀνδρὸς ὑποδείγματι τὸ περὶ τοῦ ἀσεβοῦς ὁμοίωμα τέθειται. ὕδωρ μὲν γὰρ ἐκεῖ, φύσις συνέχουσά τε καὶ ἀναψύχουσα τὴν μακαρίαν ψυχὴν καὶ πρὸς γόνιμον
25 ἀναζωπυροῦσα δύναμιν, ἐνταῦθα δὲ χνοῦς τε καὶ ἄνεμος, ὃν δὴ ξηρότης καὶ αὐτὸν οἶδε μαιεύεσθαι, εἴγε τοῖς κατὰ ταῦτα δεινοῖς πείθεσθαι δεῖ, ξηρᾶς ἀναθυμιάσεως πλῆθος τὸν ἄνεμον ὑπογράφουσι. φέρεται τοιγαροῦν καὶ σκεδάννυται τῷ ὁμοίῳ τὸ ὅμοιον. τῷ γάρ τοι μὴ ἔχειν τὸν ἀσεβῆ τὰς
30 περὶ θεοῦ ἐννοίας ὁσίως μηδὲ ἐφόρῳ τοῦ παντὸς τὰ ἑαυτοῦ ἐπιτρέπειν διαφθείρεται μὲν τοῖς ἐβδελυγμένοις αὐτοῦ

1–4 cf. Aristot. Eth. Nic. VI 4 || **12–13** Ps. 118, 6 || **13–14** 1 Cor. 3, 13 || **18–19** Ps. 1, 4 || **26–28** Aristot. Meteor. II 4, 361 a 30–31

16 leg. εὔοδα? || **18** ὡσεὶ] ὡς ὁ LXX

ἀτοπήμασιν, ὅμοιος δὲ γίνεται κονιορτῷ, κατὰ τὸν μακάριον Ἰώβ, πρὸ προσώπου ἀνέμου, οὐδὲν ἔχων συνεστὼς καὶ συσφίγγον ἰκμάδος χρηστῆς, ὡς μὴ ῥᾳδίως ἐξανεμοῦσθαι ταῖς περιστάσεσιν, ἀλλὰ παντὶ μὲν πνεύματι πιστεύων, ἀγόμενος δὲ καὶ περιφερόμενος ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ὀλλύμενός τε ταῖς πρὸς ἀνυπαρξίαν αὐτοῦ μοχθηραῖς ὑπολήψεσιν, ὡς μὴ ἂν ἔτι ἐσόμενος μετὰ τὴν τοῦδε τοῦ βίου κατάλυσιν.

'Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει', *παρὰ τὸ μηδὲν δήπουθεν βεβηκὸς ἔχειν καὶ πάγιον καὶ πρὸς ἑστῶσαν καὶ ἄτρεπτον τὴν διάρκειαν στηριζόμενον. τῆς κρίσεως δὲ ἐπὶ πολλὰ σχιζομένης τὰ σημαινόμενα (οὕτω γὰρ καὶ τὸ τὴν δικαιοσύνην ἐπιβραβεύειν φαμέν, ὡς τὸ 'κρῖνόν μοι, κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην'), κρίσεως δὲ καὶ ἐπὶ τῆς κατακρίσεως λεγομένης, ὡς τὸ 'νῦν κρίσις ἐστὶ τῷ ἄρχοντι τοῦ κόσμου τούτου', καὶ ἐπὶ τῆς ἐν δικαστηρίῳ ἀμφισβητήσεως τοῦ ὀνόματος φερομένου, καθὸ καὶ ὁ προφήτης κρίσιν φησὶ τῷ κυρίῳ μετὰ τοῦ λαοῦ τῆς γῆς εἶναι,* [35v] *| ἄλλως δὲ πάλιν τῆς τῶν ὀρθῶν δογμάτων διακρίσεώς τε καὶ ἀντιλήψεως τῷ τῆς κρίσεως ὑποσημαινομένης προσρήματι, ὑφ' ὃ καὶ τὸ 'λογισμοὶ δικαίων κρίματα', ὁποτέρῳ τούτων τὸ παρὸν ἐναρμόσειας, οὐκ ἔξω τοῦ εἰκότος ὀφθείης. οὐδὲ γὰρ ἂν εἰς δικαίωσιν θεοῦ ἀνασταίη, ᾧ μηδὲν τῶν θεῷ φίλων ἐπιτετήδευται· οὐδ' αὖ ὑφ' ἑτέρου λάβοι τὴν κρίσιν ὁ πονηρῷ συνειδότι τῶν ἑαυτῷ πεπραγμένων αὐτομάτως οἰστρηλατούμενος πρὸς τὴν βάσανον· πρὸς τίνα δ' ἂν καὶ λάχοι δίκην, οὐκ ὄντος λόγου, οὐ παρρησίας ὑπούσης τῷ αὐτοκατακρίτῳ ἁμαρτωλῷ; τίνος δὲ καὶ ὀρθῆς γνώμης ἀντιλαβόμενος τοῦ ἐπιλελεγμένου μεταδιώξεται τὸ ἐξαίρετον;*

Διά τοι δὴ ταῦτα οὔτε εἰς κρίσιν ἀνίσταται ὁ ἀσεβὴς

1–2 Iob 21, 18; cf. Ps. 82, 14 || **4–5** 1 Io. 4, 1 || **5–6** Eph. 4, 14 || **9** Ps. 1, 5 || **14** Ps. 25, 1 || **15–16** Io. 12, 31 || **18–19** Mich. 6, 2 || **21–22** Prov. 12, 5

1 ἀ^{νομ}τοπήμασιν **M** || **14** *μοι*] *με* LXX

(*προσενεκτέον γὰρ αὖθις τῷ λόγῳ φιλοτιμότερόν τε αὖθις καὶ πολυπραγμονέστερον*) *οὐδὲ βουλῇ συμπαρεδρεύει δικαίων. πῶς γὰρ ἂν τοῦ ἑαυτοῦ ἐξαναστήσεται ὁ ἀσεβὴς πτώματος ἢ παρ' ἑαυτῷ τὴν κρίσιν τῶν ἀμεινόνων εὑρό-*
5 *μενος ἢ τῇ παρούσῃ τῶν εὐσεβῶν κρίσει στοιχῶν, καθάπαξ αὐτὸς καὶ βάρει τῶν οἰκείων ἁμαρτιῶν συγκαμπτόμενος καὶ μιαρᾷ κρίσει πρὸς τὰς παρ' ἑτέρων ἐθελοκωφεῖν ἀνεχόμενος; οὐδὲ γὰρ ἡδὺ μύρον κανθάρῳ. πῶς δὲ καὶ πρὸς βουλὴν ἀποδραμεῖται δικαίων, ὃς εἰς κακίαν τρέχειν*
10 *τοὺς πόδας εὐτρέπισε καὶ διαβουλίοις ἐκτόποις τὴν καρδίαν ἐνίδρυσεν; οὔτε οὖν τῇ παρούσῃ τῶν δικαίων ἀναστήσεται κρίσει, οὐ τῇ μελλούσῃ συμπαραστήσεται, ἀλλὰ τῆς μὲν εἰς αὖθις ἀξιωθήσεται πάντως παλινζωΐας* (*οὐδεὶς λόγος*), *τὸ πονηρὸν δὲ συνειδὸς περιφέρων παντὸς ἐκμοχλεύοντος*
15 *μάλιστα* {*καὶ*} *καταβάλλειν οἷόν τε ὄν, εἰς πτῶσιν εἰκότως αὐτῷ τὰ τῆς ἀναβιώσεως, οὐκ εἰς ἀνάστασιν ἀποβήσεται. οὐ γάρ που τῇ τῶν ἐκεῖ διακρίσει παρέσται μονῶν, αἷς ἵσταται θεὸς ἐν μέσῳ θεῶν τὴν κατ' ἀξίαν ἑκάστῳ διαιτῶν καὶ ἀφοριζόμενος, ὁ μὴ τοῖς κρίμασι τούτου τὴν δικαιο-*
20 *σύνην ἐπεργασάμενος.*

'Ὅτι γινώσκει κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται'. *ἀπὸ τῆς αἰτίας καταδεῖται τὸν λόγον εἰς ἄμαχον τὴν ἀπόδειξιν προαγόμενος καὶ διατρέπων ἅπαν τὸ πρὸς τὴν παροῦσαν γνώμην ἀντίπαλον οὕτω πως τῷ*
25 *λόγῳ προσχρώμενος. θαυμάζειν ἴσως τισὶ παρέσται, φησίν, ὅπως εἰς κρίσιν οὐκ εἴρηκα τοὺς ἀσεβεῖς ἀναστήσεσθαι τῶν δικαίων· ἀλλ' οὗτος ὁ λόγος ἁπλοῦς καὶ μηδενὸς προσδεόμενος εἰς σύστασιν πόνου. εἰ γὰρ οἰκείως τῷ ἑαυτῶν βίῳ πρὸς θεὸν διετέθησαν, καλῶς ἂν αὐτοῖς*
30 *εἴη καὶ λῆρος μὲν ὁ παρὼν λόγος, αὐτοὶ δὲ καὶ συμπαρασταῖεν κρίσει τῶν δικαίων καὶ συνεξετασθεῖεν τοῖς*

9–10 Prov. 1, 16 ‖ **17** Io. 14, 2 ‖ **18** Ps. 81, 1 ‖ **21–22** Ps. 1, 6

1 *αὖθις*[1] del.? ‖ **14** *πάντα ἐκμοχλεύειν τε* Cs ‖ **15** *καὶ* del. Wk ‖ **30** *αὐτοὶ*] *-οὶ* ex *-ὸς* **M**

ἄλλοις, ὅσοις καὶ ὁ θεὸν δοξάσας ἐν ἑαυτῷ καὶ πρὸς μέτρον τῆς ἑαυτοῦ τῶν χαμαιζήλων ἐπάρσεως ἤτουν καθάρσεως τὸ ἑαυτοῦ σκεῦος κτησάμενος ἐν ἁγιασμῷ ἀπέδωκέ τε τὴν καθαρότητα καὶ ἀντιλαμβάνει τὴν ἄνωθεν ἔλλαμψιν. τοῦτο γὰρ νῦν ἡ τοῦ γινώσκειν ἡμῖν ἔννοια ὑποβάλλεται. 'ὁδοὺς 5 γὰρ δεξιάς', φησί που καὶ ἄλλος τῶν θεσπεσίων, 'ἐπί- 36r σταται κύριος', | τὰς δὲ διεστραμμένας, αἳ πάντων εἰσὶ τῶν συντελούντων τὰ ἄνομα, οὐδὲ ἀρχὴν ὅλως προσίεται. διχῇ γὰρ τῆς γνώσεως θεωρουμένης, καθότι φαμὲν γνῶσιν καὶ τὴν περί τι κατάληψιν ὡς τὸ 'ἔγνων ὅτι ποιήσει κύριος 10 τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν δίκην τῶν πενήτων', γνώσεως δὲ καὶ τῆς πρός τινα οἰκειώσεως λεγομένης καὶ παντελῶς ἀνακράσεως ὡς τὸ 'ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ', καὶ πάλιν παρὰ τῷ θείῳ Παύλῳ ἐπιγνῶναι θεὸν ἡμᾶς ἐπαγγελλομένῳ κατὰ τὸ μέλλον, καθ' ὅσον καὶ 15 ἐπεγνώσμεθα (τῇ γὰρ πρὸς τοῦτον ἐγγύτητί τε καὶ οἰκειότητι καὶ τὴν ἐκείνου φωτοχυσίαν μόνως καταπλουτεῖν ἡμῖν περιγίνεται· οὔτε γὰρ βορβόρου δυσωδία ἡμῖν ἀνεκτὸν οὔτε πρᾶξις ἀδίκων θεῷ εὐαπόδεκτος), κατ' αὐτὸ τοῦτο τὸ γινώσκειν ὁ ὑμνογράφος παρειληφὼς τοῖς μὲν 20 δικαίοις ἐπιβραβεύειν τὸ κρεῖττόν φησι τὴν μακαρίαν ταύτην κρίσιν ἤτοι διάκρισιν τῷ προσφυῶς ἔχειν αὐτῷ, ἅτε καὶ πρὸς εὐμένειαν ἑαυτοῖς τῇ κατὰ τὰ παρόντα ὁδῷ ἀποχρησαμένοις τῷ κρείττονι καὶ τὸ ἐγνῶσθαι πρὸς οἰκειότητα κατασπεύσασι· τοῖς ἀσεβέσι δὲ μηδενὸς τού- 25 των πεφροντισμένου, ἀλλὰ ταῖς τοῦ ἐνεστῶτος αἰῶνος ἡδυπαθείαις λεαίνειν τὴν σάρκα περισπούδαστον ἡγησαμένοις καὶ ἐκ παντὸς τοῦτο μεταδιώξασιν ὤλετο μὲν ἡ ἐλπίς, εἰς δὲ κενοσπουδίαν ὁ μόχθος κατήντησεν. ὡς γὰρ ὁ εἰς τὸ πνεῦμα σπείρων ἑστὼς πρᾶγμα καὶ ἀναλλοίωτον 30

3 1 Thess. 4, 4 || **5—8** Prov. 4, 27 || **7—8** Prov. 1, 19 || **10—11** Ps. 139, 13 || **13—14** 2 Tim. 2, 19; cf. Num. 16, 5 || **14—16** 1 Cor. 13, 12 || **29**—p.29,**3** Gal. 6, 8

3 κτησάμενος] κτ- ex χρ- **M** | ἀπέδωκε] -ω- ex -ίω- **M** || **11** τοῦ πτωχοῦ LXX

θερίζειν οἶδε ζωήν, οὕτω καὶ ὁ εἰς σάρκα τὸν κόπον καταβαλλόμενος εἰς τετρημένον πίθον, τὸ τοῦ λόγου, ἀντλῶν οὐδὲν πλέον τοῦ πονεῖν ὤνησε, συνδιαφθειρομένης αὐτῷ παραχρῆμα τῇ ἀπολήξει τοῦ πόνου καὶ τῆς σπουδῆς καὶ
5 *εἰς ἀνύπαρκτον χωρούσης καὶ οὕτως ὡς μηδὲ ζητουμένην εὑρίσκεσθαι, ὅπερ οἶμαί που τρανότερον ὁ παρὼν παραστήσας προφήτης ζητηθήσεσθαι φάσκει τὴν ἁμαρτίαν αὐτοῦ καὶ μὴ εὑρεθήσεσθαι, ἁμαρτίαν ἐκεῖ τὴν ἐνταῦθα καλέσας ὁδὸν ὡς τῶν βελτίστων διαμαρτάνουσαν. ὁ γὰρ*
10 *τῶν ἑστώτων διαμαρτὼν καὶ μονίμων τῇ ἐργασίᾳ οὐκ ἔχων ὅποι προσερεισάμενος στήσει τὸν κόπον, χωρεῖν κατὰ τοῦ χάους ἐᾷ καὶ πρὸς τὸ πάντῃ μὴ ὂν καταδύεσθαι.*

Ἀλλὰ μηδεὶς εἴη τῶν σὺν ἡμῖν ἐνταῦθα τοιοῦτος, μηδ' ἐπὶ ψάμμου τοὺς θεμελίους αὐτοῦ ἑδραζόμενος, εἰς ἔγκοπον
15 *μόνον καὶ ἀνωφελὲς τὸν ἑαυτοῦ μόχθον περιϊστῶν, ἐπίμωμον μὲν τοῖς φρονίμοις, ἀνάξιον δὲ τῆς λογικῆς φύσεως, ἐχθρὸν δὲ καὶ ἀηδῆ θεῷ τῷ ποιήσαντι· ἀλλὰ πρὸς οἷς τῆς καθέδρας τῶν λοιμῶν ἀπανίσταται καὶ τῆς ὁδοῦ τῶν ἁμαρτωλῶν ὑπεξίσταται, χωριζόμενος τῆς τῶν ἀσεβούν-*
20 *των καθάπαξ βουλῆς, ἐργάζοιτο λοιπὸν ἑαυτῷ τὰ σωτήρια καὶ συμφέροντα, εἴ τι χρηστόν, ὅσιον, εὐσεβές, προσφιλές, ἀρετὴν ἀποτίκτον καὶ τὸ παρὰ πᾶσι παρακεχωρημένον εἰς ἔπαινον, τοῦτο καὶ μεριμνῶν ἀεὶ καὶ διαλείπειν αὐτῷ τὴν πρᾶξιν μὴ ἀνεχόμενος, εἰς δόξαν θεοῦ, εἰς καύχημα ἐμοί, εἰς*
25 *ἔπαινον ἑαυτοῦ κατὰ ταύτην ἡμέραν καθ' ἣν θεῷ παριστά|μεθα καὶ τῶν βεβιωμένων ἐπίδειξιν παρεχόμεθα, χάριτι* 36v *καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ πάντας καλέσαντος ἡμᾶς εἰς τὴν ἑαυτοῦ ἐπίγνωσιν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ πνεύματος, τῇ ἐν*
30 *φύσει μιᾷ ἀνυμνουμένῃ τιμίᾳ καὶ προσκυνητῇ τριάδι, τῷ ἐπὶ πάντων θεῷ, ᾧ ἡ δόξα καὶ ἡ βασιλεία καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.*

2 CPG I 343; II 161 || **6–8** Ps. 9, 36 || **14** Mt. 7, 26 || **21–23** Phil. 4, 8 || **24** Phil. 2, 16 || **24–25** 1 Cor. 4, 5 || **30–31** Eph. 4, 6

4

Εἰς τὸν λε ψαλμόν

Quo tempore vitae et quibus casibus commotus David hunc Psalmum 35 composuerit breviter quaerens dicit quosdam de Sauli expeditionibus cogitasse, sibi vero Amnonis flagitium probabiliorem causam videri; sed cum ipsa Scriptura de talibus consulto fere sileat, omnem curam consumendam esse in sensu theologico investigando, quem mox per singula prosequitur.

Ἔχει μὲν ἴσως τινὰ τῆς κατὰ τὸν μακάριον Δαυὶδ πραγματείας ὁ ὑποκείμενος οὗτος ψαλμός. δοκεῖ γάρ, ὥς τινες τῶν πρὸ ἡμῶν ἀπεφήναντο, εἰς τὰς ὑπὸ Σαοὺλ ἐπιφθόνους πράξεις καὶ τὰς ἐπὶ τῶν ὀρέων κατ' αὐτοῦ ἐκστρατείας τὴν 5 *ὑπόθεσιν ἀναφέρειν. ἐγὼ δὲ οἶμαι ἀκολουθότερον ἐξειλῆφθαι ἐφ' ὧν Ἀμνὼν ὁ πρωτότοκος τούτῳ υἱὸς τῇ ἀδελφῇ Θήμαρ καὶ τῷ κατ' αὐτὴν ἀσελγήματι πεπονήρευται. ἀλλὰ τὰ μέν, εἰ ψιλῷ τῷ γράμματι παρακαθεζόμεθα καὶ μὴ σκοπὸν τοῦτον ποιώμεθα, τὴν 'εἰς τὸ τέλος' ἐπιγραφὴν τοῦ* 10 *ψαλμοῦ παραπέμπουσαν. οὐδὲ γὰρ πάντως 'εἰς τὸ τέλος' τὸ πρὸς τὸ ἤδη τετελεσμένον ἀναφερόμενον· σκοποῦντι δὲ ἀκριβῶς τῆς μὲν ἱστορίας ἐπ' ἐλάχιστον φανεῖται πεφροντικὼς ὁ τῆς τοιαύτης χορηγὸς ἁρμονίας παράκλητος, ὃς οἶδεν ἔσθ' ὅτε πολλὰ τῶν τοιούτων λήθῃ παραδιδοὺς σιγῇ* 15 *κατακρύπτειν τὸ ἀκοῇ παραδοθῆναι ἀνάξιον, ὡς ἂν μὴ βλάπτῃ τοὺς ἄφρονας τῇ ὑπεκθέσει, πυρσὸν αὐτοῖς πονηρὸν ἀναφλέγων, καὶ πρὸς ζῆλον κακίας τοὺς εὐολίσθους ἐφέλκεσθαι καὶ οὕτω γε λανθάνῃ τῇ ἁμαρτίᾳ ὕλην*

7–8 2 Reg. 13, 1–22 || **10** Ps. 35, 1

4 Compernass[4] 16–26 || **9** scr. *παρακαθεζώμεθα* ?

περινοῶν καὶ ταῖς ὁρμαῖς τῶν ἀσυνέτων ὑπόδειγμα πονηρὸν μηχανώμενος. διὰ ταῦτα μὲν οὖν τῇ ἱστορίᾳ τὰ μετὰ χεῖρας προσανατιθέναι οὐκ ἂν ἑτοίμως πάνυ συνενεχθείην, ἀλλ᾽ εἰρῆσθαι μὲν καθ᾽ ἕτερον τρόπον θειότερον, οἷα
5 πολλὰ τὰ τὸ μέλλον προαγορεύοντα· συμβαίνειν δὲ καὶ τοῖς πεπραγμένοις καὶ συνομολογεῖν οὐδεὶς φθόνος, καθότι καὶ σύνηθες τοῖς αἰνίγμασιν ἐπὶ πολλὰ καὶ ἄλλα μεταλαμβάνεσθαι. εἰ δέ τις τῇ ἱστορίᾳ διακονεῖσθαι ταῦτα σφοδρῶς διατείνοιτο, ἐμοὶ μὲν οὐδὲν πρᾶγμα ὑπείκειν οὐδὲ
10 προχείρῳ πειθοῖ τὸν ὄχλον τῶν ἐπιτιθεμένων ἀποσκευάζεσθαι. ἔοικε δὲ διὰ θατέρου τῶν προτεθέντων προσώπων, ὁποτέρῳ τις ἂν βούλοιτο προσθέσθαι (οὐδὲν γάρ τι διοίσομαι), πᾶσαν ψυχὴν τὰ λόγια στηλιτεύειν τοῦ μὲν φόβου κατολιγωρήσασαν τοῦ θεοῦ καὶ πρὸς τὴν ἑαυτῆς σωτηρίαν
15 ἀπαγορεύσασαν, ἔκδοτον δὲ καταστήσασαν ἑαυτὴν τῷ φθονερῷ δαίμονι, ὡς μήτε ταῖς παρ᾽ ἑαυτῇ φυσικαῖς χάρισι βοηθεῖσθαι λοιπόν, μὴ λόγον τῷ ὄντι σοφὸν καὶ σωτήριον ἐπ᾽ αὐτῇ κατισχύειν τοῦ ὀλισθήματος ἐπανάγοντα.

Ἀλλὰ γὰρ ἐχώμεθα τὸ ἐντεῦθεν τῆς κατὰ μέρος τοῦ
20 ψαλμοῦ ἐξηγήσεως. ʽφησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷʼ. μεγίστην ὁ λόγος ὑποσημαίνει τῷ προκειμένῳ τὴν μοχθηρίαν. διχῇ γὰρ θεωρουμένων τῶν κατ᾽ ἀνθρώπους πλημμελουμένων | τῶν ἀφορμῶν καὶ τῶν μὲν τὸ ἀκρατὲς 37r ὑποβαλλομένων τοῦ ἤθους, τῶν δὲ τῇ περὶ τὰ φαῦλα μανίᾳ
25 τὸ ἐκ προνοίας ἁμαρτάνειν κατήγορον εἰληχότων, ὃ καὶ ὑπερβάλλουσαν ἐμφαίνει τὴν περὶ τὰ κατεγνωσμένα λιχνείαν, περὶ τὸ χείριστον δὴ τοῦτο κατασπουδάζειν τὰ παρόντα προσμαρτυρεῖ τὸν παρανόμοις ὁρμαῖς τὸ ἁμαρτάνειν ἐπανελόμενον. καθάπαξ γὰρ τὸ τῶν κρειττόνων
30 διαμαρτάνειν σκοπὸν προστησάμενος, οὐκ ἄλλην ἐν ἑαυτῷ περιφέρει βουλὴν ἢ τῶν δι᾽ ἐπιθυμίας ἀντέχεσθαι. κέκρικε τοιγαροῦν ὁ παράνομος ἐν ἑαυτῷ καὶ βουλὴν ταύτην ἀπηκριβώσατο (τοῦτο γὰρ νῦν τὸ ʽφησὶνʼ ἀποτείνεται), τὸ τῶν ἡμαρτημένων ἀντέχεσθαι. τοιοῦτος γὰρ ὁ τῶν παρα-

20—21 Ps. 35, 2

νομούντων σκοπός· οὐδενός ποτε τῶν λυσιτελῶν κατὰ τὸ καίριον περιδράττεται, ἀλλ' ἐπ' ἀστόχῳ τῷ τέλει τῶν ἀγαθῶν εἰς ἀεὶ πρόεισιν. ὃς γὰρ καὶ τῶν τῇ φύσει ἐνεσπαρμένων κατερραθύμησεν ἀγαθῶν, ἃ νόμον ἴσμεν ὑπὸ τοῦ πλάστου τοῖς ἡμετέροις ἤθεσιν οἱονεί τινι πυξίῳ ἐγγεγραμμένον, καὶ τῶν ἐν γράμμασιν ἀπεσκίρτησεν ἐντολῶν, οὐκ ἂν οὗτός τι τῶν ἐπιτετευγμένων τε καὶ δεόντων ἐργάσαιτο.

'Οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ'. τὸν φόβον προσδοκίαν κακῶν ἐπερχομένων ἔγνωμεν, διττὰς καὶ αὐτὸν ἀνευρίσκοντα τὰς γενέσεις· τὸν μὲν γὰρ ἐξ ἀνθρώπων ἐπηρτῆσθαι ἐπὶ ματαίων ἀσφαλείᾳ καὶ φυλακῇ, τὸν δὲ ὑπὸ θεοῦ ἀπειλούμενον καὶ συντελοῦντα ὥσπερ τινὰ παιδαγωγὸν οὐ τῷ τυχόντι πρὸς τὴν τῶν σωτηρίων ἀνάληψιν ἐντολῶν τε καὶ τήρησιν. τοῦ τοίνυν κατὰ τὸ ἀκόλαστόν τε καὶ ἀφειδὲς τὸν παράνομον ἁμαρτάνειν καὶ ὥς τι τῶν ἐξαιρέτων περισπούδαστον αὐτὸ τίθεσθαι οὐκ ἄλλο φησὶν οὕτως οὐδὲν ὡς τὸ τὸν φόβον τοῦ θεοῦ ἀποσεσεῖσθαι ποιεῖ. αὐτὸν γὰρ ἐξορίσας τῶν ἑαυτοῦ ὁ παράνομος ἐννοιῶν, αἷς ὡς διά τινων ὀφθαλμῶν ψυχὴ πέφυκε τὰ πράγματα διαβλέπειν, καὶ μήτε τὴν ἄνωθεν κατὰ τὸ ἐνεστὼς ὑφορώμενος δίκην, μὴ τὴν τοῦ μέλλοντος πυρὸς ἀπειλὴν ὑπολογιζόμενος ἐφ' οἷς πεπονήρευται, οὐκ ἔσθ' ὅπως οὐχὶ σκοτοδινίᾳ ἁλοὺς πρὸς πᾶν μὲν τὸ ἀπηγορευμένον προσέπταισε, παντὸς δὲ τοῦ προσπεσόντος ἀδεῶς ἥψατο.

'Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι. τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος'. φορὰ ταῦτα κακῶν περὶ τὸ δένδρον τῆς παρανομίας ἐνθεωρεῖται, κατάλληλον τῆς κατ' αὐτὸ φυτοκομίας καὶ τὸν καρπὸν βρύοντος καὶ γνώρισμα ἐναργὲς τὰ ἑαυτοῦ ἔργα προβαλλομένου. ἐκ τοῦ καρποῦ γὰρ τὸ δένδρον ἐπιγινώσκεται κατὰ τὴν τοῦ κυρίου φωνήν, καὶ ὥσπερ ἑπόμενον τὸν ἀγαθὸν ἄνθρωπον ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ

9 Ps. 35, 2 || 32—33 Mt. 12, 33 || 33—p. 33, 2 Mt. 12, 35

ἐκβάλλειν ἀγαθά, οὕτως ἀπ' ἐναντίας καὶ τὸν ταῖς πονηρίαις συζῶντα ἁρμόδιον τῷ βίῳ προφέρειν καὶ τὸ θησαύρισμα. τί δ' ἂν ἄλλο προενέγκοι ψυχὴ φόβου τοῦ κτίσαντος ἐπιλελησμένη, σκοπὸν διὰ βίου τὸ ἁμαρτάνειν πεποιημένη,|
5 *ἢ πάντως τὸ μηδὲν κατ' εὐθύτητα πράττειν εἰδέναι, τρόπων δὲ σκολιότητι κεχρῆσθαι πρὸς ἅπαντας καὶ ἐν ἑτερότητι τοῦ ὄντος χαρακτηρίζειν τὸ ἐπιτήδευμα; τοῦτο γὰρ βούλεται δηλοῦν τὸ 'ἐδόλωσεν'. ἔστι γὰρ δόλος κατάστασις ἤθους ἐπὶ ἀπάτῃ τοῦ πλησίον κατηρτισμένη, ἐπιπολαίῳ* 37ᵛ
10 *χρηστότητι τὴν ἐν τῷ βάθει διάνοιαν ἐπικρύπτουσα, καθὸ καὶ τὸ 'δόλος ἐν καρδίᾳ τεκταινομένου κακὰ' εἴρηται. τοιοῦτοι οἱ λαλεῖν σχηματιζόμενοι εἰρηναῖα, δόλους δὲ λογιζόμενοι. τοιοῦτος Ἰούδας φιλήματι προσηνεῖ τε καὶ γαληνίῳ τὸν ἰὸν ἐξεμέσας τῆς προδοσίας· καὶ πρό γε τούτων*
15 *ἁπάντων Κάϊν ὁ πρωτουργῷ τῷ τολμήματι πρῶτός τε μαθητὴς τοῦ τῆς κακίας ἀναφανεὶς ἀρχιτέκτονος καὶ δεῖγμα τῆς μαθητείας τὸ περὶ τὸν ἀδελφὸν ἄγος κατεργασάμενος. καὶ τί ἂν ὑμῖν πλῆθος ὑποδειγμάτων ἐπισωρεύων τὰ νῦν ἐνοχλῶ, πολλῶν καὶ καθ' ἡμᾶς ἤδη ἐπιπολαζόντων*
20 *τῷ βίῳ, οὐκ ἐν εἰκόσι τὸ κακὸν καὶ ἰνδάλμασιν ἀλλ' αὐτόχρημα παρεχομένων καὶ τὸ ἁπλοῦν καὶ ἀκίβδηλον καπηλευόντων τῶν τρόπων τοῖς νόθοις ἐπιτηδεύμασιν; ὧν ἀπηλλάχθαι τὴν ἱερὰν ταύτην ἀγέλην εὐχῆς ἔργον ἐμοί.*

Ἀλλὰ γὰρ ὅρα, πρὸς τί καταντᾷ τὸ τοῖς δόλοις περι-
25 *κροτούμενον ἐργαστήριον. 'ἐδόλωσε', φησίν, 'ἐνώπιον αὐτοῦ τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι'. τοιοῦτό τι διὰ τούτων παραδηλοῦν βούλεται, ὡς ἐπείγεται μὲν κατὰ τῶν ὁμογενῶν ἐπιβούλως, διέλυσε δὲ τὴν σπουδὴν εἰς μῖσος τὸ πᾶν ἀποπερανάμενος, ἤτοι τῷ ἅμα τὴν πονηρὰν ἀποπλῆσαι*
30 *ἐπιθυμίαν μίσει τὸν πόνον ἀνταμειβόμενος καὶ τούτῳ πρώτῳ αἰσχύνης ἀναπιμπλάμενος ἐφ' οἷς ὁμόσε χωρεῖν προτεθύμητο (ὃ καὶ Ἀμνὼν πεπονθέναι καὶ μετ' ἐκεῖνον*

10–11 Prov. 12, 20 || **11–13** Ps. 27, 3 || **13–14** Mt. 26, 48–49; Mc. 14, 44–45; Luc. 22, 47–48 || **14–18** Gen. 4, 1–16 || **32** 2 Reg. 13, 15

29 *τῷ ἅμα* (h. e. *ἅμα τῷ*) Cs: *τὸ ἅμα* **M**

ὁ προδότης μαθητὴς ἀναγέγραπται, ὃν καὶ μετάμελος τῆς πονηρίας ἐν τῷ ναῷ ῥῖψαι τὸν ἐναγῆ μισθὸν παρεσκεύασεν) ἢ καὶ τὸ μισηθῆναι τοῖς ἄλλοις, κατὰ τὸν Σύμμαχον, κέρδος ἀπενεγκάμενος. οὕτω γὰρ οὗτος ἐκδέδωκε 'τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισηθῆναι'. τίς γὰρ οὐκ ἂν ἐκτόπως 5 *βδελύξαιτο ἄνδρα μηδὲν ὑγιὲς ἐν τῇ ψυχῇ περιφέροντα, ἀλλ' ἀνομίαν μὲν τοῖς ῥήμασι διαπλέκοντα, δόλῳ δὲ τὸ κοινωνικὸν καὶ φιλάλληλον σύμβολον διαφθείροντα; παντὶ γὰρ οἶμαί που δῆλον ὡς οὐδενί τι τοσούτῳ τὸ κοινωνικὸν καὶ φιλάλληλον ἀνθρώποις ὅσον τῇ λεκτικῇ ταύτῃ* 10 *δυνάμει ἡ δημιουργὸς καὶ μακαρία φύσις ἡμῖν ἐπεδείξατο.*

'Οὐκ ἐβουλήθη συνιέναι τὸ ἀγαθῦναι. ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ, κακίᾳ δὲ οὐ προσώχθισεν'. *ὑπερβολὴν κακίας καὶ ταῦτα κατηγορεῖ καὶ παντελῆ τῶν σωτηρίων ἡμῖν ἀλλοτρίωσιν.* 15 *ὁ γάρ τοι μηδὲ μέχρι τοῦ βουληθῆναι ἐπεγνωκὼς τὸ χρηστεύσασθαι, ἀλλ' ἐνδομυχοῦσαν καὶ ἔμμονον ἐν τῷ τῆς καρδίας θαλάμῳ τὴν ἐπίβουλον κρίσιν ταμιευόμενος* 38ʳ *(τοῦτο γὰρ ἡ κοίτη νοεῖν δίδωσιν, ὥσπερ ἀμέλει καὶ | ἡ ὁδὸς πάλιν τὸ ἐπιτήδευμα, καθὸ καὶ τὸ 'πάσας τὰς ὁδούς* 20 *μου προεῖδες' ἐξειλήφαμεν) καὶ πᾶσαν μὲν κακίαν ἀπηρυθριακότως διεγνωκὼς μετιέναι, ὡς ἐν ὑπηρέτου δὲ μοίρᾳ πάντῃ παραστησάμενος ἑαυτόν, ὡς ἂν ὅ τι καὶ κελεύῃ ἐκείνη ἀνυπερθέτως ποιῇ, τί ἂν οὗτος ἔτι τῶν χρηστοτέρων περιελείπετο ἑαυτῷ, οὐκ ἔστιν ἐμὲ συνιδεῖν.* 25

Ἀλλ' οἱ φιλοπονώτερον ἐπιβάλλοντες τῇ τῶν προκειμένων μελέτῃ τάχα διαπορήσουσιν, ἀνθ' ὅτου μὴ 'πάσῃ ὁδῷ παρέστη κακῇ', ἀλλ' 'οὐκ ἀγαθῇ' πρόσκειται· πρὸς οὓς ἐκεῖνα ἐροῦμεν, ὡς, ἐπειδὴ κακία μὲν τὸ κατάλυμα πρὸς ὃ τὸν παράνομον ἐναυλίσασθαι ἡ σπουδή, ὁδὸς δὲ τὰ 30

3 mg. *Σύμμαχος γὰρ 'τοῦ εὑρεῖν' φησὶ 'τὴν ἀνομίαν αὐτοῦ καὶ μισηθῆναι'.*

1–2 Mt. 27, 3–5 || **12–14** Ps. 35, 4–5 || **20–21** Ps. 138, 3

9 *τι*] mg. *τινι ἴσ.* **M** || **12** *τὸ*] *τοῦ* LXX || **14** *προσώχθησεν* **M** || **23** *πάντῃ*] fort. *ταύτῃ*

ἐπὶ ταύτην ἀπάγοντα τῶν ἐπιτηδευμάτων, οὐδὲν δὲ τῶν ἐπί τι φερόντων ταὐτὸν ἐκείνῳ τῷ πρὸς ὃ φέρει – ἢ γὰρ ἂν αὐτοῦ γενομένοις καὶ τῆς ὁδοῦ ἀπαρξαμένοις οὐδὲν πλέον μεταδιώκειν ἐχρῆν ἅτε τοῦ ποθουμένου δῆθεν ἐνταῦθα τυχοῦσιν,
5 *ἀλλὰ πρὸς τὸ ἑξῆς ἀπαγορεύειν τοῦ πόνου ἐντὸς τῶν ὅρων τοῦ προτεθέντος ἀπειληφόσι τὸ ἐλπιζόμενον· ὡσαύτως δὲ καὶ οἱ πρὸς κακίαν ὁδεύοντες οὐ πᾶν ἤδη τὸ σκοπούμενον ἀνευρήκασιν ἔτι τῶν μεθορίων ἐχόμενοι, ἀλλὰ τούτου τὸ μὲν ὅσον ἐπὶ τῷ πόνῳ καὶ τῇ προαιρέσει κατέλα-*
10 *βον, τοῦ δὲ καθ' ὅσον ἂν ἀφεστήκασιν ἀπολείπονται – εἰκότως οὐχὶ τὸ 'κακῇ', ἀλλὰ τὸ 'οὐκ ἀγαθῇ' εἴρηκεν, τῇ τοῦ ἀγαθοῦ ἀναιρέσει τὸ ἔμμεσον τοῦ πράγματος παριστῶν. πεφύκασι γὰρ τὰ ἐπιτηδεύματα, μέχρις ἂν ὡς ἐπί τι κατάλυμα τὰς πράξεις ἀφίκωνται, μηδὲν καθαρόν τε καὶ*
15 *ἄκρατον καὶ ἀμιγὲς τοῦ ἐναντίου ἐνδείκνυσθαι, προβαίνειν δ' ἐπὶ τὸ ἀκραιφνέστερον τοῦ τέλους ἀεί, τῶν μὲν ἀποχωροῦντα, πρὸς δὲ τὸ ἐφετὸν αὐτοῖς ἀποκαθιστάμενα καὶ οὔπω πρότερον ἀπολήγοντα πρὶν ἢ κατ' ἄκρας τοῦ σκοποῦ περιδράξωνται. ὅπερ ἵνα τρανότερον οἶμαι δηλώσῃ,*
20 *καὶ νῦν ἀκολούθως τῇ τοῦ παρανόμου ἐπὶ πᾶσαν οὐκ ἀγαθὴν ὁδὸν παραστάσει καὶ τὸ μηδὲ τῇ κακίᾳ προσοχθίσαι τοῦτον ἐπήνεγκεν. ἀναντιρρήτως γὰρ ἂν ὁ τοῖς ἀτόποις ἑαυτὸν εὐτρεπῆ παρασχὼν καὶ τῇ κακίᾳ μὴ προσοχθίσαι ἑλόμενος ἐπὶ τὸ μέγιστον τὴν ἀνομίαν ὡς ἐπί τι κατέληξε*
25 *βάραθρον.*

Ἀλλ' ἴσως καὶ τοῦτο ὑμῖν ἐπαπορεῖν περιγένοιτο, τί ὅτι μὴ οὕτω πως 'κακίαν δὲ οὐκ ἐμίσησεν' εἶπεν, ἀλλ' 'οὐ προσώχθισεν'. ἀλλ' οὐδὲν πρᾶγμα· δοκῶ μοι καὶ τοῦτο κατὰ τὸ εὔκολον ἀπολύσασθαι ἐκ τούτων ἀνελόντι τὰς
30 *ἀφορμάς. ἐν ἐπιτάσει τοῦ μίσους φιλεῖ τὸ ἔχθος ὑφίστασθαι, καθὸ τὸ μὲν ὑφειμένην καὶ ἐπιεικεστέραν κεκλήρωται τὴν πρὸς τὸν πέλας ἀποστροφήν, τὸ ἔχθος δὲ ἐντονωτέραν ἤδη καὶ ἀπηνῆ καὶ πρὸς ὅπλα παρασκευαζομένην καὶ πόλεμον. ἱκανὸν | τῶν λεγομένων μαρτύριον ὁ θειότατος οὗτος* 38ᵛ

29 *ἀνελόντ(ι)* comp. **M** || **30** *καθίστασθαι* (ὑφ supra), *καθ-* exp., **M**

ὑπετείνατο προφήτης, ἐφ' ᾧ τοῖς τὸν θεὸν μισοῦσι τὸ τέλεον καὶ αὐτὸς μῖσος προσνέμειν αὐτοῖς διαδηλότερον καθιστὰς τῷ πρὸς ἐχθρὰν αὐτοῖς μοῖραν κεκρίσθαι διεβεβαιώσατο 'τέλεον μῖσος ἐμίσουν αὐτοὺς' ἐπειπὼν 'εἰς ἐχθροὺς ἐγένοντό μοι'. ἐπεὶ τοιγαροῦν ταῦτα, εἰκότι λόγῳ τῷ 'οὐ 5
προσώχθισεν', ἀλλ' οὐ τῷ 'οὐκ ἐμίσησε' προσεχρήσατο, ὡς τοῦ μὲν μίσους τὸ ἧττον ἀποφερομένου τῶν βδελυκτῶν, νικῶντος δὲ τοῦ ἔχθους καὶ ὑπερτείνοντος τῷ κακῷ, ὥστε τὸ μὴ προσοχθίσαι τὸν παράνομον τῇ κακίᾳ τὸ μηδεμίαν ἐμφαίνει τῶν ὀλεθρίων ἔκκλισιν αὐτὸν πεποιηκέναι, ἀλλ' 10
ἀνενδότῳ μανίᾳ καὶ ἀκμαζούσῃ τῇ ῥύμῃ τῆς ἐπ' ἐκεῖνα φορᾶς ἔχεσθαι. τὸ γὰρ μὴ πάνυ μισεῖν εἰς τὸ μηδ' ὅλως ἡ τῆς Ἑλλάδος γλώσσης μεταλαμβάνει συνήθεια.

'Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν· ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ, τὰ 15
κρίματά σου ἄβυσσος πολλή'. *ἔοικε μὲν ὑπαλλάττειν ἐντεῦθεν ὁ λόγος καὶ πρὸς ἀλλοτριώτερον πάντῃ μεταχωρεῖν ἀπὸ τῆς τῶν προδιηγορευμένων ἐννοίας, ὡς ἕτερα μὲν ἐκεῖνα δοκεῖν, πρὸς ἕτερα δὲ τὰ νῦν μεθαρμόζεσθαι. πέπονθε δὲ τοιοῦτον οὐδέν, εἰ μὴ καὶ μάλα γε τῶν προτέ-* 20
ρων οὐκ ἀφιστάμενος, ἐν οἷς ἐκείνων κατηγόρησεν ἀποχρώντως, αὖθις ἐνδείξασθαι σπεύδων καὶ τὸ περὶ ἡμᾶς τοῦ θεοῦ ἀνεξίκακον. οὐδὲ γὰρ πάθει δουλεύειν οἶδεν ἡ μακαρία τῷ παντὶ καὶ ἀναλλοίωτος φύσις, οὐδὲ ταῖς τῶν ἀνθρώπων ματαιότησιν ὑποκνιζομένη τῆς ἑαυτῆς ἀγαθό- 25
τητος ἐπιλέλησται, ἀλλὰ καὶ ἀφεστῶτας μεταδιώκει καὶ ἀγκαλίζεται καὶ αὐθαδιζομένους ἀγαπᾷ καὶ οὐκ ἀποστρέφεται καὶ κατολιγωρούμενος παρ' ἡμῶν αὐτὸς ἐφ' ἑτοίμῳ προνοίᾳ τῶν λυσιτελούντων ἡμῖν ἀπησχόληται· καὶ νῦν μὲν τῇ οὐρανίῳ φορᾷ τὰς τῶν καιρῶν περιτροπὰς διοι- 30
κούμενος ἐλέῳ τῷ ἑαυτοῦ τὸ σοφὸν αὐτοῦ δημιούργημα κατοικτείρει, νῦν δὲ ταῖς νεφέλαις ἐντελλόμενος ὑετὸν καὶ

4–5 Ps. 138, 22 || **14–16** Ps. 35, 6–7 || **32** Ps. 77, 23

31 *αὐτοῦ*] -*οῦ* ex -*ῷ* (?) M

ἐπ' ἀληθέσιν ἀλλ' οὐ κατεσχημέναις εὐεργεσίαις ἐπισκεπτόμενος τὴν περίγειον μεθύσκει τε ταύτην τοῖς ὄμβροις σαφῶς καὶ πρὸς τὴν βλάστην τῶν ἐν αὐτῇ φυομένων συμφερόντως τοῖς ζῴοις ἀποκαθίστησι· καὶ τοῦτο
5 *διηνεκῶς δρῶν οὐχ, ὡς ἄν τις ἀπειρόκαλος οἰηθείη, τῷ ἀλογίστῳ τε καὶ ἀδίκῳ κατακαπηλεύει τὴν πρόνοιαν οὐδ' ἀπροβούλως τὸν ἔλεον τοῖς οὐκ ἀξίοις καταχαρίζεται, ἀλλὰ τῷ ὄντι ἡ δικαιοσύνη αὐτοῦ 'ὡς ὄρη θεοῦ', ἑδραία καὶ εὐσταθὴς καὶ πᾶσαν ἀποδιδράσκουσα περίνοιαν ἀνθρω-*
10 *πίνην καὶ πρὸς θεοπρεπὲς ὕψος ἐπαιρομένη καὶ ἀνατρέχουσα. τὸ γὰρ 'ὡς ὄρη θεοῦ' οὐ πρὸς ἑτέρου θεοῦ δημιουργίας ὑποληπτέον παράθεσιν (τίς γὰρ ἂν καὶ εἴη παρὰ τὸν ἕνα καὶ μόνον, κἂν τῷ τριττῷ διαστέλλεται τῶν προσώπων) χαρακτηρίζοντος δὲ τὸ ὂν τοῦ προσρήματος καὶ θαῦμα*
15 *τῷ λόγῳ | περιφανῶς προσενείροντος, καθὸ καὶ τὴν* 39r *Ἱερουσαλὴμ οἰκοδομεῖσθαι ὡς πόλιν ἀλλαχοῦ προκατήγγελται. οἷς ἑπομένως καὶ τὸ ἀνέφικτον τῶν κριμάτων (τίς γὰρ ἔγνω νοῦν κυρίου, κατὰ τὸ λόγιον, ἢ εἰς τὰ ἔσχατα τούτου ἀφίκετο;) ἀβύσσῳ πολλῇ παραβάλλεται, ἥντινα δεῖ*
20 *ταύτην νοεῖν· ἢ τὴν ἐν ἀπεριορίστῳ τε καὶ ἀνεξευρέτῳ οἱονεί τινι πυθμένι τὸ ἑαυτῆς γνωστὸν ἐναπολαμβάνουσαν; τοιαῦτα γὰρ τὰ κατὰ γῆν τῶν ὑδάτων συστήματα τῇ τῆς ἀβύσσου κατωνόμασται κλήσει.*

Νοοῖτο δ' ἂν τὰ προεφωδευμένα τοῖς τὴν διάνοιαν θεωρη-
25 *τικωτέροις καὶ πρὸς τὸ πνεῦμα μετανισταμένοις ἀπὸ τοῦ γράμματος καὶ κατὰ ταῦτα. οὐρανὸς μὲν ἡ πάντα τὰ κατ' ἀρετὴν συνέχουσά τε καὶ περισφίγγουσα κατὰ τὸ κρεῖττον εὐσέβεια, ἣν ἐλέῳ δεδωρῆσθαι κυρίου, ἀλλ' οὐκ ἐμμίσθῳ δόσει (τίνι γὰρ ταύτῃ τοῖς οὐδὲν προεισενεγκεῖν ἔχουσι;) καὶ*
30 *Παύλῳ τῷ θείῳ δοκεῖ, ὁπηνίκα πάντας μὲν ὑπὸ ἁμαρτίαν συγκεκλεῖσθαι, μόνῃ δὲ χάριτι σεσῶσθαι σοφῶς ἄγαν παρέστησε· νεφέλαι δὲ αἱ τὰς ἀνθρώποις ἐπεράστους ψεκάδας,*

1–2 Ps. 64, 10 || **15–16** Ps. 121, 3 || **17–19** Is. 40, 13; Rom. 11, 34 || **29–32** Gal. 3, 22

1 leg. *κατεσχηματισμέναις*? || **13** *διαστέλλεται*] *-εται* aut *-ηται* **M**

αἳ Χριστός εἰσι κύριος, ἐκ μετεώρου σοφίας ἀληθεστάτῃ προγνώσει τοῖς κάτω προχέουσαι, ὧν τῷ δίψει φλεγόμενοι, ὅ τε κατὰ τὸ ἀμύθητον τοῦ πόθου ἐρωτικῷ πάθει καὶ 'ἐν ἐρήμῳ γῇ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ' μὴ ἀπ' ἐλπίδος ποιούμενος τὸ ποθούμενον ἥ τε κατὰ τὰ ᾄσματα νύμφη ψυχή, ὁ 5 *μὲν περιπαθῶς μάλα 'ἐδίψησέ σε ἡ ψυχή μου' πρὸς τὸν ποθούμενον ἀνεφθέγγετο, ἡ δὲ πάλιν ἐπιθυμητικῶς πάνυ τοῦ ἐραστοῦ περικαιομένη δειχθῆναί τε τὴν ὄψιν καὶ τὴν φωνὴν ἀκουτισθῆναι πόρρωθεν ὅτι μάλιστα πρὸς αὐτὸν ἐποτνιᾶτο καὶ ἀνεκάλει τὸ δίψος ἐμφαίνουσα· – οὐκ ἂν δέ* 10 *τινας ἑτέρους ἀκουστέον νεφέλας ἢ τοὺς προφήτας, οἷς καὶ 'σκοτεινὸν ὕδωρ' τὸν διδασκαλικὸν ὡς ἐν συμβόλοις λόγον ἐναποκεῖσθαι ὁ παρὼν ᾐνίξατο μελῳδὸς καὶ τῶν προφητῶν ὁ μεγαλοφωνότατος Ἡσαΐας, εἴπερ ἐχέγγυος τὸν λόγον πιστώσασθαι, εἰς τοὺς προφήτας οἶμαι τὴν ῥῆσιν* 15 *ἐναπερείδων ὡς νεφέλας τε πέτασθαι τούτους καὶ ὡς νεοσσοὺς ἀετῶν διηγόρευσε· καὶ τῷ ἠγαπημένῳ δὲ πάλιν ἀμπελῶνι μὴ βρέχειν εἰς αὐτὸν ὑετὸν ἐντελεῖσθαι κύριον τὰς αὐτὰς δὴ ταύτας νεφέλας ἐπαπειλεῖ. ὧν καὶ μέχρι τὴν θείαν ἀλήθειαν ἀφικνεῖσθαι οὐδεὶς ἂν ἀμφιβάλοι, ὅτι μηδὲ* 20 *μετ' ἐκείνους τῆς κατ' ἐκείνους ἀληθείας ἐγκύμων τις ἄλλος ἡμῖν ὑπολέλειπται. δοκῶ δέ μοι καὶ ὄρη θεοῦ τοὺς αὐτοὺς τούτους κατονομάζειν τὰ νῦν, οἷς ἐνάμιλλον τὴν κατενώπιον κυρίου προπορευομένην δικαιοσύνην καὶ εἰς ὁδὸν εἰρήνης τὰ διαβήματα κατευθύνουσαν τίθεται· εἴη* 25 *δ' ἂν αὕτη Πέτρος καὶ Ἀνδρέας καὶ Παῦλος καὶ ὁ κατ' ἐκείνους ὄντως θεῖος χορός. ἐν οἷς ἑκατέροις πολὺ μὲν τὸ ὑψηλὸν καὶ τῆς κάτωθεν περιαγωγῆς τε καὶ ματαιότητος τὸ* 39v *ἀνακεχωρηκὸς καὶ τοῖς ἄλλοις | ἀπρόσοδον, πλεῖστος δὲ ὁ τῆς σοφίας βυθὸς καὶ τὰ κρίματα ἀνεξεύρετα, τοῖς μὲν ἐν* 30 *τῷ προφητεύειν ἢ διὰ τῶν ἐν συμβόλοις ἐπὶ τὰ μέλλοντα*

3–7 Ps. 62, 2 || **5–10** Cant. 2, 14 || **11–13** Ps. 17, 12 || **13–17** Is. 60, 8; cf. 40, 31 || **13–14** cf. Greg. Naz. Or. 4, 2, PG 35, 532 B 7 || **17–19** Is. 5, 1; 6 || **23–25** Ps. 84, 14; cf. Luc. 1, 79 || **29–30** Rom. 11, 33

3 *ὅ τε* Cs: *ὅτε* **M** || **6** *σε*] *σοι* LXX

χειραγωγία ἔσθ' ὅπῃ καὶ μὴ διὰ τῶν πάντῃ ἐπαινουμένων προβαίνουσα, ὁποῖα τὰ περὶ τὸν θεσπέσιον Ὠσηὲ πεπραγμάτευται, τοῖς δὲ ἐν τῷ καταγγέλλειν τὸν λόγον τοῦ σωτηρίου κηρύγματος ἡ διὰ τῶν πειρασμῶν θλῖψις τε
5 *καὶ ταπείνωσις, πολλοῖς σκάνδαλον ἐμποιοῦντα καὶ πρὸς κακούργους τοὺς διακονουμένους τὰς ὑπολήψεις ἐκτρέποντα καὶ δὴ καὶ τοῖς λειτουργοῦσιν αὐτοῖς φορτικῶν τε καὶ ἐπαχθῶν νομιζομένων, κἂν εἰ τὴν ἑαυτοῦ δύναμιν ἐν ἀσθενείᾳ τελειοῦσθαι τῷ γενναιοτάτῳ ὑπασπιστῇ Παύλῳ*
10 *ὁ τῶν παρατάξεων κύριος καὶ κραταιὸς ἐν πολέμοις ψυχαγωγῶν ἐχρημάτιζεν.*

'Ἀνθρώπους καὶ κτήνη σώσεις, κύριε, ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ θεός· οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσιν'. *ἔτι τῶν ἀπὸ τῆς προμη-*
15 *θείας τοῦ κρείττονος δεδωρημένων ἡμῖν τῆς εὐχαριστίας ἐξηρτημένος ἐπὶ τὸ ἄμεινον προάγει τὸν ὕμνον ἀπὸ τῆς ἀναισθήτου δημιουργίας ἐπὶ τὴν αἰσθητικήν τε καὶ ἔμψυχον προϊὼν τό τε περὶ αὐτὴν κηδεμονικὸν ἐκπληττόμενος καὶ συνῳδὰ τούτοις φθεγγόμενος· ἐν τῷ ὑπερβάλλον-*
20 *τι τοῦ ἐλέους σου πλούτῳ, μακρόθυμε, οἱ οἰκτιρμοί σου ἐπὶ πάντα τὰ ἔργα σου· ἀνθ' ὧν σῴζεις μὲν κτήνη, τὴν ἄλογον φύσιν καὶ ἀνεπαίσθητον τῆς σῆς προνοίας, σῴζεις δὲ καὶ ἀνθρώπους, τὸ τῆς σῆς ἔργον ἐξαίρετον ἁγίας χειρός, ἐξ ὁμοτίμου μὲν συντηρῶν (τοῦτο γὰρ νῦν τὸ σῴζειν*
25 *νοεῖν βούλεται), ἔχων δέ τι πλέον παρὰ τῆς λογικῆς φύσεως τὸ συνιέναι σου τῆς προνοίας καὶ τῇ ἐλπίδι τῇ ἐπὶ σοὶ οἱά τινι δωρεᾷ κατεπείγεσθαι τὴν σὴν ἀντιδεξιοῦσθαι χρηστότητα· ἔργον δὲ πάντως καὶ τοῦτο σὸν καὶ τῆς σῆς περὶ ἡμᾶς ἀγαθότητος. τί γὰρ ἔχομεν ὧν οὐκ ἐλά-*
30 *βομεν; τὸ γάρ τοι κινεῖσθαι τὸ πλάσμα πρὸς τὴν τοῦ πλάστου ἀνταμοιβὴν ἐκεῖνον ἂν αἰτιῷτο δικαίως τὸν καὶ λόγῳ τοῦτο τετιμηκότα καὶ τοῖς κατὰ δύναμιν ἀνταλλάγ-*

2–3 Os. 1, 2–9 || **8–11** 2 Cor. 12, 9 || **10** 1 Reg. 17, 45 | Ps. 23, 8 || **29–30** 1 Cor. 4, 7

5 fort. ⟨*ὡς*⟩ *πρὸς* || **31** *αἰτιῷτο*] *ἑστιῷτο* M, mg. *αἰτιῷτο ἴσ.*

μασι τοῦτον τιμᾶν συνετίσαντα. ἐπὶ τὸ μέλλον δὲ τῆς ἐννοίας τό τε σῴζειν καὶ τὰ τῆς ἐλπίδος προενήνεκται. ʻσώσεις’ γάρ φησι καὶ ʻἐλπιοῦσι’, σύνηθες ὂν τῇ γραφῇ τοῦτο, ἐνηλλαγμένως χρῆσθαι τοῖς χρόνοις, καθάπερ καὶ ἐπὶ τοῦ ʻἐν ποταμῷ διελεύσονται ποδί’, ἤτοι τῆς Ἑβραΐδος 5 φωνῆς ἀρχαϊζούσης καὶ μηδὲν σμικρολογουμένης περὶ τὰ χρονικὰ σημαινόμενα ἢ καὶ τῇ τοῦ μέλλοντος παρατάσει τὸ διηνεκὲς ἡμῖν ὑποβαλλομένης τῆς ἐλπίδος καὶ συντηρήσεως.

Ἔστι καὶ γλαφυρωτέρῳ διανοήματι τὸ τῇ ἐλπίδι ἐνθεωρούμενον 10 ἀναπτύξαι ἐκ τοῦ προφητικοῦ βάθους καταπλουτήσαντα τὸ ἐνδόσιμον. σκέπη μὲν γὰρ πτερύγων κατὰ τὸ πᾶσι ληπτὸν ἡ τοῦ θεοῦ νοοῖτ’ ἂν περὶ ἡμᾶς φρουρητικὴ πρόνοια καθ’ ὁμοιότητα τῶν πετεινῶν εἰλημμένη· καὶ γὰρ ἐκεῖνα οὐ μόνον τοὺς νεοσσοὺς θάλπει ταῖς πτέρυξιν, ἀλλὰ | 15 40r καὶ τῆς τῶν ἄλλων ἐπιβουλῆς ῥύεται, ἐπειδὰν οὗτοί τινα τῶν βλαπτόντων αἰσθόμενοι προσιόντα ὡς ἐφ’ ἑτοίμην βοήθειαν τὴν φύσασαν ἀποτρέχωσι. τοῦτο καὶ Ἐζεκίαν ἐπὶ ταῖς ἀπειλαῖς ʻΡαψάκου πεποιηκότα τὰ νομικὰ παρεδήλωσε 20 γράμματα, ὁπηνίκα καὶ τὴν τοῦ βαρβάρου ἀλαζονείαν ἐπὶ θεῷ μάρτυρι ἐξεπόμπευσεν. καὶ τὸ μὲν οὐδὲν δυσχερὲς ἐννοεῖν ὡς φθάνομεν ὑποθέμενοι, ἃ δὲ δι’ ἀπορρήτων ὁ λόγος ἡμᾶς ἐκβιβάζει, σκέπην πτερύγων καὶ τὴν περὶ ταύτας ἐλπίδα οὐκ ἂν ἄλλην ἢ τὴν τοῦ μονογενοῦς αἰνίττεσθαι συνίημι συγκατάβασιν. αὕτη γὰρ μόνη καὶ 25 θάλπει ζωογονοῦσα τὴν ἐν παραδείσῳ τὸ θνήσκειν κατακριθεῖσαν φύσιν, ἀπό τε τοῦ ἀποκτέννοντος γράμματος καὶ τῶν ἐφεδρευόντων δαιμόνων ταῖς προσβολαῖς ἀπομάχεται. καὶ ὅτι τοῦτο, ἐναργέστερον ἐκφανεῖ τὰ προκείμενα.

ʻΜεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου καὶ τὸν 30 χειμάρρουν τῶν τρυφῶν σου ποτιεῖς αὐτούς’. τὴν μέθην ἐκστάσεως ἴσμεν περιποιητικήν, ὁπόταν πέρα τῆς χρείας

4–5 Ps. 65, 6 || **18–21** 4 Reg. 19, 14–19; Is. 37, 14–20 || **27** 2 Cor. 3, 6 || **30–31** Ps. 35, 9

31 τῆς τρυφῆς LXX

ὁ οἶνος ὑποποθεὶς τῇ πεφυκυίᾳ θερμότητι πρὸς τὰ τοῦ
ἐγκεφάλου κοῖλα ἐξατμιζόμενος ἀναχωρῇ καὶ τὰ μὲν τῆς
ἑαυτοῦ ἐμπύρου νοτίδος πληρῶν διαρραγῆναι μὲν τὴν
κεφαλὴν τῷ ζῴῳ ἐπαπειλῇ, παρεμποδίζων δὲ τῷ ψυχικῷ
5 πνεύματι πιέζῃ τε τὸν ἐγκέφαλον καὶ ὀδύνῃ ἀφάτῳ
στενοχωρῇ, διὰ δὲ τῶν αἰσθητηρίων ἀποθλιβόμενος πρὸς
τὰ ἔξω καὶ τούτων τὸ εἰλικρινὲς τῶν ἐνεργειῶν ἀφελὼν
καὶ τὴν τῶν ἐπαισθημάτων συγχέας ἀντίληψιν, ἔπειτα διὰ
τοῦ ὑπαλείφοντος τὸν ἐγκέφαλον ὑμένος ἐπὶ τὰ νεῦρα
10 καταρρεύσας ἀθρόως καὶ ταῦτα τῇ συνυπούσῃ ἐξικ-
μάσας ὑγρότητι παρέλυσε μὲν καὶ τούτων τὸν τόνον, τῷ
δὲ ὅλῳ ζῴῳ τὴν πάρεσιν διῳκήσατο καὶ τοῦ εἶναι ὃ τέως
ἐξέστησεν. τοιοῦτό τι καὶ περὶ τὴν παροῦσαν μέθην κατα-
νοεῖν δίδοται. ἐπειδὰν γὰρ διὰ τῆς εὐτάκτου τῶν ὄντων
15 δημιουργίας ὁ ἄρτι κολλώμενος τῷ θεῷ τὸ ψυχωφελὲς καὶ
τὸν ἐντὸς ἄνθρωπον εὐφραῖνον πόμα κατὰ τὸ περιττὸν
σπάσας, ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων τὸ γενε-
σιουργὸν θεωρῇ, ὑπερεθερμάνθη τε παραυτίκα τῇ πρὸς
εὐσέβειαν ἀναθυμιωμένῃ ἐννοίᾳ καὶ οἱονεί τινι μέθῃ
20 γενόμενος κάτοχος ἐξέστη τῆς προτέρας ἀπάτης, μακρὰ
ταύτῃ τῇ ματαιότητι χαίρειν εἰπών, καὶ πρὸς τὴν ὄντως
ζωὴν ἑαυτὸν μεθηρμόσατο. καὶ ἐπειδὴ στοιχειώδους ἐδεῖτο
καὶ παιδοτριβοῦντος διδάγματος ἐπὶ τὰ μείζω καὶ τελεώ-
τερα τὸν ἐν αὐτῷ ἐπανάγοντος παῖδα, ταῖς τοῦ ἱεροῦ
25 Μωϋσέως ἐν τοσούτῳ περιτυχὼν εἰσηγήσεσιν, ἃ καὶ
χειμάρρουν καλεῖν εἴτε τὸ πρόσκαιρον καὶ ἀτελὲς | τῆς 40ᵛ
καθάρσεως τῶν ἐν τούτῳ, εἴτε καὶ τὸ σφοδρὸν καὶ ἀθρόον
τῆς τῶν ἀμεινόνων φορᾶς ὑπηγάγετο, κἀντεῦθεν ἤδη
τρανότερόν τε καὶ ἀνδρωδέστερον τοῖς κρείττοσιν ἐπι-
30 βλέψας καὶ τῇ περὶ τὰ τέως τρυφῇ, τὰ μὲν ἀτιμάσας διὰ τὸν
κόρον καὶ τῷ πολὺ μετέχειν τοῦ σαρκικοῦ καὶ γεώδους,
τῶν δὲ τὸ λοιπὸν ἀντισχόμενος, ὅσα πρὸς τὴν ἐκεῖθεν
εὐγένειαν καὶ τὴν ἀρχαίαν διάπλασιν ἀνατείνεται, εἰς

24 cf. Plat. Phaed. 77e 5

7 τούτων Wk: τοῦτον **M**

ἱκετείαν τὸ ἀπὸ τοῦδε ἀπεῖδε, τυχεῖν τῶν ποθουμένων δεόμενος. καὶ τίνα ταῦτα;

'Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς'. *ἐπειδή, φησίν, ἀρκούντως ἡμᾶς ἐξεπαίδευσας καὶ ὥσπερ διψῶντας πρώταις μὲν ταῖς ἀπὸ τοῦ οἴκου σου πιότησιν ἐξεμέθυσας, εἶτα ταῖς τοῦ γραπτοῦ νόμου τρυφαῖς παιδαγωγήσας καὶ τῶν ὑψηλοτέρων ὀριγνᾶσθαι ἀνεπτέρωσας, ἃ δὴ πάντα ὡς δι' εἰσόπτρου τὴν ἀληθῆ παρεμφαίνει ζωήν, σύ, φησί, μάκαρ θεέ, παρ' ᾧ γε μηδὲν ῥεῖθρον ζωῆς ἑτέρωθεν τὸ εἶναι ἐρανιζόμενον — ὅλος γὰρ εἶ πηγὴ ἀνεξάντλητος, πάσῃ τῇ κτίσει τῆς ἑαυτοῦ ἀγαθότητος προχέων τὰ νάματα — ἐν τῷ δεδωρημένῳ σου τέως ἀμυδρῷ καὶ συμμέτρῳ διὰ Μωϋσέως τῆς θεογνωσίας φωτὶ τὸ σὸν ἀληθινὸν ἴδοιμεν φῶς, τὸν σύμφυτον σοῦ καὶ τοῦ σοῦ πνεύματος λόγον, ὃν ἀπαστράπτεις ἀπλέτῳ μαρμαρυγῇ, ἐκ μιᾶς ἀποστίλβων τῆς παρὰ σοὶ μακαρίας λαμπρότητος. πάντως δὲ οὐδεὶς ἂν οἶμαι θεοῦ οἶκον τὸν ὁρώμενον εἰρῆσθαι κόσμον ἀρνήσεται ἢ οὗτος ὃς καὶ Μωϋσῆν πιστὸν ἐν ὅλῳ τῷ τοῦ θεοῦ οἴκῳ ἀκούων, ἀπὸ μὲν τοῦ ὄντος τὴν διάνοιαν ἀποπλανήσει, οὗ καὶ τὴν δημιουργίαν θεοφιλῶς Μωϋσῆς ἀναγράψας θεράπων πιστὸς τῷ θεῷ κεχρημάτικεν, ζητεῖ δὲ θεοῦ ἕτερον οἶκον ἴσως μυθώδη· κἂν ἐπὶ τὸν νόμον ἀποδραμῆται τῇ διανοίᾳ, οὐκ οἶκον, ἀλλ' οἴκῳ προστάγματα πρόσφορα καὶ οἰκουροῦντας καὶ οἰκουρὸν ἐπισκοποίη, ἐμβροντησίᾳ φερόμενος, δέον τὸ ἐμποδὼν διαβλέπειν χρυσίον μηδ' ἀλλαχοῦ τοῦτο ἀνερευνᾶσθαι τυφλοῖς ὅμοια. οὐδ' αὖ γε πάλιν ἐν τῷ παρόντι φωτὶ φῶς τις ὀφθῆναι αὐτῷ θεοῦ δεηθείη παρὰ τὸ ἐνυπόστατον τῆς δόξης ἀπαύγασμα, ἀφ' οὗ καὶ πᾶν ἀνθρώποις ἄλλο σώφρονος βίου φῶς ἀποπάλλεται, πλὴν εἰ μή που λημῶν ἤδη λαμπρῶς καὶ πρὸς τὸ φῶς τοῦτο δυσανασχετῶν ἱκανῶς καὶ ἀμβλυώττων ἑτέρου φωτὸς συμμέτρου ἐπιζητοίη*

3—4 Ps. 35, 10 || **8** 1 Cor. 13, 12 || **18—19** Num. 12, 7 || **28—29** Hebr. 1, 3

7 *ὀρίγνασθαι* **M** || **19** *ὄντ(ο)ς* **M** || **28** *θεοῦ*] *θ(εο)ῦ* ex *θ(ε)ῷ* **M**

ὑπόστασιν, γλαυκῶν εὐχῆς ἔργον καὶ νυκτικοράκων ἑαυτῷ συντελούμενος.

Ἀλλὰ γάρ, ὅ με μικροῦ τῇ τοῦ λόγου παρέδραμεν ὁρμῇ ἀνεξέταστον, δίκαιον ᾠήθην ἐν τούτοις προσθεῖναι, ὡς 5 *ἂν ᾖ τὸ ἀνελλειπὲς τοῖς παροῦσι προσποριζόμενον. ἐπισκεπτέον γὰρ ὡς 'ποτιεῖς' εἶπε 'τοῦ χειμάρρου' ἀλλ' οὐ 'μεθύσεις' καὶ 'τῶν τρυφῶν' κατὰ πλῆθος, ἀλλ' οὐ κατὰ τὸ ἑνιαῖον τῆς προφορᾶς, ὅτι μηδὲ δραστήριον τὰ τοῦ Μωϋσέως ἐντάλματα πόμα μηδὲ τέλεον αὐτῶν ἐξιστῶντα* 10 *τὰ ἐν ἑαυτοῖς τὸν ποιοῦντα αὐτὰ ζῆν | κατεπαγγελλόμενα,* 41r *ἀλλ' ἠρεμαῖον καὶ κατὰ βραχὺ ἀναψῦχον καὶ πρὸς τὴν κατὰ Χριστὸν τελειότητα ἐπαναφέρον τοὺς νηπιωδῶς αὐτοῖς προσανέχοντας, μηδὲ δι' ἑνὸς ἐξαρκοῦντα πρὸς κάθαρσιν ἁγνισμοῦ, ὁποῖον τὸ καθ' ἡμᾶς τῶν ἁμαρτη-* 15 *μάτων λυτήριον, ἀλλὰ πολλοῖς κεχρημένα καὶ διαφόροις τρυφαῖς μᾶλλον προσεοικότα τῷ τῆς πληρώσεως ἐφημέρῳ, μηδὲν δὲ κεκτημένα σφοδρόν τε καὶ διαρκὲς πρὸς τὴν τελείαν τῶν ἁμαρτημάτων κατάκλυσιν.*

'Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε καὶ τὴν 20 δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ'. *προστέτηκε ταῖς αὐταῖς τῶν πρώην δεήσεσιν ὁ τῇ τοῦ πνεύματος ἐλλάμψει τὸ μέλλον κατωπτευκὼς πόρρωθεν, μὴ διασκεδασθῆναι τὸν τοῦ θεοῦ ἔλεον, ἀλλ' ἐπὶ τὸ μᾶλλον παρατεινόμενον βραβεῦσαι τοῖς πρὸς ὑποδοχὴν τὴν καρδίαν εὐθύνασι τὴν* 25 *διὰ σαρκὸς ἔλευσιν τούτου ἐκείνου ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ θεοῦ δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις καὶ εἴ τι ἕτερον ὁ πρὸς τρίτον οὐρανὸν καὶ τὸν παράδεισον φθάσας ἀνύμνησε. δικαιότερον γὰρ οὕτω τῷ ῥητῷ ἐπιβάλλειν ἢ κατὰ τὸν πρόχειρον τοῖς πολλοῖς νοῦν, εἴπερ* 30 *πνευματικῶς τὸν νόμον νοεῖν κελευόμεθα, ὃν καὶ σκιὰν τῶν μελλόντων νοεῖν ἐπέγνωμεν αὐτῷ τούτῳ τῷ θείῳ Παύλῳ πειθόμενοι. νόμος δὲ πάντως καὶ τὰ παρόντα, ἂν μὴ ῥᾳθύμως καὶ διακένως τῆς ἀληθοῦς ἐπακούωμεν σοφίας,*

5–8 Ps. 35, 9 || **10** Lev. 18, 5; Rom. 10, 5 || **19–20** Ps. 35, 11 || **25–26** 1 Cor. 1, 30 || **27–28** 2 Cor. 12, 2 || **29–32** Col. 2, 17

ἐν οἷς τῷ τοῦ παρόντος βιβλίου προσχρώμενος λόγῳ 'ἐμίσησάν με' φάσκων που 'δωρεὰν' ἐπὶ τὸν νόμον τοῦτο γεγράφθαι παρέπεμπεν.

'Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με. ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι 5 τὴν ἀνομίαν, ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι'. *μετακεκίνηται γὰρ τὰ τῆς τάξεως τῶν προκειμένων, ὥσπερ τῇ λέξει, οὕτω γε δὴ καὶ κατὰ τὴν ἔννοιαν. οὐ γὰρ ὁ ποὺς τῆς ὑπερηφανίας παραίτιος τοῦ τῇ χειρὶ τῶν ἁμαρτωλῶν σαλεύεσθαι τὸν φιλόθεον, ἀλλ' ἡ χεὶρ ἔμπαλιν, ἤτουν* 10 *ἡ ἀσωφρόνιστος τῶν ἐπὶ τοῖς ἀδεῶς βιοῦσιν ἀπὸ τοῦ κρείττονος πρᾶξις, τὸν σάλον ἐπάγουσα πρὸς ὕβριν ἔσθ' ὅτε τοὺς δικαίους ἠρέθισεν. ἀσφαλὴς τῷ λόγῳ τὸ βέβαιον ὁ μακάριος οὗτος ἀνὴρ ἐπιδαψιλεύσασθαι, ὅς τά τ' ἄλλα καὶ ὅτι τὴν τῶν ἁμαρτωλῶν εὐθηνίαν σκοπεῖν ἐπανείλετο,* 15 *παρὰ μικρὸν ὁμολογῶν σεσαλεῦσθαι τοὺς πόδας καὶ ἐκκεχύσθαι τὰ διαβήματα, ὡς ἐπὶ ζῆλον ἀπροφασίστως παρακαλούντων ὧν οὗτοι κατὰ τὸν ἐνεστῶτα τρυφῶντες ἀδεῶς ἀπολαύουσιν, οὐχ ἧττον δὲ τούτων κἀκεῖνο πρὸς ἐξαπάτην, πάλιν φησί, καὶ τὸ μηδεμίαν ὁρᾶσθαι τῶν* 20 *παιδαγωγεῖν εἰωθυιῶν ἐπαγομένην αὐτοῖς στερεὰν μάστιγα ('οὐκ ἔστι' γάρ φησιν 'ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν' – ἤτοι 'δυσπάθεια' κατὰ τὸν Σύμμαχον — 'καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν'), ὅπερ οὐκ ἔστι κατ' ὀλίγον καὶ ἀμφιβαλλομένην καὶ σκάζουσαν, ἀλλ' εἰς τελείαν ὑπερ-* 25 41v *ηφανίαν ἐξέμηνεν· | πόδας καὶ διαβήματα τὰς ἐπὶ τὸ δρᾶν ἡμῶν κινήσεις τροπικῶς ὀνομάζων. ὡς γὰρ ποδῶν ἔργον τὰ διαβήματα, οὕτω καὶ ψυχῆς ἐπιτηδευμάτων αἱ πράξεις γνωρίζονται. ἀλλ' ἐπειδὴ ταῦτα, καὶ χεῖρα τῶν ἁμαρτανόντων ἐπὶ τὸ πρακτικὸν ἔγνωμεν ἀναφέρεσθαι, καθὸ καὶ* 30 *λύθρῳ τοῦ τῶν τοιούτων φόνου τὸν δίκαιον τὰς ἑαυτοῦ χεῖρας, εἴτουν πράξεις, φαμὲν ἀπονιπτόμενον ἐκκαθαίρεσθαι, ταῦτα διατρανοῦμεν ἐπὶ τῶν προκειμένων, ὡς*

1–2 Io. 15, 25; Ps. 34, 19; 68, 5 || **4–6** Ps. 35, 12–13 || **14–26** Ps. 72, 2–4 || **30–33** Ps. 57, 11

7 *τάξεως* ex *στάσεως* M || **24** *οὐκ ἔστι*] fort. *οὐκέτι*

εὐχῇ τὸ ἀπὸ τοῦδε συγκαταλύει τὸν λόγον μηδὲν αὐτῷ δεόμενος κατὰ διάνοιαν ἐντακῆναι ὃ πρὸς τὴν μίμησιν τῶν ἁμαρτωλῶν ἐκκαλούμενον, εἶτα πρὸς ὑπερηφανίαν ἐπᾶραν μετάρσιον, μεγίστῳ κακῷ περιβάλοι ἐξ ὑπερδεξίου τοῦ
5 πτώματος· εἰς ὃ πάντας (οὕτω γὰρ Σύμμαχος ἐκδέδωκε, τὸ 'ἐκεῖ' 'ὅπου' εἰπών) καταβεβλῆσθαι τοὺς ἐργάτας τῆς ἀνομίας διατεινόμενος ἐξῶσθαί τε τούτους τῆς τῶν κρειττόνων ἐλπίδος, ὧν τὰ προκείμενα ἡμῖν κατηγγύησεν, ἐμπεδοῖ καὶ μὴ ἄν ποτε στῆναι πρὸς τὸ προσῆκον ἐπανα-
10 γομένους τῆς στάσεως. τοιοῦτο γὰρ τὸ τῆς ὑπερηφανίας κακὸν καὶ ὅσον εἰς βλάβην ψυχῆς Παῦλος ὁ θεῖος ὑπέφηνεν, κρίμα τοῦτο τοῦ διαβόλου εἰπὼν ὡς δυσανάκλητον πρὸς διόρθωσιν. διὸ καὶ ἕτερος τῶν θεοφορουμένων, ἵνα τὸ ἀκαμπὲς αὐτοῦ καὶ ἀμείλικτον πρὸς μετάνοιαν ὑπογράψῃ,
15 ἄκμονι αὐτὸν ἀνηλάτῳ κατὰ τὴν ὑποικουροῦσαν καὶ ἀναπόβλητον ἕξιν διὰ τοῦ τῆς καρδίας αἰνίγματος ἀφωμοίωσεν.

Ἀλλὰ τί ταῦτα, φαίη τις ἄν, τοῖς ἄνω λυμαίνεται; ἐμοὶ δὲ οὐκ ἔστιν ὅσον εἰπεῖν. ὃς γὰρ τῷ ἀκολάστῳ τοῦ βίου ἐπὶ τὸ πλημμελὲς τῶν διανοημάτων ἀπεῖδεν, ἀρχὴν μὲν
20 πρόνοιαν ἀπωθήσατο τοῦ παντὸς ὡς πορρωτάτω παραπεμψάμενος, εἶτα τῇ ὑπερηφανίᾳ λοιπὸν συγκροτούμενος πάντα μὲν ἀπεσείσατο χαλινὸν σωφροσύνης, πρὸς πᾶν δὲ θεοσεβείας διδασκάλιον ἀπηγόρευσεν, εἰς λῆρον μὲν τὸ διὰ τῶν ὁρωμένων τὸν δημιουργὸν ἐννοεῖν λογιζόμενος, εἰς
25 ληρωδέστερον δὲ τὸ διὰ σαρκὸς ἡμῖν τοῦτον ἐπιφανῆναι τιθέμενος. τίς γὰρ αὐτῷ δοκεῖ ταῦτα ὑπάρξαι ἀνάγκη, ᾧ τὸ αὐτόματον εἰς ὑπόστασιν τῶν ὁρωμένων τῷ τῆς ζωῆς ἀσωφρονίστῳ πρεσβεύεται;

Ὅπερ ἵνα μὴ πάθωμεν, λαὸς ἐμὸς καὶ θεοῦ, μᾶλλον δὲ ὅτι
30 θεοῦ καὶ ἐμός, τέκνα τίμια, ἠγαπημένα Χριστοῦ θρέμματα, τῆς μὲν εὐροίας τοῦ παρόντος αἰῶνος πλανώσης καὶ πλανωμένης ὡς ἐπιβούλου τῶν ἡμετέρων ψυχῶν καταπτύσαντες, ἅμα δὲ καὶ ὡς κατ' οὐδὲν ταύτης τοῖς θεοφιλέσιν ἐποφειλομένης – τί γὰρ ἂν βίος ἄνετός τε καὶ

10–12 1 Tim. 3, 6 || **13–16** Iob 41, 16 || **17** unde? || **31–32** 2 Tim. 3, 13

ἀπολαυστικὸς συντελέσαι ἀνδρὶ πόνῳ καὶ καμάτῳ τὰ τῆς ἀρετῆς μεμελετηκότι βραβεῖα κομίζεσθαι καὶ τὸ δοκίμιον ἑαυτοῦ ἐν τῇ τῶν πειρασμῶν γενναιότητι εἰωθότι παρέχεσθαι; οὐκ ἔστιν ἐκεῖνα κλῆρος ἐμός, φησὶ καὶ νῦν κύριος, οὐδ' αὕτη μερὶς τοῦ τὴν κακίαν | πτερνίζοντος 5 ἠγαπημένου καὶ ἀπλάστου Ἰακώβ, Ἠσαῦ ταῦτα τοῦ μεμισημένου καὶ τῆς πατρῴας ἑστίας βεβήλου, ὃς ὄρειός τε καὶ ἀνοδίαις χαίρων ὡς τὰ πολλὰ καὶ φακοῦ προσοψήματος τὰ πρωτοτόκια ἀποδόμενος. αὐτοὶ δὲ τὴν τοῦ ἡμετέρου Χριστοῦ ταπείνωσιν ἐπαναλαβόμενοι τοῦ πράου καὶ ταπει- 10 νοῦ τῇ καρδίᾳ καὶ μορφῆς μὲν τῷ πατρὶ κοινωνοῦντος καὶ φέροντος τὰ πάντα τῷ ἑαυτοῦ ῥήματι τῆς δυνάμεως, οὐκ ἀπαξιώσαντος δὲ καὶ υἱῷ γενέσθαι τε καὶ κληθῆναι ἀνθρώπου τῷ ἡμετέρῳ προσλήμματι καὶ νίψαντος τοὺς πόδας τῶν μαθητῶν ταῖς χερσὶ καὶ ὑπὸ τοῦ ἀγνώμονος 15 μαθητοῦ παραδεδομένου καὶ ἐπὶ πᾶσι σταυροῦ θανάτῳ ἀτιμασθέντος, ἵν' ἐγὼ τοῦ θανάτου καὶ τῆς ἀτίμου δουλείας ἐξαιρεθῶ τοῦ ἐν παραδείσῳ μοι πάλαι βασκήναντος· — τούτων ἁπάντων τὴν μνήμην ἔναυλον περιφέροντες ἐργαζώμεθα ἐν ἑαυτοῖς τὸν ἀγρὸν τὸν πλήρη, ὃν εὐλόγησε 20 κύριος, ἐν τῷ τῆς ταπεινώσεως ἑαυτῶν ὕψει καυχώμενοι. ἐργασόμεθα δὲ πῶς; οὐκ ἐν τῷ τοῖς ἄλλοις ἐπιδεικνύναι κατεπειγόμενοι (μανία γὰρ ἀναντίρρητος τὸ ἐξ ὑπερηφανίας κακὸν ἀποτρέχοντας τὴν πρὸς ἐκείνην ἀπάγουσαν ἐπίδειξιν ἐπισπάσασθαι), ἀλλ' ἀνεπαίσθητον τοῖς ἄλλοις τὸν 25 θησαυρὸν φέροντες καὶ μόνῳ τῷ ἐν τῷ κρυπτῷ πατρὶ βλέποντι γινωσκόμενον, τὴν παρ' ἐκείνου ἀνάρρησιν ἐκδεχώμεθα, ὅταν τῶν ἡμετέρων κριτὴς παραγένηται καὶ τὴν κατ' ἀξίαν ἑκάστῳ μισθαποδοσίαν παρέχηται. μεθ' οὗ δόξα τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, 30 νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

(42r at line 5)

2 1 Cor. 9, 24; Phil. 3, 14 || **2–3** Iac. 1, 2–3; 1 Petr. 1, 6–7 || **4–6** Ier. 10, 16; 28, 19 || **5–6** Gen. 25, 26–27 || **6–7** Mal. 1, 2–3; Rom. 9, 13 || **7–9** Gen. 25, 27–34 || **9–11** Mt. 11, 29 || **11** Phil. 2, 6–7 || **12** Hebr. 1, 3 || **14–15** Io. 13, 1–11 || **16–17** Phil. 2, 8 || **20–21** Gen. 27, 27 || **21** Iac. 1, 9 || **26–27** Mt. 6, 18

14 προσλήμματι Wk: προσλήματι **M**: προσρήματι Cs

5

Ἀρέθα ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας πρὸς τὴν ὑπὸ τῶν Ἀρμενίων γραφεῖσαν ἐπιστολήν

Armeniorum litteris respondens duo capita attingit: alterum de auctoritate concilii Chalcedonensis, qua spreta nullum praesidium contra errores Nestorii, Eutychis, Severi superesse monet, pleniorem refutationem pristinis scriptoribus, praesertim Photio, relinquens; alterum de trisagio hymno, in quem Armenii verba 'qui crucifixus es pro nobis' inseruerant, testimonio Chrysostomi ut putabant nisi. quos Arethas docet et incorruptam famam de origine hymni et Chrysostomi genuinum textum Constantinopoli conservari, neque hunc hymnum de solo Filio, nedum de humana Christi natura accipi posse.

Arethae opusculum scriptum esse cum Nicolaus patriarcha et Ioannes catholicus per litteras de rebus publicis agebant coniecit Papadopulos-Kerameus (a. 918–920).

Καὶ τῆς ἱερᾶς ὑμῶν υἱότητος λόγον ἀποδιδόναι περὶ τῆς καθ' ἡμᾶς ἐλπίδος κατεπειγούσης καὶ τῆς μεγάλης καὶ
5 *θεσπεσίας Χριστοῦ σάλπιγγος Παύλου τὰς ἀσυνέτους κενοφωνίας περιΐστασθαι παρεγγυώσης ὡς ἐπ' οὐδενὶ μὲν χρησίμῳ συντελουμένας εἰς μάχας δὲ καὶ φιλονεικίας ἀποτελευτᾶν εἰωθυίας καὶ τὸ ἁπλοῦν τε καὶ ἄδολον καὶ εἰρηναῖον γνώρισμα τῆς Χριστοῦ μερίδος εἰς τοὐναντίον*
10 *διαβαλλούσας, μέσος ἀμηχανίας ἐπὶ πολὺ κατεστάθην, τίνι προσνείμω τὴν τῶν προαιρουμένων ἀποσκοπεύων ῥοπήν, πότερον τοῖς ἐν προσχήματι τοῦ μαθεῖν ἐπὶ τὰς εἰκῇ καὶ*

3–4 1 Petr. 3, 15 || **5–7** 2 Tim. 2, 16; cf. 14

5 Papadopulos-Kerameus[1] 36–46

μάτην ἐρεσχελίας παρακαλοῦσιν ἢ τὴν γλῶσσαν πεδήσας καὶ τὴν τοῦ λόγου ῥύμην τῷ τῆς σιωπῆς χαλινῷ κατάγξας τὸ πᾶν τῆς τοῦ θείου Παύλου γένωμαι διδασκαλίας.

Ταῦτα κατ' ἐμαυτὸν στρέφων οὐκ ἐπὶ βραχὺν χρόνον καὶ ἐφ' ἑκάτερα ταλαντεύων τὴν γνώμην, ὀψὲ μέν, ἀλλ' οὖν 5
42ᵛ *ἀνεῦρον ὅ τι καὶ χρήσομαι ἐμαυτῷ. ἵνα γὰρ | μὴ τῇ τελέᾳ σιγῇ ἐπὶ τὸ ἄπορον τῇ ὑμετέρᾳ υἱότητι προβαίνων καταφανῶ μηδ' αὖ πάλιν τῇ τοῦ λέγειν ἀσχέτῳ φορᾷ πόρρω δόξω φερόμενος τῆς σοφῆς ἐπισκήψεως ἅτε δὴ τὸν τῆς σωφροσύνης ἐνδακὼν χαλινόν, ἀμφότερα ταῦτα κεράσας* 10 *εἰς ἕν, καὶ τὶ μὲν ἐπεγνωκὼς ῥητέον εἶναι τοῖς τὸν λόγον ἐπιζητοῦσιν ὑμῖν, τὶ δὲ ἐπισχεῖν τῷ μεταρσίῳ Παύλῳ πειθόμενος, ἥκω τὰ νῦν σὺν ἐπιρρώσει τοῦ θείου καὶ ἡγεμονικοῦ πνεύματος εἰς τὸν τοῦ λέγειν ἀγῶνα καθεὶς ἐμαυτόν. οὐδὲ γὰρ εὐπρεπὲς ἄλλως οὐδ' ὅσιον, τοὺς μὲν* 15 *ἐπὶ διαστροφῇ τῆς εὐσεβείας τὸν ἑαυτῶν λόγον προβαλλομένους μηδὲν κατοκνεῖν, ἡμᾶς δὲ ῥαθυμοῦντας καὶ ἀναπεπτωκότας ὁρᾶσθαι τὸ νόστιμον τῆς ὀρθῆς πίστεως ἅλας μωραίνοντας.*

Τὸ μὲν οὖν μήτε τὸν χρόνον τινὰς δυσωπεῖν, εἰς ἔτη που 20 *συγκεφαλαιούμενον πεντακόσια, καθ' ὃν παῖς παρὰ πατρὸς ἐκδεχόμενος τὸν ἱερώτατον κλῆρον παρέπεμψαν πρὸς ἡμᾶς, ἐλευθεριώτατον καὶ οἰκουμενικὸν θέσπισμα, μήτε τὸ πλῆθος τοῦτο μὲν τῶν συγκροτησάντων τοῦτο δὲ τῶν ἐπιγενομένων ἀξιολόγων καὶ θείων τῷ ὄντι ἀνδρῶν τὴν ἐν* 25 *Χαλκηδόνι μεγάλην καὶ θαυμασίαν σύνοδον καταδέχεσθαι καὶ ταῖς πρὸ ταύτης τρισὶ συγκαταλέγειν τε καὶ συναριθμεῖν, ὀκνῶ μέν, ἀλλ' ὅμως εἰρήσεται, εἰς ἀπειθεῖς ὄντως ἀποσκυβαλιζομένων ἔργον ἀνθρώπων καὶ μὴ ἂν ἑλέσθαι πρὸς τὴν ἀλήθειαν ἐνατενίσαι σκοπὸν προστησαμένων,* 30 *ἀλλὰ τῷ φωτὶ ἑαυτῶν κεκρικότων πορεύεσθαι καὶ τῇ φλογὶ ᾗ ἐξέκαυσαν. τί δ' ἄν τινι καὶ δοθείη καὶ τί προστεθείη πρὸς γλώσσας τοιαύτας, ἔριδι καὶ διχοστασίαις τὸ*

14 Ps. 50, 14 || **10** cf. Plat. Phaedr. 254 d 7 || **18—19** Mt. 5, 13; Luc. 14, 34 || **31—32** Is. 50, 11 || **32—33** Ps. 119, 3 || **33** 1 Cor. 3, 3

τοῦ ζῆν χαρακτηριζούσας ἐξαίρετον καὶ τούτῳ πρός τε
τὸ σαρκικῶς ἀλλ' οὐ κατὰ Χριστὸν βιοῦν ἀπορρεούσας
πρός τε τοσαύτας ἱερὰς καὶ θείας ἀντιβλεπούσας συνόδους
τὰς μετὰ τὴν ἐν Χαλκηδόνι μέν, κρηπῖδα δὲ τὴν ἐν
5 *Χαλκηδόνι τιθεμένας, καὶ ἔρεισμα πίστεως οὐδεμίαν*
αὐτὰς ἐχούσας οὐδὲ τὴν φαυλοτάτην οἰκουμενικὴν σύνοδον
τὴν ἑαυτῶν κατὰ τοῦ χρηστοῦ σίτου ζιζανιώδη ἐπεισσπο-
ρὰν ῥωννῦσαν καὶ ἐπισχύουσαν, πλὴν εἰ μή που σπήλαια
λῃστῶν διὰ τῆς αὐλῆς καὶ τοῦ προτειχίσματος, οὐ διὰ
10 *τῆς θύρας, βιαζομένων τὴν εἴσοδον, καὶ {εἰς} ἀλώπεκας*
ἀφανίζοντας μὲν ἀμπελῶνας, μικροὺς δέ, οὐ μέντοι γε καὶ
ἀγρὸν πλήρη δογμάτων ἐνθέων τῆς ἀκραιφνοῦς πίστεως
χρόνῳ καὶ λόγῳ τὸ κράτος καταπλουτούντων καὶ τῆς τῶν
γεωργούντων φιλοπονίας οὐκ ἀτιμότερον, ὃν ὁ τοὺς
15 *εὐλογοῦντας ἀντευλογῶν μόνος εὐλόγησε κύριος.*

Καὶ πρός γε τούτοις ἐκεῖνό φημι, ὡς εἴ τις Νεστορίῳ
τῷ δυσσεβεῖ καὶ τῷ μετ' αὐτὸν ἴσην ἐκ διαμέτρου τὴν
ἀσέβειαν ἀπενεγκαμένῳ δυστυχεστάτῳ Εὐτυχεῖ κατα-
χαρίζεσθαι βουληθείη, οὐκ ἄν τι τοιοῦτον οὐδὲν κα|-
20 *τασπουδάσαι ἐργάσασθαι ὡς τῇ ἐν Χαλκηδόνι συνόδῳ* 43r
διαβεβλημένως κεχρῆσθαι· τῷ μὲν ὡς τὴν τῶν δύο υἱῶν ἐπὶ
τοῦ θεανθρώπου ταύτην ἀθετοῦσαν μανίαν καὶ εἰς μιᾶς
ὑποστάσεως εὐσεβῆ τε καὶ σώφρονα σύνθεσιν τὸν αὐτὸν
ἑνοποιοῦσαν καὶ ἀφορίζουσαν (πῶς γὰρ ἂν εἷς ἀνθ' ἑνὸς
25 *νέος Ἀδὰμ καὶ κύριος εἷς ὁ πρὸς δύο κατατεμνόμενός τε*
καὶ διασπώμενος πρόσωπα;), τῷ δὲ ὡς τὸ δυστυχὲς
ἀπελέγξασαν φρόνημα τοῦ ἐπ' ἀναιρέσει τῆς σωτηρίου
ἐνανθρωπήσεως τὴν σάρκα φαντάζοντος, αὐτὴ τοῖς
ἐναλήθεσι δόγμασι τῶν ἐπὶ Χριστοῦ ἀληθῶν φύσεων
30 *ἀσυγχύτῳ συνδρομῇ τε καὶ συνυπάρξει ἕνα υἱὸν ἐκ δύο τῶν*

7—8 Mt. 13, 25 || **8—9** Mt. 21, 13; Mc. 11, 17; Luc. 19, 46 || **9—10** Io. 10, 7—9 || **10—11** Cant. 2, 15 || **11—15** Gen. 27, 27; cf. 29 || **25** 1 Cor. 15, 45 | 1 Cor. 8, 6; Eph. 4, 5

2 *τὸ* Pk: *τῷ* **M** || **7** *ἐπεισσπορὰν* Wk: *ἐπεισπορὰν* **M**: *ἐπισπο-ρὰν* Pk (cf. p. 22, 27) || **10** ante *καὶ*] *εἰ* ind. **M** | *εἰς* del. Wk

ἐναντίων φύσεων εἰς μιᾶς συνέλευσιν ὑποστάσεως τὸν μονογενῆ υἱὸν ὡς ἄνωθεν κατὰ τὸ ὑπερούσιον ἐκ πατρὸς καὶ κάτωθεν κατὰ τὸ ἡμέτερον ἐκ μητρὸς εἰλικρινῶς καὶ ἀνεπιθολώτως χρηματίσαντα δογματίσασα. ἢ πῶς ἂν ἀληθῶς πάθοι καὶ τίνι σωτηρίως τὸ πάθος προβαίνοι αὐτὸς 5 *ἢ φάσματι περιάπτων τὸ πάθος ἢ τὴν ἀπρόσιτον φύσιν τῷ πάθει διεφθορώς, ὡς μηδὲ πιστεύεσθαι τὸ ἐντεῦθεν τοῖς ἄλλοις βραβεύειν τὴν σωτηρίαν τὸν μηδὲ τῇ ἑαυτοῦ φύσει τὸ ἀπαθὲς διασώσαντα; ἧς εἴ τις τὸ φρόνημα ἀθετῶν ἀποσκιρτᾶν ἕλοιτο, λάθοι ἂν κατὰ κρημνῶν τὴν* 10 *ἀσέβειαν ὁμοτίμων ἐξωθῶν ἑαυτὸν καὶ τῇ ἐναντιότητι τῶν ληρημάτων εἰς τραγελάφους τε, τὸ μυθῶδες, καὶ κενταύρους τὸν τῆς ἑαυτοῦ πίστεως χαρακτῆρα ἀφομοιούμενος καὶ ταὐτὸ ἐκεῖνο Σεβήρῳ τῷ δυσσεβεῖ ἐκ τάφου ἀνεῳγμένου τοῦ ἑαυτοῦ λάρυγγος ἐρευγόμενος καὶ πρὸς* 15 *τὴν αὐτὴν Σεβήρῳ κατακυλιόμενος ἀρὰν καὶ τοῦ ἐνδίκου κληρονομῶν ἀναθέματος. ὁ γὰρ οἷς ἂν ἀντιλέγον ὁρῷτο τὸ ἀποσκευαζόμενον τούτοις τῇ πρὸς αὐτὸ διαβολῇ τε καὶ ἀθετήσει συνηγορῶν, οὗτος ὁμόγλωσσος ἐκείνοις καὶ ὁμογνώμων, κἂν μήπω ταὐτὸν ἐκείνοις τὸ βλάσφημον* 20 *κατὰ τῆς ἀληθείας ἐξεμῇ. καίτοι γε ἐχρῆν, οἶμαι, ἐκείνων τὸ δύσφημον ἐκφαυλίσαντας καὶ ταύτην ἀσπάζεσθαι τὴν ἐν γενναιότητι δογμάτων θεοπρεπῶν τοὺς θῆρας λαμπρῶς παραδειγματίσασαν καὶ πρὸς τοὺς ἑαυτῶν φωλεοὺς ὑποδῦναι καταναγκάσασαν, καὶ σεμνύνουσαν μὲν Κύριλλον,* 25 *οὗ δῆθεν ὑμεῖς ἀντεχόμενοι καὶ ᾧ συνομολογεῖν ἐγνωκότες ταύτην ἀποκηρύττετε, ὑπεραγαμένην δὲ μάλιστα καὶ εἴ τις τῷ θείῳ τούτῳ ἀνδρὶ τὴν περὶ τούτων γνώμην ἐνάμιλλος. πῶς δ' ἄν, εἰ διάφορος αὕτη Κυρίλλῳ τὴν κατὰ τὴν οἰκονομίαν ὁμολογίαν, ἢ παρεδέχετο Κύριλλον ὅλως* 30 *ἢ τοῖς ἄλλοις πατράσι συνεξεθείαζεν, ἀλλ' οὐ ταὐτὸν Εὐτυχεῖ τε καὶ Διοσκόρῳ ἐμίσει καὶ ἀπεστρέφετο;*

14—15 Ps. 5, 10

4 *ἢ* Wk: *ἡ* **M** (?*ἤτοι* legit Pk) || **14** *ταὐτὸ* Pk: *τοῦτο* **M** || **26** *ὑμεῖς* Pk: *ἡμεῖς* **M**

σωφρόνων γὰρ ἂν καὶ παντὸς τὴν ἀλήθειαν τιμωμένων μηδὲν καθυφεῖσθαι καὶ ἐγκαλύπτεσθαι τῶν ὅσα καπηλεύειν τὸν ὀρθὸν λόγον ἐπίσταται καὶ πρὸς καιροὺς καὶ τύχας τὸ φίλτρον ἐξειθικότα διασκευάζεσθαι.

5 Γέλως δέ με καὶ πρὸς ἐκεῖνο τῶν παρ' ὑμῶν | ἔχει 43ᵛ προτεινομένων· ἀπόβλητον γὰρ ὑμῖν κατασπεύδουσι τὴν ἐν Χαλκηδόνι σύνοδον ἀποφῆναι, ὡς ἂν ἐξῇ ἀδεῶς τὸ πρὸς μίαν σύνθετον φύσιν κακὸν παρεμπόρευμα παρρησιάζειν, πρὸς ὃ ταύτῃ ἐν μιᾷ ὑποστάσει ἐκ δύο ἀναλλοιώτων 10 φύσεων τὸ ἀγώνισμα, πολλοῖς ἐκβιάζεσθε ταύτην τοῖς Νεστορίῳ ἀνωμολογημένοις συνομογνωμονεῖν. ἐγὼ δὲ εἰ μὲν ὅτι Νεστορίῳ ἔν τισιν ὁμογνωμονεῖ διὰ ταῦτα δικαία ἐκβάλλεσθαι οὔπω φημί, πρὶν ἂν τῶν κατεπειγόντων ἀπαλλαγεὶς εἰς τὸν ἐπιτήδειον ἀφικέσθαι παρῇ· 15 οἷς δὲ συνομολογεῖ τούτῳ εἰ δυσσεβείας φέρει κατάγνωσιν, οὐκ ἂν ἄλλον ἔχοιμι τούτου μείζω τοῖς οὕτω πρεσβεύουσιν ἀθεΐας ἔλεγχον κατασκεδάσαι. εἰ γὰρ ὅτι θεὸν τέλειον ἐκ πατρὸς τὸν υἱὸν πρὸ τῶν αἰώνων καὶ ἄνθρωπον τέλειον ἐκ μητρὸς τὸν αὐτὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν προελθεῖν 20 Νεστόριος ἐμπεδοῖ, μέχρι τούτου διανοούμενος κάλλιστα, συνᾴδει δὲ τούτοις καὶ ἡ ἐν Χαλκηδόνι, θεὸν ἀληθῆ τὸν Χριστὸν τὸν ἐν ἀρχῇ τε θεὸν καὶ πρὸς τὸν θεὸν ὄντα καὶ ἄνθρωπον ἀληθῆ τὸν σάρκα γενόμενον ὕστερον καὶ σκηνώσαντα ἐν ἡμῖν καὶ εἴ τι τούτοις ὁμόγλωσσον – εἰ μέχρι 25 τοῦ περὶ ταῦτα τὰ δόγματα Νεστόριον ὑγιαίνειν συνεπομένους κατ' ἄκρας ἐκείνῳ εὐθύνετε, δέδοικα μὴ τοῖς ἀντιφθεγγομένοις τῶν τοιούτων προστίθενται δογμάτων οἱ μέμψιν τοῖς τούτοις συμφθεγγομένοις ἐπάγοντες. καὶ οὕτως οὐκ ἄδηλον ἤδη πρὸς οἷον καταφέρονται βάραθρον, 30 ὀψὲ μὲν καὶ μόγις, ἀλλ' οὖν τοὺς ὑποσμύχοντας ἀνακαύσαντες σπινθῆρας καὶ τὸ ἀπόρρητον πάντῃ περιφανῶς ἐκλαλήσαντες. οὐκ ἂν γὰρ εἰς μέμψιν αὐτοῖς τοῦτο προὔ-

2–3 2 Cor. 2, 17 || **19** Hebr. 1, 1 || **22** Io. 1, 1 || **23–24** Io. 1, 14

15 εἰ] εἰς, -ς ind., **M** || **16** ἄλλον Pk: ἄλλην **M** || **25** ⟨ὁμολογοῦντας ὡς⟩ συνεπομένους intelligendum potius quam supplendum

χώρει, εἰ μή που τοῖς ἔν τισι συμφωνουμένοις τὸ ἀηδὲς ἑαυτοῖς κατεμάνθανον. ἐπεὶ οὕτω γε ἢ καὶ πᾶσαν ἀτιμάσουσι πίστιν ὀρθόδοξον, ἐν οἷς τοῖς μὴ διόλου διαφερομένοις τῇ τῶν δογμάτων εὐθύτητι συμφωνεῖ καὶ ἀσπάζεται, ἐκεῖνο τούτων λαμβάνουσα τὸ σιτῶδες καὶ τρόφιμον, τοῦ δὲ 5 *ἀχυρώδους τε καὶ ἀχρείου καλῶς διαπτύουσα· ἢ τοῦτο μὴ προσιέμενοι εἰς λογοποιοὺς ἀπωσθεῖεν καὶ συκοφάντας, μᾶλλον δὲ μεμψιμοίρους καὶ φθονερούς. τὸ γὰρ τοῖς ἀπεκλελεγμένοις ἐνδιαβάλλειν ὡς κεχρημένον τὸν καθάπαξ ἀπεκλεξάμενον ἢ πᾶσι μωμεῖσθαι κατ᾽ ἴσον, ἀξίοις καὶ* 10 *μή, πῶς οὐ συκοφαντῶν πρᾶξις καὶ μεμψιμοίρων καὶ φθονερῶν;*

Ἀλλὰ τὰ μὲν ἴσως καὶ πέρα τῆς προθέσεως ὁ ζηλωτὴς λόγος διεζωγράφησε, πολλῶν ἀνδρῶν καὶ μεγάλων, οὔμενουν ἡλίκων ὑπὲρ ἡμᾶς ἐξειπεῖν τὰ τῆς εὐσεβείας 15 *πιστώσασθαι καὶ πρὸς ἐνδίκους εὐθύνας τοὺς ἀντιλέγοντας παραστήσασθαι, τὸν ἐπὶ τούτοις ἀγῶνα διηθληκότων ἐπὶ λαμπροῖς τοῖς στεφάνοις καὶ ἀοιδίμοις ταῖς ἀναρρήσεσι, μεθ᾽ ὧν καὶ ὁ χθές τε καὶ πρώην ἱερὸς μὲν τὸ γένος, ἱερώτερος δὲ τὴν σοφίαν, ὅση τε θεία καὶ ὅση τῆς κατ᾽* 20 *ἀνθρώπους λογίζεται – τίς οὗτος; ὁ τοῖς οὐρανίοις |* 44r *ἀδύτοις τὰ νῦν ἐγκατοικιζόμενος Φώτιος, ὃς τοῖς κατὰ ταῦτα εἰκαιολογοῦσι τῶν Ἀρμενίων ὑμῶν γενναίῳ λόγῳ καὶ θεοφιλεῖ ψυχῆς παραστήματι καὶ ἀνανταγωνίστῳ γνώμῃ καὶ διαρκεῖ σοφῶς ἐφορμήσας εἷλε μὲν τῶν* 25 *ἀντιπάλων ὅσον φιλήκοον, ὅσον εἰς σύνεσιν οὐ παρέσφηλεν, ὅσον ταῖς ἀποθήκαις ἢ τοῖς σταθμοῖς τοῦ θεοῦ δίκαιον ἐναυλίσασθαι· εἰ δέ τι τούτων περιελέλειπτο πυρὸς δαπάνη καὶ θρέμματα θυραυλοῦντα τοῖς λύκοις εὐεπιχείρητα, ἤ, ἵνα τὸ χαλεπώτερον εἴπω, μοῖρα τῶν ἄλλων ἐλεεινή, τῇ* 30 *πρὸς τὴν ἐνάργειαν διαμάχῃ αἰσθήσεως ἐνδεὴς ἢ καὶ*

21–25 Phot. Epp. 1, 9–10, PG 102, 697–718; cf. etiam B. Laourdas, *Φωτίου Ὁμιλίαι*, Thessal. 1959, 18* n. 2 || **27–28** Mt. 13, 30 || **30** – p. 53, **1** Aristot. Top. I 10, 105a 3–7

24 *ἀνανταγωνίστῳ* Pk: *ἀνταγωνίστῳ* **M** || **28** *δαπάνη* Pk: *-ῃ* **M** || **29** ante *τοῖς*] *καὶ* ind. **M**

κολάσεως, οὐδὲν πρᾶγμα· ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ. ἡμῖν μὲν γὰρ εὐχῆς ἔργον οὐ διαλεῖπον πάντας ἐντὸς τῶν ἱερῶν ἀπολαβοῦσι σηκῶν σύμφωνον ἀναπέμπειν τῷ παναγίῳ θεῷ τὴν ὑμνῳδίαν· εἰ δέ τινες ἑκόντες ἀπο-
5 διδράσκοντες τοὺς παρ' ἐκείνῳ τῷ θεοσόφῳ ἐλέγχους ἢ τὸ ἄμεινον τῆς κρίσεως παρωσάμενοι, ἐφ' ὧν οὐδ' ἂν αὐτὸς ὁ τοῦ ψεύδους πατὴρ καὶ πάντα μωμεῖσθαι τὰ κάλλιστα σπουδὴν θέμενος ἀντιλέγων ὀφθείη, πρὸς φιλόνεικον μετατάττονται σύστημα, οὐκ ἀπαθῶς μέν, ἀλλ'
10 ὅμως ὑποίσομεν, ἐκεῖνο ἑαυτοῖς ἐπιλέγοντες ὡς εἴ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμῖν οὐδαμῶς, ἀλλ' οὐδὲ ταῖς τοῦ θεοῦ ἐκκλησίαις τοῦτο συνήθεια. ὅθεν ἃ μόνα ἐστὶ ῥηθῆναί μοι κατὰ τὸ ἀναγκαῖον εἰπὼν πρὸς ὑμᾶς ἐντεῦθεν ἤδη διαναπαύσω τὸν λόγον.

15 Οἱ τῷ τρισαγίῳ τὸ πάθος περιάπτοντες ὕμνῳ καὶ τῷ μεγάλῳ πατρὶ Ἰωάννῃ, ᾧ τὸ χρυσοῦν εἰς ἐπώνυμον στόμα, τὴν τοιαύτην ἐπιφημίζοντες βλάσφημον συνηγορίαν ἐοίκασί μοι ἢ ἑαυτοὺς τὸ παράπαν ἐξαπατᾶν καὶ καθ' ἑαυτῶν παίζειν ἐπισφαλῶς ἢ πρὸς μὴ νοῦν ἔχοντας οἴεσθαι τὰ
20 τοιαῦτα προΐεσθαι. τίς γὰρ ἄν, προσερήσομαι τούτους, ἀκριβέστερος τὰ τοιαῦτα γινώσκειν καὶ τίνα καὶ ποῦ ταῦτα λαβεῖν εὑρόντα κατὰ τὸ ἀνόθευτον εὐπορώτερον, πότερον παρ' οἷς γενέσθαι σὺν ἀληθείᾳ ἱστόρηται ἢ παρ' οἷς ἐξ ἑτέρων τὸ μαθεῖν ἐξεγένετο; ἐγὼ μὲν οἶμαι παρ' οἷς
25 γενέσθαι, κἂν μή τις ἄλλος συγκατατίθηται. ἀλλὰ πρὸς τῆς ἀληθείας αὐτῆς, ἆρά γε ἱκανὸς ὑμῖν ὁ ταῦτα συγγράψας σχολαστικὸς Σωκράτης τὸ βέβαιον ἐμποιεῖν ὡς παρ' ἡμῖν τὰ τοῦ θείου ᾄσματος πεπραγμάτευται ἢ καὶ τούτῳ μετὰ τῶν ἄλλων ἐπηρεάζειν κατὰ πολλὴν ὑμῶν δόξειεν ἐξουσίαν;
30 Θεοδοσίου γάρ, ᾗ φησὶν οὗτος, τοῦ νέου τὰ τῆς βασιλείας ἰθύνοντος σκῆπτρα καὶ Πρόκλου τοῦ ἀοιδίμου τοὺς ἐκκλησιαστικοὺς μεταχειρίζοντος οἴακας συνηνέχθη τι

1 2 Tim. 2, 19; cf. Num. 16, 5 ‖ **10–12** 1 Cor. 11, 16 ‖ **26 u. ad p. 54, 8** nihil apud Socr.; cf. Theophan. 93, 5–20 de Boor

25 συγκατατίθηται] -ηται aut -εται M

τοιοῦτο γενέσθαι ἐν τῷ Ἑβδόμῳ οὕτω καλουμένῳ πεδίῳ. ἐνοδίοις ποτὲ τοῦ πλήθους λιταῖς ἐξιλασκομένου τὸν εὐδιάλλακτον ἀθρόον ἐκ τούτων οἷά τινι τυφῶνι παιδίον
44ᵛ ἐπὶ πολὺ τοῦ ἀέρος, οὗ μηδὲ ὄψιν δυνατὸν | ἐξικνεῖσθαι, μετεωρισθέν, εἶτα μετ' ὀλίγον αὖθις τοῖς περιγείοις 5 ἀποκατασταθέν, ἀκοῦσαί τε τὸ μακάριον τοῦτο διήγγελλε μέλος καὶ τούτῳ τὸ θεῖον ἐξευμενίζεσθαι τὰς ἄνω χοροστασίας ἐντέλλεσθαι. καὶ τὸν μὲν ὕμνον ὡς νῦν καὶ παρ' ἡμῖν ᾄδεται, οὕτω κἀκεῖνος ἐκτίθεται· εἰ δέ τις παρενθήκη γεγένηται, ὑμᾶς δηλαδή, οὐχ ἑτέρους, εἰς τοὺς νοθεύοντας 10 ἐπιγράφεται πατέρας.

Ἔστι καὶ ἀποδεικτικώτερον χρῆσθαι τοῖς μετὰ χεῖρας. οὐκ ἀμάρτυρος, βέλτιστοι, ὁ θεῖος οὗτος αἶνος ἡμῖν οὐδὲ τὸ καινὸν τῆς ἀπὸ τῶν θείων γραφῶν μελέτης εἰς γένεσιν πάντως ὑποβαλλόμενος· ἀνείληπται δὲ τοῦ τεσσαρακοστοῦ 15 πρώτου ψαλμοῦ, ἀφ' ὧν φησὶν ὁ τῶν τοιούτων μελοποιὸς 'ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θεόν, τὸν ἰσχυρόν, τὸν ζῶντα'· πρόδηλον δὲ ὡς εἴ τις τὸ ζῶντα εἰς τὸ ἀθάνατον μεταλάβοι, αὐτόθεν εὑρήσει τὸν ὕμνον ἀπαγγελλόμενον. κἂν μὲν μετὰ τῆς προσθήκης τοῦ πάθους ἡ τοῦ πνεύματος 20 λύρα τὸ ᾆσμα τοῖς ὧδε κατέθετο, ἡμεῖς τε ἀνευρήσομεν καὶ πραγμάτων ἀπαλλαξόμεθα· εἰ δὲ τούτων οὐδὲν οὐδαμῶς, οὐκ ἂν ἐν δίκῃ καὶ ἑαυτοῖς τὸ νοθεύειν ἐπίκλημα καὶ ἡμῖν κόπους παρέχετε. διὸ αἰδεσθέντες τὸ 'μὴ μέταιρε ὅρια αἰώνια' ἀπόσχεσθε τοῦ πρὸς τὴν εὐσέβειαν εἰς μάτην 25 διαπληκτίζεσθαι καὶ πολλῷ πλέον τοῦ τὸν θεῖον παραλαμβάνειν Ἰωάννην συνίστορα, ὃν παιδευτὴν μὲν καὶ πολιοῦχον ἡ καθ' ἡμᾶς ἐκκλησία αὐχεῖ, οὐ μέντοι καὶ τῆς τοσαύτης ἐμπαθείας εἰς τὴν παροῦσαν ἐπὶ τῆς ἀπαθοῦς γεννήτορα φύσεως. ἀλλ' εἰ μέν τις ἐπὶ πολιτικοῖς συμ- 30 βολαίοις ἀμφισβήτησις συνετελεῖτο, εἶτά τις νοθεύων ἐφωρᾶτο τῶν συμβολαίων τὰ γράμματα, οὐκ ἀποινὶ τῶν

15—18 Ps. 41, 3 || **24—25** Prov. 22, 28

9 ἡμῖν Pk: ὑμῖν **M** || **23** ἐπίβλημα **M** || **31** ἐφωρᾶτο Wk: ὑφωρᾶτο **M**

δικαστῶν ἀπηλλάττετο, καὶ ταῦτα εἰς μικρά τε καὶ περὶ μικρῶν ἀδικῶν· ἃ δὲ περὶ μεγάλων ἐπάγεται τὴν ζημίαν ὡς εἰς τὸ σέβας φερόντων τὴν βλάβην καὶ τῇ ψυχῇ τὸν ὄλεθρον προξενούντων, ταῦτα νοθεύων τε καὶ παραποιῶν
5 *οἴει τὸν ἀλάθητον ὀφθαλμὸν διαδιδράσκειν, ἀλλ' οὐχὶ πολλῶν σκηπτῶν τὴν κακουργίαν ἐντρέπῃ ἀνταλλάξασθαι; παντὸς μάλιστά γε τοῦτο ἐρῶ.*

Ἀλλ' οὐδὲ τοῦτο ὑμῶν ἐπαινέσομαι, τὸν τρισάγιον ὕμνον, ὃς τῷ ἐπὶ θρόνου καθημένῳ ὑψηλοῦ τε καὶ ἐπηρμέ-
10 *νου ὑπὸ τῶν φρικτῶν ἐκπληκτικῶς σεραφεὶμ παρὰ τῷ διορατικωτάτῳ τῶν προφητῶν ἀνακράζεται Ἡσαΐᾳ, εἰς μόνον τὸ τῆς δόξης περιϊστώντων ἀπαύγασμα, καὶ ταῦτα Γρηγορίῳ μὲν τῷ θείῳ τὸν λόγον καὶ δὴ καὶ Ἀθανασίῳ τῷ πολυάθλῳ ἐξ ἐκείνου τὸ τριττὸν ἐμπεδούντων τῶν περὶ*
15 *τὴν θείαν φύσιν σεπτῶν ὑποστάσεων· εἰ μή που παρέργως ἀναγινώσκωμεν τὸ 'οὕτω μὲν οὖν τὰ ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς σεραφὶμ συγκαλύπτεται καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς εἰς μίαν συ|νιοῦσι κυριότητά τε καὶ δύναμιν'.* 45r
τὸ γάρ τοι ἐξ Ἰωάννου τοῦ ἠγαπημένου λαμβάνειν τὰς
20 *ἀφορμὰς τῆς τοιαύτης ἐκλήψεως, δι' ὧν φησὶν οὕτως 'ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ', συναρπάζοντός ἐστι τὸ ζητούμενον, ἀλλ' οὐκ ἐπερειδομένου ταῖς σοφαῖς ἀποδείξεσιν. οὐ γὰρ περὶ τοῦ υἱοῦ ἀποτεταγμένως ὁ λόγος ἐνταῦθα, ἀλλὰ περὶ τῆς θείας ἁπλῶς φύσεως. τί*
25 *γάρ; 'τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς ὁ θεὸς καὶ πεπώρωκε τὴν καρδίαν'· τοῦτο δὲ οὐκ ἰδιάζουσαν τοῦ υἱοῦ δόξαν ἐμφαίνει, εἰ μὴ κοινήν τε καὶ συνυπάρχουσαν ταῖς τρισὶν ἁγιαστικαῖς ἰδιότησι. μᾶλλον δὲ γνησιώτερον τὸ ῥητὸν ἐπισκέψασθαι εἰς τὸν πατέρα δοκῶ μοι τὰ τῆς*
30 *ἐννοίας ἀναμφιλέκτως ἐπαναφέρεσθαι, οὗ δίχα τὴν πρὸς τὸν υἱὸν ἄφοδον οὐκ ἂν ὑπάρξαι τινὶ ὁ σύμφυτος τούτῳ*

9–11 Is. 6, 1–3 || **12** Hebr. 1, 3 || **12–18** Greg. Naz. Or. 38, 8, PG 36, 320 B 13–C 2 || **13–15** Athan. de incarn. Dei verbi 10, PG 26, 1000 B 2–1001 B 13 || **19–21** Io. 12, 41 || **25–26** Io. 12, 40; Is. 6, 9–10

6 *ἐντρέπῃ* Pk: *εὐτρεπῇ* **M** (def. Kurtz ut i. q. *εὐτρεπίζῃ*) || **13** *Γρηγορίου . . . τοῦ θείου . . . Ἀθανασίου τοῦ πολυάθλου* Pk || **31** leg. *ἔφοδον*?

θεολογῶν ἀνεδίδαξεν, οὐδένα φάσκων πρὸς αὐτὸν ἔρχεσθαι μὴ τοῦ πατρὸς ἕλκοντος· ἀλλ' εἴπερ τοῦτο, ἐκεῖνον πάντως καὶ τὸ τῆς πωρώσεως μετὰ τοῦ τυφλοῦν αἰτιάσαιτο. εἰ δὲ τὸ καθῆσθαι τὸν κύριον ἐπὶ τὸν υἱὸν ὑμῖν ἔδοξε τὴν διάνοιαν παραπέμπειν, τῆς τοῦ θρόνου περι- 5 γραφῆς καὶ τοῦ τῆς καθέδρας σχηματισμοῦ τὴν ἐπ' ἐσχάτων τυχὸν παραδηλούντων ἐμφάνειαν, ἀλλ' ὥρα καὶ τὸν παρὰ τῷ Δανιὴλ παλαιὸν ἡμερῶν εἰς τὸν υἱὸν ὑμῖν προσλογίζεσθαι· οὗ τί ἂν εἴη ἀνοητότερον; ἀλλ' ἴσως ἐρεῖς· τί δαί; ὁ ὕμνος οὗτος ἀλλοτριοῖ τῆς ἁγιαστικῆς 10 ὑμνολογίας τὸ πρόσλημμα; ἀντερήσομαι πάλιν κἀγώ· τί δέ; εἰ μὴ τὴν ἀλλοτρίωσιν δίδωσιν, ἆρά γε καὶ πάθος διὰ τοῦτο τῷ ἀπαθεῖ καὶ τῷ ἀνωλέθρῳ προσμαρτυρήσεις τὸν ὄλεθρον; τῆς παρανοίας. πῶς γὰρ τὸν ἄρτι παρ' ὑμῶν ἀπαθῆ καὶ ἀθάνατον ἀνυμνούμενον ἐξ ὑπογύου θνητότητι 15 καὶ πάθει περιβάλλειν οὐκ ἐγκαλύπτεσθε; καὶ ὅτι μὲν τὸ πάθος δόξα τῷ σαρκωθέντι υἱῷ, καὶ Παύλῳ τοῦτο δοκοῦν, εἰς καύχημά τε καὶ σεμνολόγημα, οὐκ ἂν πάνυ διατειναίμην· ἀλλ' οὐκ εἰ δόξα τῷ σαρκωθέντι, ἤδη καὶ γυμνῇ τοῦτο τῇ θεότητι προσαφθήσεται, καὶ ὅτε μὴ τούτου 20 μνησθῆναι καιρός. κατ' ἴσον γὰρ τοῦτο τοῦ καὶ τὸ πρόσλημμα συναναχεθῆναι τῷ παντὶ δογματίζειν καὶ τῷ πατρί τε καὶ πνεύματι κατὰ τὸ εἶναι περιχωρεῖν καὶ συνεπεκτείνεσθαι· καὶ οὕτως μὴ κατὰ τὸν υἱὸν μόνον τὸ πρὸς μίαν ἀνακραθῆναι φύσιν τὰς ἐνθεωρουμένας ἐν τῇ κατ' 25 αὐτὸν οἰκονομίᾳ φύσεις ὑμῖν ἐξέστω ληρεῖν, ἀλλὰ καὶ τὸν πατέρα τε καὶ τὸ πνεῦμα εἰς τὴν αὐτὴν φύσιν συνάγειν, οὗπερ τὸ ἄτοπον, τῆς περὶ τὸν Χριστόν φημι ἀνακράσεως καὶ τῆς εἰς μιᾶς συναλοιφὴν φύσεως, εἰδοίητε μὲν καὶ αὐτοί, οἱ τὴν κατ' ἐνέργειαν ἤ τινα σχέσιν τῶν ἐν τῷ 30 Χριστῷ φύσεων ἕνωσιν εἰς τὴν Νεστορίου λύσσαν ἀποπεμψάμενοι, κἂν εἰ τὸν πρόχειρον ὄλεθρον ἐκφυγόντες ἀτοπωτέρῳ περιηνέχθητε, ἐκ δύο μὲν φύσεων κατ' οὐσίαν

1–2 Io. 6, 44 || **4** Is. 6, 1 || **7** Dan. 7, 9 || **16–18** Hebr. 2, 9–10

10 ἁγιαστικῆς Pk: -ῶς M || **24** μὴ κατὰ Kurtz: μηκέ M

τὸν θεάνθρωπον ὑφιστῶντες καὶ ἀσυγχύτους δῆθεν |
ἀνομολογοῦντες τὰς ἑκατέρων αὐτῶν ἰδιότητας, τῇ δὲ 45v
μιᾷ ὑποστάσει εἰς μίαν αὖθις σύνθετον φύσιν ἀνακιρνάντες
καὶ φύροντες, ὡσπερεὶ δεδοικότες μὴ τὸ ἀκραιφνὲς τῶν
5 ὀνομάτων μετὰ τῆς δυάδος τῶν φύσεων εἰς πρόσωπα
τοσαῦτα τὸν ἕνα Χριστὸν διασπάσωσιν· εἰδοίημεν δ' ἂν καὶ
ἡμεῖς ἐνθεώτερόν τε καὶ εὐσεβέστερον καὶ δύο φύσεις
ἀκαινοτομήτους ἐν τῷ Χριστῷ καταγγέλλοντες καὶ τῇ μιᾷ
ταύτας μηδὲν ὑποστάσει λυμαίνεσθαι ὑφορώμενοι, ὡς τῆς
10 τοῦ λόγου ὑπάρξεως ἐν ἑαυτῇ ἀτομούσης τὸ ἡμέτερον
φύραμα, ἀλλ' οὐ τελείῳ προσώπῳ χαριζομένης τὴν ἑαυτῆς
ἕνωσιν, καὶ μήτε τὴν παρὰ τῷ θείῳ Γρηγορίῳ μίξιν εἰς
φυρμὸν ὑποπτεύοντες, καινὴ γάρ, μήτε τὴν κρᾶσιν
ὑποστελλόμενοι, παράδοξος γάρ· ἡ μὲν τῷ πρὸς ἀλλήλας
15 ἀπαραποδίστως διαβιβάζειν τὰς ἑκατέρᾳ προσούσας καθ'
ὅσον πεφύκασιν ἐνεργείας, ἐπὶ τὸ καινότερον γὰρ τοῦτο
τῶν ἐνθεωρουμένων τῇ μίξει ἐξάγεται· ἡ δὲ τῷ μηδαμῶς
φύρειν κἀν τῇ συνόδῳ τὰς ἰδιότητας τὸ παράδοξον
ὑποδυομένη τῆς ἐν τῇ κράσει γνωριζομένης ἑτεροιώσεως.
20 οὐ γὰρ ἐπ' ἀπωλείᾳ, πάλιν ἐρῶ, ἑαυτοῦ ἡ πρὸς ἡμᾶς τοῦ
θεοῦ συγκατάβασις, ἀλλ' ἵνα καὶ τὸ τῆς φύσεως ἡμῶν
ἀσθενὲς ὑπερηρεισμένον τῷ κρείττονι καταγωνίσηται τὸν
ἀντίπαλον καὶ τὸ δεσπόζον τῆς ἑαυτοῦ δόξης μὴ ἐξιστά-
μενον ἀποχρῶσαν παρέχηται τῷ συμπλεκομένῳ βοή-
25 θειαν. τὸ γὰρ εἰς μίαν συμφύρειν τὸν θεάνθρωπον φύσιν,
πρὸς οἷς τῷ ἀλλοκότῳ τῆς δόξης ὑπάγεται, ἔτι καὶ ταῖς
τοῦ Μανιχαίου μανίαις συμφθέγγεται καὶ πρὸς τὰς ἄλλας
αἱρέσεις οὐκ ἀπηγόρευσεν. εἴτε γὰρ ὑπὸ τοῦ κρείττονος
πλεονεκτηθείη τὸ ἧττον, θεὸς ὁ τὸ πάθος ἀνεχόμενος
30 καὶ τὸν πολέμιον θριαμβεύων, οὐκ ἄνθρωπος· εἴτε τὸ
θεῖον ὑπὸ τοῦ ἀνθρώπου ἐκνικηθείη, πρῶτον μὲν πῶς
ῥανὶς ἢ ψακὰς ἢ σταγὼν βραχυτάτη, ἢ πῶς ἀξίως ἐρῶ,
τὸ ἀνεξάντλητον πέλαγος ἐκνικῴη; ἔπειτα τοῦ ὑπερ-

12–14 Greg. Naz. Or. 38, 13, PG 36, 325C 2–3; 45, 9, PG 36, 633D 6–7

8 ἀκαινοτομήτους Pk: -τας **M** || **18** κὰν Pk: κἂν **M**

βάλλοντος οὐμενουν ὅσον εἰπεῖν τῷ καταδεεῖ ὑβριζομένου αὐτὸ μὲν ἀνάγκη σμικρύνεσθαι ὑποβαίνειν τε τῷ ἀτιμοτέρῳ τὸ τίμιον καὶ τῷ ἑδραζομένῳ τὸ ἑδραιοῦν καὶ τῇ οὐσίᾳ τὸ ὑπερούσιον, ὃ καὶ ἀμήχανον καὶ πρὸς ἀμφίκρημνον τοὺς ἑπομένους ἀπωθούμενον ὄλεθρον, ἢ διὰ τὴν 5 ὑπόβασιν τὸ σῷζον ἢ διὰ τὴν πλεονεξίαν τὸ σῳζόμενον διαφθείροντας, οὗ τί ἂν ἀτοπώτερον εἴη; εἰ δὲ ἰσότητι τῆς κατ' αὐτὰ φύσεως ἀλλήλοις ἐπιδοίη τὰ εἰς ἑτέρας φύσεως γένεσιν ἀθροιζόμενα, οὐκέτι μὲν σῴζοιτο εἰλικρινεῖ λόγῳ ἑκατέραις τὰ ἰδιώματα, ἀλλὰ πρὸς ἕτερόν τι 10 μεταχωρήσει τῷ τρόπῳ τῆς ἀντιπεπονθήσεως, καθὸ καὶ πάθος τῇ ἀπαθεῖ φύσει προσνεμηθείη καὶ πρὸς ἑαυτοὺς | 46r ἀπομάχεσθαι τοὺς τῶν τοιούτων ἐπιβόλους ἀπελέγξει δογμάτων, πῇ μὲν ἀπαθὲς ὑποτιθεμένων τὸ θεῖον καὶ σῴζειν κἂν τῇ κατὰ Χριστὸν συνελεύσει τὸ τῶν ἰδιωμάτων ἀκήρατον, πῇ δὲ παθητὸν τῇ πρὸς τὸν ἄνθρωπον συνανακράσει 15 καὶ φύρσει καὶ πρὸς ἀλλοιότερον ἑαυτοῦ μεταγίνεσθαι.

Ὁ μὲν οὖν λόγος ἐπὶ τοσοῦτον, καὶ τάχα κατὰ τὸ περιττὸν καὶ πλέον ἤπερ ἐχρῆν. ἂν μὲν οὖν ὧν ὑμεῖς τε ᾐτήσατε, εἰ μὴ κατεσχηματισμένως εἰς φλυαριῶν ἀνεύρεσιν ἀφορμήν, 20 ἡμεῖς τε ἠλπίσαμέν τι ἐκβαίη, χάρις θεῷ μὲν τῆς τῶν σωτηρίων ὑμῖν χορηγίας ἐν τῷ παρ' ἡμῶν τοῦ διδασκαλικοῦ λόγου σοφῷ ῥεύματι, ὑμῖν δὲ τῆς φιληκοΐας καὶ εὐπειθείας. εἰ δὲ μηδὲν ἐκ τούτου τῶν βελτιόνων ἐκπορισθείη, ἐμοὶ μὲν ὅσα ἐμὲ σπουδάζειν οὐδὲν καθυστέρηται 25 ἴσως, ὅμως οὐκ ἐπιζήμιον παροραθέντας μετὰ τῶν ἄλλων καὶ ἡμᾶς θείων πατέρων τετάχθαι· οἷς σπουδὴ μὲν καὶ αὐτοῖς τῶν ἀπολλυμένων φροντίζουσι πολλὰ καὶ μετὰ τὸν βίον καταλιπεῖν χρηστὰ φάρμακα, ἀπήντησε δὲ τῶν προσδοκωμένων οὐδέν, εἰς πέτρας, τὸ τοῦ ἐμοῦ Ἰησοῦ, σπείρουσι 30 καὶ λίθους ἠγνοηκόσιν ὡς ἕψουσι καὶ χύτραν ποικίλλουσι, τὸ τῆς θύραθεν παροιμίας κατὰ καιρὸν φθέγξασθαι.

30 Luc. 8, 6; 13; cf. Mt. 13, 5; 20; Mc. 4, 5; 16; CPG II 48 || **31** CPG II 185 | CPG I 187; II 91

3 τῷ Pk: τὸ M || **21** χάρις Pk: χωρὶς M || **22** σωτηρίων Pk: -ιῶν M | ὑμῖν Pk: ἡμῖν M

6

Ἀρέθα ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας ἐγκώμιον εἰς τοὺς ἁγίους ὁμολογητὰς Γουρίαν, Σαμωνᾶν καὶ Ἄβιβον

Hoc encomium dicit Arethas die festo confessorum Edessenorum (d. 15 Nov.). cruciatus et mortem Guriae et Samonae, postea Abibi, describit martyrium antiquum secutus; subiungit narratiunculam de puella vi abducta et a sanctis mirabili modo suis restituta.

Πῶς ὑμῖν τὰ κατὰ ψυχὴν ἔχει, ποίμνιον ἱερόν, τὴν
5 *ἐνεστῶσαν ἡμέραν τοῖς ὁμολογηταῖς τοῦ Χριστοῦ φιλοτιμότερον ἄγουσιν (ἐπεὶ καὶ ὁρῶ πολλῇ μὲν ὑμᾶς τῇ τῶν ἐκτὸς κεχρημένους λαμπρότητι, μυρίᾳ δὲ τῇ διαχύσει τὸν ἱερὸν τοῦτον χῶρον καταλαμβάνοντας)· ἆρά γε καὶ ὁ αὐτοκράτωρ ὑμῖν νοῦς τῶν ἑαυτοῦ ὑποκλάσας διὰ τῶν*
10 *αἰσθητηρίων ἐκχεῖται καὶ τοῖς δρωμένοις σκεδάννυται; ἢ ταῦτα μὲν οἷά τινα σκύλακα μικρὰ τὴν αἴσθησιν παίζειν παραχωρήσας αὐτὸς τῷ ἑαυτοῦ γαννύμενος ὕψει τοῖς τε καλλίστοις τῶν ἑαυτοῦ θεαμάτων συνδιατίθεται καὶ τοῖς Χριστοῦ μάρτυσιν ἐνθεάζει, οἰκείαν τῷ ὄντι γενέθλιον*
15 *τὴν τῶν ἡδόντων τὸ σῶμα κατάγνωσιν συντελούμενος; εἰ οὕτω ταῦτ᾽ ἔχει καὶ ταύτην ἐγνώκατε τοῖς ἀθλοφόροις προσνέμειν τιμὴν καὶ οὕτω πανηγυρίζειν ἐπείγεσθε, δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ σωτῆρι*

18 – p. 60, 1 Ps. 94, 1

6 MA, Lip. – Gebhardt/Dobschütz 210–222 || **3** *σαμωνᾶν* **M**: *σαμω*$^{\tilde{α}}$ **A** | *ἄβιβον* **M**: *ἄββι(βον)* (nonnisi h. l.) **A** || **9** *ὑμῖν* **A** ('in vobis' Lip.): *ἡμῶν, -ω-* ex corr., **M** | *τῶν*[1] **M**: *τὸν* (?) **A** || **12** *τοῖς* **M**: *ταῖς* **A**

θεῷ, ὃς καὶ τότε τοὺς ἑαυτοῦ θεράποντας ὥσπερ τι στρουθίον τῆς παγίδος τῶν θηρευόντων ἐξείλετο καὶ νῦν ἡμῖν τῇ τοῦ ἔτους περιτροπῇ τὴν δι' ἐπιθυμίας χαρμόσυνον
46ᵛ ἐπιστήσας τοῖς ἱεροῖς τούτων ἀγῶσι πεφιλο|τίμηται ἑστιᾶν — τί τοῦτο; ὅσον συναύξει ψυχήν, ὅσον τὸν σύντροφον 5
ὄχλον καλῶς ἀποσκυβαλίζον πρὸς τὰς ἐκεῖσε μονὰς ἐπαίρει τε καὶ διαίρεται ἐμφρονέστατα πάντων ἀναπτερούμενον. τοιαύτη γὰρ ἡ τῶν μαρτύρων πανήγυρις, τοιοῦτον τῶν ἡμετέρων ἀθλοφόρων τὸ θέατρον, τοιούτοις ἡμᾶς καὶ αὐτοὶ τοῖς ἐξ ἑαυτῶν παρεληλύθασιν ἑστιάσοντες, ὥς τό 10
γε μὴ οὕτω τρυφᾶν μηδ' οὕτω τὴν εὐφροσύνην ἀνύειν, γαστρὶ δὲ μόνῃ χαριζομένους εἰς κόπρον παραπεμπούσῃ τὸ σπούδασμα καὶ τῇ τῶν ἐσθημάτων ὑπαλλαγῇ καὶ φαιδρότητι ἄλλος ἄλλον ὑπερβαλέσθαι φιλονεικεῖν οὐ μόνον οὐκ εὐγενὲς οὐδὲ τῆς ἡμετέρας αὐλῆς καὶ μερίδος, 15
εἰ μὴ καὶ τῆς τῶν ἑστιώντων γνώμης πόρρω που καὶ ἀλλότριον. ἐπεὶ δὲ ταῦτα, καὶ ὅπως πανηγυρίζειν ὑμῖν προκατήγγελται, οἶμαι δ' ὅτι καὶ γῇ καταβαλόντες ἀγαθῇ, ταῖς ὑμετέραις φημὶ διανοίαις, τοῦ λόγου τὰ σπέρματα πολύχουν τὸν στάχυν ἀμήσομεν, φέρε δὴ φέρε τῷ λόγῳ 20
καλὴν ἀρχὴν προστησάμενοι τοῖς καταλλήλοις ὑμᾶς τῇ πανηγύρει δεξιωσώμεθα. ἀλλὰ ποθεῖτε τοὺς ἄθλους τῶν γενναιοτάτων ὡς ἐπὶ πίνακι διαχαράξαντας ἅπασιν ἐπιδεῖξαι, ὅτι μηδέ τι τούτων τῇ ἑορτῇ προσφορώτερον; τοῦτο δὴ καὶ ποιῶμεν, καὶ εἰ φαυλότερα τὴν ὑπόθεσιν 25
διαζωγραφῆσαι περίεστιν ἡμῖν φάρμακα, ἵν' ἀπέλθητε μαρτυρικῆς ἀγωνίας δρεψάμενοι καρπὸν ἔνθεον καὶ τῷ πρὸς δύναμιν ζήλῳ πρὸς τὰ τύραννα πάθη διαναστάντες εὐδόκιμοι φαίνοισθε τὸ θεοτερπέστατον τοῦτο παγκράτιον. ἀλλὰ προθῶμεν, ὡς ἂν οἷοί τε ὦμεν, ὑμῖν τὰ 30
ἡμέτερα· ὁποῖα δ' ἂν ᾖ, τῇ προθυμίᾳ δοκῶ μοι συμμε-

1—2 Ps. 123, 7 || **18—20** Mt. 13, 23; Mc. 4, 20; Luc. 8, 15

6 *ἀποσκυβαλίζον* **M**: *-ων* **A** || **8** *τοιοῦτον* **M**: *-το* **A** || **18—20** *οἶμαι-ἀμήσομεν* **M**: om. **A** || **21** *τοῖς* **M**: *καὶ τοῖς* **A** | *ὑμᾶς* **M**: om. **A** || **24** *τούτων* **M**: *-ου* **A** || **30** *προθῶμεν* **M**: *προσθῶμεν* **A**

τρηθέντα τὸ ἀξιέπαινον ἀπενέγκασθαι. ἄλλως τε καὶ
πατρὸς οὐκ ἂν ἀποπεμφθείη περιουσία παρά γε παισὶ
γνησίοις τε καὶ εὐγνώμοσιν· ἀλλ' ὅτι πατρός, περι-
σπούδαστος, καὶ δή γε καὶ πένης οὐκ ἂν οἶμαι ἀτιμωθείη
5 τοῖς ἑαυτῷ εὐπορουμένοις τοὺς ἐπικωμάζοντας δεξιού-
μενος.

Γουρίας, Σαμωνᾶς, Ἄβιβος ὑπῆρχον μὲν αὐθιγενεῖς
Αἰδέσης καὶ τρόφιμοι, Αἰδέσης δὲ ταύτης, ἥτις ἐπὶ Συρίᾳ
τῇ κατὰ μέσην Εὐφράτου καὶ Τίγριδος ἱδρυμένη ὀλίγοις μὲν
10 πρὸ τούτων, διὰ δὲ τούτους εἰς ἅπασαν ἐξακούεται γῆν
τῇ τῶν μαρτύρων συμπεριπολοῦσά τε φήμῃ καὶ ἐμπομπεύ-
ουσα· οὐκ ἐν τῇ πόλει γε μὴν τὰς διατριβὰς ἔχοντες, τῇ
ταύτης δὲ περιοικίδι κατασκηνοῦντες τὴν κατὰ γῆν παρ-
οικίαν εἷλκον ἀπραγμονέστερον πόρρω τῶν ἀστικῶν
15 θορύβων ἀπεληλαμένοι, οἳ ταράττειν τε καὶ συγχεῖν τὸ τῆς
ψυχῆς πεφύκασιν εὐσταθὲς καὶ μὴ ἂν ἄγειν σχολὴν
παραχωροῦσι τὸ ἑαυτῆς ὡς ἐν ἐσόπτρῳ θεάσασθαι κάλλος
τῶν ⟨τ'⟩ εἴ τι λανθάνει | τῇ εὐπρεπείᾳ λυμαινομένων 47r
σπουδαίῳ λόγῳ ἀνακαθάρασθαι· διὰ ταῦτα μὲν οὖν ἡ
20 πολυέραστος ἀγροικία, οὗ προσεδρεύοντες καὶ τὸ 'κατὰ
μόνας' μετὰ τοῦ ψάλλοντος 'ἕως ἂν παρέλθωμεν' κάλλιστα
πάντων ἀπηκριβώσαντο. ἀλλὰ Γουρίᾳ ἐγκράτεια τὸ σοφὸν
ἐπιτήδευμα, καὶ χρόνος μακρὸς μελέτῃ δαπανηθεὶς εἰς
ἕξιν τε τὸ ἐπιτήδευμα μεθηρμόζετο καὶ κλῆσιν αὐτῷ τὸ
25 'ἐγκρατὴς' ἐπορίσαντο· οὐκ ἂν γὰρ ἐγνώρισας τὸν ἄνδρα
μὴ 'τὸν ἐγκρατῆ' τῇ κλήσει προσενεγκών. Σαμωνᾶς δὲ
κατ' ἄμφω σφριγῶν, ψυχήν φημι καὶ σῶμα, καὶ τούτοις
οἷς τοὺς κομῶντας τὸ πνεῦμα τὸ ἅγιον ταῖς ἑαυτοῦ
συναθροίζει χορείαις νεανίσκους καὶ νεωτέρους παρα-

30 **7 mg.** ἀποστατικὸν τὸ σχῆμα.

7 — p. 62, 4 cf. Gebhardt/Dobschütz, Akten der edessen. Bekenner 105, 2–13 || **13** cf. Hebr. 11, 13; Eph. 2, 19; 1 Petr. 2, 11 || **20–21** Ps. 140, 10 || **28 – p. 62, 1** cf. Ioel 3, 1; Ps. 148, 12

8 αἰδέσης **M**: ἐδέσσης **A** || **18** τ' add. Wk || **24** μεθηρμόζετο **M**: -οντο **A** || **26** προσενεγκών **A** ('addidisses' Lip.): προεν- **M**

καλῶν πρεσβυτέροις συνάπτεσθαι, ὡς ἂν ἅμα τὸν ἐπινίκιον ᾄδωσι, — τοσοῦτος ὢν Σαμωνᾶς τὸ ἀνάστημα παρὰ Γουρίαν ἐγίγνετο ἐγγύθεν τῷ πρεσβύτῃ συμπαραθέων καὶ ἁμιλλώμενος. ἐζήτει καὶ τρίτον ὁ τὴν χορείαν αὐτοῖς παράκλητος συντελῶν, ᾧ τήν τε πρὸς ἑαυτὸν τῆς θεαρχίας 5 ἰσαρίθμως ἀφομοιώσαιτο ἐντέλειαν τῷ χορῷ καὶ τῷ πρὸς διάστασιν ἀνεπηρεάστῳ κρατύναιτο ἀριθμῷ· ἀλλ᾿ εὗρεν, εὖγε τῆς ἐντυχίας, χρόνῳ μὲν Ἄβιβον ὑστεροῦντα, τὸ λεῖπον δὲ προσαναπληροῦντα οὐ μόνον οἷς τὴν αὐτὴν τοῖς προλαβοῦσιν ὁδὸν ἀνιχνεύσας δραμεῖν εἵλετο, ἀλλ᾿ ὅτι καὶ 10 τῷ τῆς διακονίας ἱερῷ τελέσματι κεκοσμημένος μεγίστην οἷς συναφθῆναι κατέσπευσεν τὴν εὔκλειαν προσεπόρισεν. μέσος γὰρ τούτων παραβυσθεὶς καὶ μετὰ τούτων τῷ διακονουμένῳ παρρησιασάμενος κυρίῳ κατάπαυσιν τοῖς εὐσεβέσι τῶν διωγμῶν διῳκήσατο. οὐδὲ γὰρ ἔτι λύθρῳ 15 μαρτύρων ἡ καθ᾿ ἡμᾶς ἐφοινίσσετο, ἐπεὶ τὸ ἀπὸ τοῦδε Λικίνιος μὲν παρωθεῖτο τῆς ἐξουσίας τῶν σκήπτρων λικμώμενος, Κωνσταντίνῳ δὲ τὸ κράτος ἐπήνθει Ῥωμαίων καὶ συνηυξάνετο, ὃς πρῶτος ἐν βασιλεῦσι τὸ δυσσεβὲς ἐβδελύξατο καὶ τὴν εὐσέβειαν ἐπαρρησιάσατο. 20 τοιοῦτοι τῷ ἐπισήμῳ τῆς ἀρετῆς Γουρίας καὶ Σαμωνᾶς καταστάντες οὐ μόνῃ Αἰδέσῃ καὶ τῇ ταύτης κατεκλείοντο περιοικίδι, ἀλλ᾿ ἤδη καὶ πρὸς τὴν ὑπερόριον μακρᾷ φήμῃ καταγγελλόμενοι Χριστιανοῖς μὲν καλλώπισμα καὶ εὐφροσύνη, τοῖς ἑλληνίζουσι δὲ κατήφειά τε καὶ λύπη δεινὴ καὶ 25 πᾶν εἴ τι κακὸν ὁ φθόνος εἴωθε τίκτειν ἀνεγνωρίζοντο, οὐ φέρουσι τὸ περιφανὲς τῶν ἀνδρῶν καὶ διὰ πάσης Συρίας εὐδόκιμον.

Διοκλητιανὸν εἶχε τὸ τηνικαῦτα Ῥώμη τοῖς τῆς ἀρχῆς παρασήμοις περιστελλόμενον, ὃς τὴν κατὰ πάντων ἐθνῶν 30 ἀνδραγαθίαν θέμενος παρὰ φαῦλον, ἔργον ἡγεῖτο μᾶλλον

6–7 [Iambl.] Theologum. arithm., ed. de Falco, Lips. 1922, 18, 9–11; David, CAG XVIII 2, 52, 4–13 || 14–20 cf. Gebhardt/Dobschütz 149, 5–9

4 χορείαν **M**: χρείαν **A** || **8** ἐντυχίας **A**: εὐτυχίας **M** || **22** αἰδέσῃ **M**: ἐδέσσῃ **A** (-σ-[2] s. l. **A**[c]) || **31** ἡγεῖτο **A**: -ται **M**

ἐκείνου περιδοξότερον Χριστιανοὺς ἢ παραστήσασθαι πάντας πρὸς τὸ αὐτοῦ λαβὼν θέλημα ἢ καὶ τελέῳ ἀφανισμῷ | παραπέμψασθαι, ὡς ἂν τοῖς ἑαυτοῦ δαίμοσιν 47v
ἀπαραπόδιστος ἐκτελοῖτο θυσία, οὐκ ὄντος τοῦ συνίοντος
5 *θεόν, οὐκ ὄντος ἀναιμάκτῳ θυσίᾳ ποιοῦντος χρηστότητα. ἐντεῦθεν ἐκ βασιλέως γραμμάτων κατὰ πάσης φοιτώντων Ῥωμαίων ἐπικρατείας ὄλεθρος μὲν τοῖς εὐσεβοῦσιν ἐμηχανᾶτο καὶ ἀτιμία, τιμὴ δὲ καὶ σωτηρία τοῖς περὶ τὰ κωφὰ καὶ χειρόκμητα ἐπτοημένοις κατεπηγγέλλετο.*
10 *πρὸς τούτοις κριτῶν ἐπάλληλοι καταιγίδες ἀδίκων τε καὶ φονώντων καὶ μόνον βλεπόντων πρὸς ἓν τὸ τοῖς ἀπεσταλκόσι καταθυμίως πρὸς πᾶν κατεργάσασθαι· οἱ κήρυκες εὐτρεπεῖς· τὰ δικαστήρια ἀνεῴγετο· τὰ βήματα μετεωρότερα ᾕρετο, παντὶ βασανιστηρίῳ περιστοιχούμενα.*
15 *ἀπείρηντο Χριστιανοῖς σύνοδοι κοιναί, σύνοδοι ἱεραί· ἀπεκλείοντο ἀγοραί· συμβόλαια παρῃρεῖτο, ὅσα κοινῇ, ὅσα ἰδίᾳ τελεῖσθαι τέως ἐξῆν. εἶχε τὰς πόλεις Χριστιανῶν ἐρημία, ταῖς πόλεσιν ἐσχατιαὶ ἀντεξήγοντο τῷ πλήθει τῶν διωκομένων στενοχωρούμεναι. οὐκ ἦν αἰδὼς τοῖς*
20 *διώκταις πρὸς πολιάν, οὐκ ἔλεος ἡλικίας ἀνεπαισθήτου κακῶν, οὐδ' οἷς ἡ φύσις τὸν οἶκτον ἀπένειμεν ἀσθενείᾳ τὸ συμπαθὲς ἄγαν ἐπιμετρήσασα· θῆρες ἀνήμεροι πάντες Χριστιανοῖς καὶ τοῦτο μόνον φιλάνθρωποι, τὸ τῆς εὐσεβοῦς θρησκείας διασαλεύσαντες βωμοῖς εἰδώλων προσ-*
25 *αγαγεῖν, ᾧ καὶ τὸ ζῆν ἀνεῖτο κακῶς καὶ παντὸς ἄλλου τοῖς εὐσεβοῦσιν ὀλεθριώτερον. χειμὼν ἐπεῖχε τὴν κτίσιν βαρὺς οὐδὲν προσηνὲς ἐπιφαίνων οὐδ' ἡμερότητος ἀκτῖνα τοῖς πάσχουσιν ἐλλαμφθῆναι παραχωρῶν τὸ κατηφὲς τῆς ἀθυμίας ἀποσκεδάζουσαν.*
30 *Τί τὸ ἐκ τούτων; ἐπῄει καὶ κατ' Αἰδέσης τὰ τοῦ καιροῦ, ἐνευθηνεῖτο τοῖς εὐσεβοῦσι τὰ δυσχερῆ καὶ λαῖλαψ*

4–5 Ps. 13, 1–2 || 9 Ps. 113, 12–15

1 *παραστήσασθαι* M: *-σεσθαι* A || 4 *συνιόντος* M A || 7 *εὐσεβοῦσιν* A: *εὐσεβέσιν* M || 12 *πρὸς* del.? an *τὸ* scr.? || 23 *φιλάνθρωποι* M: *-ον* A || 24 *διασαλεύσαντες* M: *-ας* in ras. A || 29 *ἀποσκεδάζουσαν* A: *ἀποσκευάζουσαν* M || 30 *αἰδέσης* A: *ἐδέσης* M

ἀθεΐας διαλαβοῦσα τὴν πόλιν εἰς ἀπορίαν καθίστη τοῦ ζῆν. οἰκίαι ἀνηρευνῶντο, ὅσαι πεπαρρησιασμέναι τὴν δίαιταν καὶ ὅσαι κατειλημμέναι τῷ παραβύστῳ τὴν ἀπὸ τοῦ λανθάνειν δοκεῖν τοῖς ἀφανιζομένοις παρεῖχον ἀσφάλειαν· οὐδ' ἀγροικίαι τῆς ζάλης ἀπείρατοι, ἀλλ' εἷρπε καὶ κατὰ τούτων ὁ σάλος οὐδὲν ἀνεκτότερον τῶν κατὰ ἄστυ δεινῶν καὶ τοῖς ὁμοίοις κἀνταῦθα κινδύνοις τὸ εὐσεβὲς ἐχειμάζετο. 5

Τότε καὶ Γουρίας ἡλίσκετο ὁ ἐγκρατὴς καὶ Σαμωνᾶς ὁ γεννάδας συμπεριείληπτο καὶ πλῆθος ἄλλο Χριστιανῶν τὸ δεσμωτήριον οἰκεῖν κατεκρίνετο, οὐκ ὄντος τοῦ λυτρουμένου, οὐκ ὄντος τοῦ σῴζοντος. τοῖς μὲν οὖν ἄλλοις, ὅσοις τὸ παροράσθαι ἢ ἀφανείᾳ ἢ πίστεως ὀλιγωρίᾳ προσῆν, ταχεῖα ἡ τῆς εἱρκτῆς ἀλλοτρίωσις ἐπηκολούθει τῷ μηδὲν ἐπιφαίνειν τοῖς πειρωμένοις ἑλεῖν δυσμαχώτατον· Γουρίᾳ | δὲ καὶ Σαμωνᾷ δόξα παρομαρτοῦσα θεοσεβείας στερρότητος χρόνος ἀνήλωτο κατακλείστοις· παρ' ὃ μοι δοκῶ καὶ τὴν τῶν ὁμολογητῶν ἐπωνυμίαν κληρώσασθαι πεφυκυίας τοῖς οὕτω διὰ Χριστὸν ἄνευ θανάτου κακουχουμένοις ἐπιβραβεύεσθαι· ἐπεί καί φασι πολὺν αὐτοῖς κατακλείστοις τριβῆναι ὡς καὶ δευτέρου προβῆναι διαδοχὴν ἄρχοντος. ἀλλ' οὗτοι μὲν ἐνετρύφων τὴν κάκωσιν καὶ ἐπεδίδου τῇ δυσπαθείᾳ φιλοσοφία οἱονεί τι πρωτόλειον μειζόνων τῶν ὑπὲρ τῆς πίστεως βασάνων προαννόμενον, ὑπήλειφον δὲ καὶ τοὺς ἄλλους τῷ καθ' ἑαυτοὺς ὑποδείγματι ἐπιδεικνυμένην πίστιν ὄντως ἐκδιηγούμενοι δίκαιοι μήτε ταῖς θλίψεσιν ἐκκακεῖν ὑπὲρ Χριστοῦ μάλιστα προσιούσαις μηδὲ ταῖς κακουχίαις ἐκλύεσθαι· οὔτε γὰρ εἰς ἀεὶ οὔτε τὴν δύναμιν ὑπερτείνουσαι πρὸς τοῦ δικαίου ἐαθῆναι ἀγωνοθέτου. ἄλλως τε, εἴ τί γε Παύλῳ πιστέον τῷ τῶν ἀρρήτων ἐπόπτῃ καὶ κήρυκι, εἰ καὶ πολὺς ὁ πόνος, ἀλλ' 10 15 48r 20 25 30

11–12 Ps. 7, 3 || **26** Prov. 12, 17 || **29** cf. 1 Cor. 10, 13 || **29–30** cf. 2 Tim. 4, 8 || **30** – p. 65, **2** Rom. 8, 18

2 *ἀνέρευνῶντο* (η supra ε) **A** (corr. A[c]) || **14** *τῷ* **M**: *τὸ* **A** || **16** *θεοσεβείας* **M**: om. **A** || **17** *ἀνήλωτο* **M**: *ἀνάλωτο* **A**

οὔπω τοσοῦτος, μᾶλλον δὲ οὐδ' ὅσον εἰπεῖν τῆς εἰς ὕστερον εἰς ἡμᾶς ἐκκαλυφθησομένης λαμπρότητος ἐνδεέστερος. καὶ οὕτω μὲν αὐτοῖς ταῦτα.

Ἐπεὶ δὲ πονεῖν ἔδει τὰ τελεώτερα τοὺς ἐναθλοῦντας καὶ
5 οἷς ἐγυμνάσαντο εἰς προὖπτον ἅπασι προβαλέσθαι τὴν πεῖραν πρὸς κρείττονος δόξης ἀνάρρησιν, ἐλύσσα Χριστιανοῖς τῆς ἐπαρχίας ὁ ἄρτι καταπεμφθεὶς ἡγεμὼν καὶ τὸ τῆς λύσσης ἔργον εἰς χάριν τῷ προβαλλομένῳ ἀφοσιούμενος οὐδὲν ἐνέδει ὧνπερ εἰκὸς πράττειν τοῖς τοὺς
10 συμμεμηνότας ἐκθεραπεύουσιν. ἀγώγιμοι πρὸ βήματος οἱ γενναῖοι παρίσταντο εὐθύνας τῆς εὐσεβείας εἰσπραχθησόμενοι. ἀλλ' ὅσα μὲν κράτιστα καὶ λήματος ἔμπλεα πρὸς τοῦτον ἐλέχθη τοῖς μάρτυσιν ἢ διετάθη οἷς τό τε τῆς παρούσης ἀστάθμητον τύχης διαγελᾶται καὶ τὸ τῶν
15 ἀποκειμένων ἀγαθῶν εἰς τὸν ἔπειτα θριαμβεύεται κλέος, εἰ καὶ μαργάρων τὸ τίμιον τοῖς τῶν ἀνθρώπων παρερριπτεῖτο χοιρώδεσιν, ἢ καὶ ὁ δικάζων πεῖραν τοῖς ἀπειράτοις καθεὶς τὸ σύντονον ὑπεκλύειν τῶν ἀνανταγωνίστων προὐβάλετο, μακρὸν ἂν εἴη τῷ λόγῳ διεξιέναι. ὡς γοῦν
20 ὑποτυπώσει περιλαβεῖν, ἵνα μὴ πάντη μαρτυρικῆς παλαίστρας ὦμεν ἐλλείποντες καὶ κινδυνεύσωμεν τὸ κάλλιστον ὧνπερ ἠλπίκαμεν ζημιούμενοι, τοιοῦτοί τινες ἢ τούτων ἦσαν ἐγγύς. ἐθώπευε τοὺς ἁγίους ὁ κρίνειν λαχὼν τοῦτο μὲν εἰς φειδὼ δῆθεν τῶν ὑποδίκων καὶ ἐπιείκειαν μεταρ-
25 ρυθμιζόμενος, τοῦτο δὲ ἀναβαλλόμενος τὰς τιμωρίας τῷ μὴ δοκεῖν ὠμότητι τρόπων ἐπιταχύνειν τοῖς πᾶν ὁτιοῦν πάσχειν ἑτοίμοις καὶ τὴν ἀναβολὴν μάστιγος ὅτι μάλιστα δυσχεραίνουσιν, ἠλέγχετο δὲ οἷς προὔβαινε λέγων οἷς ἔπραττεν ὡς οὐ φιλανθρωπίας τὸ | δρώμενον ἀλλὰ 49v
30 κακονοίας, οὐδ' εὐποιίας τὸ προσποιούμενον ἀλλὰ πανουργίας. ὑποσαθροῦν γὰρ ἐδόκει τῇ παρελκύσει τὸ στερρόν τε καὶ ἔντονον τῶν ἀγωνιζομένων καὶ τὴν θερμότητα

16—17 Mt. 7, 6

5 ἅπασι **M**: πᾶσιν **A** || **17** δικάζων **A**: πειράζων **M** | ἀπειράτοις **M**: ἀπειράτοις τῶν ἀνθρώπων **A** || **18** ἀνανταγωνίστων **M**: ἀνταγωνιστῶν **A** || **29** ὡς s. l. **A**c

προαποσβεννύναι ὡς ἂν τυχὸν τοῦ νεαροῦ τῆς προθυμίας
διαπνευσθέντος ταῖς ὑπερθέσεσι καὶ καταμαρανθέντος
λάθῃ προοδοποιῶν ἑαυτῷ τὸ σκοπούμενον. καὶ δή γε καὶ
λῆρον αὐτοῖς ῥημάτων συνείρει οὑτωσί πως τὸ δολερὸν
διαχειριζόμενος, 'ἐμοί', λέγων, 'ὦ οὗτοι, μὴ ὑπολάβητε 5
γνώμην ὑπεῖναι σκληρὰν καὶ μισάνθρωπον καὶ χαίρουσαν
αἵμασι τῶν ὁμοφύλων. αἰδοῦμαι τὴν φύσιν, οἰκτείρω τὸ
συγγενές· καὶ εἰ ἀπ' ἐναντίας τῶν σεβασμάτων ἡμῖν
φέρεσθε ἴσως ἀμαθίας προλήψει κατασχεθέντες, ἀνθ'
ὧν καὶ πάσχειν προείλεσθε τὰ ἀνήκεστα, ἀλλ' οὖν ἔγωγε 10
τῷ πάθει συγγνωμονῶ, εἰς ἀσθένειαν γνώμης ὑμῖν τὸ
ἀντιπρᾶττον ἀπολυόμενος. οἶδα γὰρ ὡς οὐδεὶς ἀνθρώπων
εἰς τὴν παροῦσαν τὸ ἀκατάγνωστον ἑαυτῷ πανταχοῦ
ἐβουλεύσατο, ἀλλὰ πολλοῖς τις ἄλλοις ἐναριστεύσας
βουλεύμασιν ἐσφάλη περὶ τὰ κράτιστα καὶ οὐ μηδ' ἄν τις 15
αὐτὸν ᾠήθη τὸ ἧττον ἀποίσεσθαι. διά τοι τοῦτο, κἂν
μυρία με προστάγματα βασιλέως παρακαλεῖ καθ' ὑμῶν,
ὅμως ἑλοίμην ἂν ἐγὼ εἰς ὅσον παρήκοι καὶ κινδυνῶδές τι
προδήλως παθεῖν ἤ τι τῶν ἀνιώντων ὑμᾶς καταπράξασθαι,
μέχρις ἂν ἴσως μακροθυμίᾳ τὸ σκληρὸν ὑμῶν ἐκνικήσας 20
τοῖς χρηστοτέροις τῶν λόγων εὐγνώμονας ὑμᾶς καὶ συνεπι-
γνώμονας λάβω περὶ ἃ νῦν ἀγριαίνετε. τίς γὰρ οὐκ ἂν
αἰδεσθείη τὴν ἱερὰν πολιάν, ὦ Γουρία, ἥτις ὑμᾶς περιανθεῖ,
ἐξ ἐγκρατείας τὸ περίβλεπτον ἔχουσαν, ὡς ἐπ' ὀλίγοις
τοῦ ζῆν λειψάνοις ἀποσαλεύουσαν; τίς δαὶ τὸ Σαμωνᾶ μὴ 25
σὺν ἐκπλήξει οὐκ ἀγαπήσει ἀκμαῖον καὶ συνεργὸν προσ-
λαβεῖν εἰς πάντα καιρὸν οὐ ποθήσειεν; ἐρρέτωσαν θρόνοι
δικαστικοί, πλοῦτος, περιφάνειαι βίου· κἂν γὰρ ἐπαγωγὰ
ταῦτα καὶ πρὸς τὸ ἄμεινον τοῦ ζῆν ἐφελκόμενα, ἀλλ'
οὖν δεδόχθω καὶ τύχης ἀγνωμοσύνῃ συνταπεινοῦσθαι τῇ 30
τῶν βελτίστων ἠθῶν ἐπιεικείᾳ συλώμενον. ὁρᾶτε οἷος

1 ἂν **M**: ras. 2 litt. (δὲ?) **A** || **3** ἑαυτῷ **A**: om. **M** || **4** λῆρον **M**: λήρων **A** | συνείρει] -εί- ex -ή- **M** || **10** προείλεσθε **A**: ἀνείλεσθε **M** || **14** τις **M**: τοῖς **A** || **16** τὸ **M**: om. **A** || **17** βασιλέως **A**: -έων **M** || **19** ὑμᾶς **A**: ἡμᾶς **M** || **24** ἔχουσαν **M**: -σα **A** || **25** ἀποσαλεύουσαν **M**: -σα **A** | δαὶ **M**: δὲ **A** || **28** περιφάνειαι **A**: -εια **M**

ἐγὼ τὰ περὶ ὑμῶν; χαρίσασθέ μοι τὰ τῶν ἐφ' ὑμῖν
χρηστοτέρων ἐλπίδων, ὁ μὲν γνώμην ἀναλαβὼν τὴν
ἐνυποῦσαν καὶ βλεπομένην σεμνότητα πάντῃ παρρησιά-
ζουσαν, ὁ δὲ τὸ ῥωμαλέον τε καὶ στερρὸν εἰς βασιλέως
5 μετασκευαζόμενος θεραπείαν, ὃ καὶ συλλαβαὶ θεῖαι τῇ
προτεραίᾳ μοι ἠγγυήσαντο. ἀλλὰ μὴ οὕτως ἀνηλεῶς
ἑαυτῶν καὶ σκληρῶς, οἷς ἡ φύσις ὑμᾶς πεφιλοτίμηται
ἀγαθοῖς παραχρώμενοι, ἐμὲ μὲν τοῦ πρὸς ὑμᾶς ἀπελαύνετε |
συμπαθοῦς, αὐτοὺς δὲ θανάτῳ περιβάλλετε ἀκλεεῖ καὶ 50r
10 ᾧπερ κακοῦργοι τῇ σφῶν αὐτῶν περιεπάρησαν κακοδαι-
μονίᾳ'. οὕτω μὲν οὖν ὁ δολερὸς δικαστής.

Τί δαὶ οἱ γεννάδαι καὶ ἀκατάπληκτοι; αὐτοῖς τοῦτον
ἦρουν ἐκείνοις οἷς θαρρῶν οὗτος ἐβωμολόχει τὸν ἑαυτοῦ
δόλον συσκευαζόμενος. 'τί' γὰρ ἐπῆγον 'ἡμῖν εἰς δυσώπη-
15 σιν τὸ τῆς ἀστάτου ζωῆς περιέχεσθαι; τί δὲ καὶ πείσει
τῶν τοῦ παρόντος αἰῶνος ἡδέων; οὐχ ὁρᾷς, ὑμῖν ἀπαρα-
γράπτοις χρήσασθαι μάρτυσιν, ὁποῖον τὸ περικείμενόν μοι
τοῦτο σωμάτιον, βραχέσι τῶν ἐφοδίων τοῦ βίου εὐαρε-
στούμενον εὐζώνῳ τε Χριστοῦ στρατιώτῃ ἐπεοικὸς τῷ
20 τοῦ ταξιάρχου κελεύσματι ἑτοίμως ἔχοντι πείθεσθαι καὶ
οἷον ἐπί τινος λεπτοτάτης σχεδίας τὸ τῆς ζωῆς πέλαγος
διαβάλλοντι, ὡς μή τι τῶν βριθόντων κατέχον σχολαί-
τερον καταναγκάζῃ τὸν πλοῦν ἐκπεραίνεσθαι; πόθεν οὖν
παραπείσεις καὶ τίσιν ἐμὲ θέλξεις τοῖς παροῦσι συντήκε-
25 σθαι, ὃς ἤδη τῷ πλείστῳ τέθνηκα τοῦ βίου ἑκουσίῳ
θανάτῳ ἐμαυτὸν ἐπιδοὺς τῇ τῶν ἡδέων ὀλιγωρίᾳ καὶ
τοῦτο ζῶν μόνον ὃ πρόσταγμα τοῦ συνδήσαντος ἀπο-
κωλύει; ἐκεῖνον γὰρ ἀναμένειν κελεύει τὸν σύνδεσμον
ἀπολύειν ὃς καὶ συνέδησεν. εἶτα οὐκ ἀφρονέστατον ἄγαν

20—22 Plat. Phaed. 85d 1–2

5 *μετασκευαζόμενος* **M**: *μετατατтόμενος* **A** | *συλλαβαὶ* **MA**: 'Si-byllae' Lip. || **9** *συμπαθῶς* **A**[ac] (*οῦς* s. l. **A**[c]) || **10** *ᾧπερ* **A**: *ὅπερ* **M** || **12** *δαὶ* **A**: *δὲ* **M** || **16—17** *ὑμῖν — μάρτυσιν* exp., ut vid., in **A** || **19—20** *εὐζώνῳ — πείθεσθαι* **M**: om. **A** || **22** *διαβάλλοντι* **M**: *δια-βάλλον* **A** | *σχολαίτερον* **A**: *σχολαιότερον* **M** || **23** *καταναγκάζει* **A**[ac] (*η* s. l. **A**[c]) || **27** *ἀποκωλύει*] *ἀπο* s. l. **A**[c] || **28** *ἀναμένειν κελεύει* **A**: *ἀναμένει* **M**

*οἷς ἐκ νεότητος ἀπειπάμην τούτοις αὖθις τὴν ὄρεξιν
ἀνερεθίζειν φιλεῖν καὶ τὰ πρὶν ἐφειμένα καὶ πᾶσι τοῖς
θέλουσιν ἐμὲ νῦν ὡς χάριτος μέρος λαμβάνειν ἐπείγεσθαι,
καὶ ταῦτα οὐκ ἀσφαλοῦς ὄντος λαβόντα ἐπὶ μακρὸν
ὑποκαθῆσθαι τῇ ἀπολαύσει ἐνασχολούμενον; εἰ δὲ καὶ* 5
*τοῦτο προσῆν, βλακὸς καὶ ἀνελευθέρου ψυχῆς τῶν ὄντων
τὰ ἐπ' ὀλίγον προκρίνειν καὶ τῶν ἑστώτων τε καὶ μενόντων
τὰ θᾶττον ἢ ὑποστῆναι διαρρυϊσκόμενα. ἀλλ' οὕτω μὲν
περὶ τῶν ἐμῶν. πῶς δὲ Σαμωνᾶν τοῦτον, ἐρῶ γὰρ καὶ
ὑπὲρ αὐτοῦ, ὅτι καὶ σύμψυχος ἐμοὶ καὶ συνέκδημος τὴν* 10
*καλὴν ταύτην ἀποδημίαν, τοῦ ἑαυτοῦ ἔμφρονος παρενέγ-
κοις; ἀκμάζει νεότητι καὶ σώματι σφριγῶντι, ἐρεῖς, οὐκ
εὔλογον καταλῦσαι τὸ ζῆν τῆς προθεσμίας τοῦ βίου προ-
απολλύμενον. ἀκμάζει μέν, ἀλλὰ θεῷ τῷ παραγαγόντι,
σφριγᾷ πάλιν, ἀλλὰ τῶν λίαν ἐπαινουμένων καὶ τὸ* 15
*σφριγῶν καὶ τὸ νεάζον ἐκείνῳ προσαγαγεῖν ᾧ καὶ ὁ
παλαιὸς νόμος εὐάρεστον τοῦτο θῦμα καλλιερεῖται,
μόσχον νέον καὶ ἀνθηρὸν κέρασι πρωτοβόλοις τε καὶ
ὁπλαῖς ἐναγλαϊζόμενον· τοιοῦτος καὶ Σαμωνᾶς· τοιούτῳ
καὶ προθυέσθω ἀνθούσῃ τῇ ἡλικίᾳ καὶ στίλβοντι τῷ* 20
*προσώπῳ, ἀλλ' οὐ παρηκμακυίᾳ, ἵν' ἴσως τιμῇ καὶ ῥυτίσι
τῶν ἐπιβούλων ἡμῖν προσδιαφθαρεὶς τὸ ἄμωμον ἐνδια-
βάλοι τοῦ θύματος'.*

*Ἐπεὶ δὲ τούτων ἤκουσε τῶν φωνῶν ὁ πανοῦργος ἐκεῖνός τε
καὶ ἀπατεὼν ἀπέγνωκεν παραυτίκα τῶν ἐλπισθέντων καὶ τὸ* 25
*προσωπεῖον καταβαλὼν ὑπαίθρῳ τῇ ἀναιδείᾳ ἐχώρει κατὰ
τοῦ τῶν ἁγίων ὀλέθρου. καὶ δή γε οἷα θυμοῦ καὶ πικρίας
ἀκράτου ὑποπλησθεὶς ταχέως τούτους μετακαλέσας οἷς
ταῦτα δι' ἔργου τὰ ἀπηνέστατα διακονεῖσθαι προστάττει*
50ᵛ *θατέρας τοὺς ἁγίους χειρὸς σχοινίοις διαλαβόντας | ἐπὶ* 30
πολὺ μετεωρίσαι καὶ πρὸς ὅλῳ τοῦ λοιποῦ σώματος τῷ

16—19 Lev. 4, 3; Ps. 68, 32 || **22** Lev. 4, 3

4 *μακρὸν* **M**: *-ῶν* **A** || **5** *ὑποκαθῆσθαι*] *ει* supra *-ῆ-* **A**[c] || **11** *ἔμφρονος* **A**: *σώφρονος* **M** || **21** *παρηκμακυίᾳ* **M**: *-υῖα* **A** | *τιμῇ* Dobschütz: *τιμὴ* **MA** || **22** *ἐνδιαβάλοι* **M**: *-βάλλοι* **A** || **25** *παραυ-τίκα* **A**: *παραυτὶ* ex *-ίκ(α)* **M**

βάρει διασπωμένους, ἔτι καὶ τοῖς ποσὶ βάρος οὐ φορητὸν
προσεπαρτῆσαι εἰς δριμυτέρας ὀδύνης ἐπαίσθησιν. ἴσασι
πολλοὶ καὶ πλέον τῶν ἄλλων Ἀσκληπιάδαι, οὓς ἡ φύσις
τῶν ἑαυτῆς ὀργίων λαμβάνει συνίστορας, ὡς ἀνύποιστόν
5 *ἐστι τῆς τιμωρίας τὸ ἄλγος. παντὶ γὰρ δήπουθεν ζῴῳ*
πρὸς ἑνὶ τῶν τοῦ σώματος ἄκρων ἀνακρεμασθῆναι δοθὲν
καὶ τούτῳ μόνῳ τῆς ὅλης τοῦ σώματος ῥοπῆς ἐξεχομένης,
τῆς συμβολῆς μὲν τῶν ὀστῶν ἐξαρθροῦσθαι κατεπει-
γομένης, τῶν νεύρων δ' ὑπερταθέντων, τῶν δὲ μυῶν
10 *διελκυσθέντων, παντὸς δὲ τοῦ ὄγκου τῇ διατάσει συμπιε-*
σθέντος, εἶτα τῆς φυσικῆς νοτίδος τῷ ψυχικῷ πνεύματι
πρὸς τὰ ἐκτὸς συναποθλιβομένης μέν, τῇ δὲ συμπτώσει
τῶν πόρων τὴν πάροδον ἀποκλειομένης, ἀλγεινοτέρα τῷ
ζῴῳ ἡ αἴσθησις ἐπακολουθεῖ σὺν ἅπασι τοῖς ἄλλοις καὶ
15 *τῷ δυσμαχεῖσθαι τὴν ἔξοδον τοῖς ἀποθλιβομένοις καὶ*
τοσούτῳ μᾶλλον ὅσῳ καὶ ἐκ διαμέτρου τὰ τῆς ἐντάσεως
περιγίνεται, μακροτέρου παντὸς τοῦ διαμετροῦντος τῶν
ἐπ' εὐθείας ἀνευρημένου. τοιαύτης δὴ καὶ τοσαύτης τῇ
ἐπινοίᾳ τῶν ὑπουργούντων τῷ σατανᾷ τῆς βασάνου
20 *συσκευασθείσης καὶ ἐπὶ πλέον ἢ τῷ ἡμίσει τοῦ ἡμερινοῦ*
καταστήματος παρελκυσθείσης ὡς οὐδὲν προδιδόντας
ἑώρα ὁ μιαρὸς δικαστὴς ἀνεῖσθαί ποτε τῆς τιμωρίας
προσέταττεν.

Εἱρκτὴ τὸ ἀπὸ τοῦδε ζοφώδης καὶ ἀσιτία μακρὰ ἡ
25 *καταδίκη τοῖς μάρτυσιν καὶ ἐτασμὸς αὖθις καὶ κόλασις*
πολλῷ τῶν φθασάντων τῶν διωκτῶν τὸ ἀπάνθρωπον
ἀπελέγχουσα. ἀλλὰ Γουρίαν μὲν οὐκ ἔγνω λοιπὸν παρα-
βάλλειν ταῖς τιμωρίαις γήρᾳ καὶ ἀσιτίᾳ καὶ τῇ πρὸ ὀλί-
γου βασάνῳ προκεκμηκότα, μὴ λάθῃ προαναλωθεὶς τῶν
30 *κακώσεων καὶ οὕτως ἀπέλθοι ἐκεῖνον μὲν δυστήνου καὶ*
ὀδυνηρᾶς ἀπαλλάξας ζωῆς, αὐτὸν δὲ μεγίστης ἐλπίδος

3 *οὓς* **M**: *οἷς* **A** || **5** *τιμωρίας* **M**: *μωρίας* **A** || **10** *διελκυσθέντων* **A** ('distracti' Lip.): *διελκωθέντων* **M** || **12** *συναποθλιβομένης* Wk (Lip.): *-ων* **MA** | *μὲν* **M**: om. **A** || **13** *ἀποκλειομένης* Wk (Lip.): *-ων* **MA** || **14** *σὺν — καὶ* **M**: om. **A** || **15** *τὴν ἔξοδον* **M**: om. **A** || **16** *ὅσῳ* **M**: *ὅσον* **A** | *ἐντάσεως* **M**: *ἐτάσεως* **A** || **26** *πολλῷ* **A**: *πολλῶν* **M** | *τῶν*[2] **A**: om. **M** || **29** *προκεκμηκότα* Dobschütz: *-τι* **MA** || **31** *αὐτὸν* **M**: *αὑτὸν* **A**

καταβαλών· ἔτι γὰρ ᾤετο κρατήσειν αὐτοῦ καὶ μετὰ
πεῖραν ἢ κολακείαις ἐνδόντος ἢ τιμωρίαις τοῦ φρονήματος
παραθραυσθέντος ἢ καὶ τῷ ἐν ἀλλοτρίοις δέει κακοῖς τὰς
ἐφ' ἑαυτῷ θλίψεις τῇ μεταγνώσει κερδαίνοντος. Σαμωνᾶν
δὲ καὶ νέον εἰδὼς καὶ γενναῖον ὑποβάλλεται τῇ βασάνῳ 5
οὔμενουν ὅσον τῆς προτέρας εἰπεῖν ἀτοπωτέρᾳ καὶ χαλεπῇ
γε καὶ οἷον ἐννοηθῆναι. καὶ γὰρ ἐξ ἑνὸς τοῖν ποδοῖν τοῦτον
καὶ κατὰ κεφαλῆς ἀποκρεμάσας ἄχθει τὸν ἕτερον ἀμυθήτῳ
σιδήρου καθεῖλκε πρὸς τοὔμπαλιν, διασπαράξαι ταύτῃ τὸν
ἀθλητὴν μηχανώμενος, ὅτε καὶ τῆς κοτύλης τῇ βίᾳ τὴν 10
ἑαυτῆς ἕδραν ἀπολιπούσης χωλεύειν οὐ τῷ τυχόντι τῷ
Σαμωνᾷ περιίστατο. ὡς δὲ καὶ ταύτης τῇ γενναιότητι
κατεγέλασαν καὶ πρὸς ἀνέλπιστον ἤδη τὸν ἡγεμόνα τὸ
τούτοις ἑλεῖν κατεστήσαντο, ἐπί τινι χρόνῳ μικρῷ τῷ
δεσμωτηρίῳ καθείρξας νυκτὸς ἔτι βαθείας τῷ διὰ τοῦ 15
51^r *ξίφους θανάτῳ τοῦ ζῆν ἀπεδίωκεν. ὢ πόσης χαρᾶς | τῆς*
ἀποφάσεως ταύτης τοῖς μάρτυσιν, οὐχ ὅπως ὅτι πικρῶν
οὕτω καὶ ἀνυπερβλήτων ἀπηλλάττοντο πόνων καὶ ὥσπερ
ἀπό τινος σάλου καὶ κλύδωνος ἀνενδότου λιμέσιν ἀχει-
μάστοις καὶ εὐδινοῖς καθωρμίζοντο, ἀλλ' ὅτι Χριστῷ 20
συνεῖναι τὴν ἀγαθὴν πορείαν ἐστέλλοντο, ᾧ καὶ συμβασι-
λεύσειν ἡ ἀψευδὴς προσδοκία, καθότι καὶ τῶν παθημάτων
ἐκείνου κατόπιν ἐβάδισαν. ἀλλ' ὁ μὲν ἀγὼν καὶ οἱ στέ-
φανοι Γουρία καὶ Σαμωνᾶ τοιοῦτοί τε καὶ τοσοῦτοι.

Ὁποῖον δὲ καὶ Ἄβιβος ἔδραμε στάδιον κατὰ καιρὸν νῦν 25
ἡμῖν διελθεῖν. εἰς διακόνους τῶν Χριστοῦ μυστηρίων
οὗτος τελῶν καὶ τῆς αὐτῆς ἀγροικίας τοῖς προτελειωθεῖσιν
ὁρμώμενος πολλοῖς τῶν σῳζομένων τὰ τῆς σωτηρίας
διακονεῖν τοῖς διώκουσι διεβάλλετο, ὅτε Διοκλητιανὸν μὲν
εἶχεν ἤδη καλῶς ἡ τοῦτον ὑπολαβοῦσα μοῖρα, πρὸς 30

22—23 2 Tim. 2, 12; cf. 1 Petr. 4, 13

3 *τῷ* **M**: *τὸ* **A** || **8** *ἀμυθήτῳ* **A**: *-ου* **M** || **11** *ἀπολιπούσης* **M**: *ἀπολειπούσης* **A** || **14** *τούτοις* **M**: *-ους* **A** || **20** *εὐδινοῖς* **M**: *εὐδεινοῖς* **A** || **21** *ἐστέλλοντο* **A**: *ἐπεστέλλοντο* **M** || **23** *ἐκείνου κατόπιν* **M**: *κατόπιν ἐκείνου* **A** || **26** *ἡμῖν* **M**: *ὑμῖν* **A** || **27** *τῆς* **A**: *τοῖς* **M** || **29** *διοκλητιανὸν* **A**: *-οῦ* **M**

Λικίνιον δὲ τὰ τῆς καθ' ἡμῶν μανίας μετωχετεύετο, ὥσπερ τις ἐξάγιστος κλῆρος ἐξ ἐκείνου πρὸς τοῦτον μετὰ τοῦ τῆς βασιλείας ἐναποσκήψας ἐλεεινοῦ σχήματος. ἐπεὶ δὲ τοῖς ἀναισθήτοις οὐκ ἦν φορητὸν μετὰ 5 *τῶν εὐσεβούντων συναγελάζεσθαι, κεκίνηται μὲν αὖθις διωγμὸς ὑπὸ τούτων, πρὸς Ἄβιβον δὲ τὰ τοῦ παντὸς κινδύνου ἐναπερείδετο, ὃν ἴσον ὑπείληπτο τοῖς μιαιφόνοις ἑλεῖν τῷ πάντας Χριστιανοὺς ἀνελεῖν. ἀνηρευνᾶτο πανταχοῦ Ἄβιβος, δι' οἰκουμένης, δι' ἀοικήτου· οὐκ ἦν* 10 *δολίους τῆς θήρας τυχεῖν. ἀλλ' ὅτε δὴ καμόντες ἀπ' ἐλπίδος γεγόνασι τοῦ θηράματος, ἐφίσταται τοῖς ζητοῦσιν ὁ διωκόμενος. εἰσάγεται τῷ δικάζοντι· καὶ ἐπειδὴ λέγειν τι πρὸς τοῦτον ἢ πράττειν ὥστε τῶν δεδογμένων αὐτὸν τῆς καθαρᾶς ἁγιστείας μεταποιεῖν ἔργον ἐδόκει,* 15 *πυρὶ πρὸς τὸν ποθούμενον ὁ διάπυρος ἐραστὴς ἀπολύεται καὶ οὕτως τοῖς πρὸ αὐτοῦ μάρτυσι δίδοται. καὶ γίνεται τούτοις ταφῆς κοινωνὸς ὡς καὶ τῶν πόνων καὶ τῆς δόξης συνέμπορος, ἐπεὶ καὶ ὡσαύτως ἐνίκησαν ἀρχὰς τοῦ ἀλάστορος δαίμονος, παρῆλθον ἐξουσίας τοῦ κοσμοκράτορος,* 20 *συνήφθησαν ἀγγέλοις, διέβησαν πρὸς τὸν ἀγωνοθέτην Χριστὸν ἔτι ῥεόμενοι τῷ τῶν σκαμμάτων ἱδρῶτι, ἔτι τῷ τῆς ἀθλήσεως περισταζόμενοι αἵματι. προτείνει τὴν δεξιὰν ὁ βραβεὺς ὁ καλὸς τοὺς ἑαυτοῦ ἀθλητὰς ἀναδούμενος, ἐγκατοικίζει ταῖς αἰωνίοις μοναῖς. αἵτινες αὗται, γέρας* 25 *ἑκάστῳ τὸ πρὸς ἀξίαν ἀνταμειβόμεναι, καὶ ποῖον τοῦτο, ζητήσεις τάχα μαθεῖν. ὁποῖον ἄν τι καὶ βούλει τῶν πρὸ τοῦ νόμου ἢ καὶ ἐν νόμῳ, οὐκ ἂν ὅμοιον ἔμοιγε δόξῃς· πῶς γάρ; ὅτι μηδέ τις ἐνάμιλλος τούτοις ἐκείνων πολλῷ τῷ μέσῳ ἐναλήθως εἰπεῖν παρευδοκιμούμενος, ἐπεὶ καὶ* 30 *νόμου ἡ κατὰ Χριστὸν πολιτεία τὸ καθυπερτερεῖν εἴληχε. τῶν μετὰ Χριστὸν δὲ οὐκ ἂν φανεῖεν τὰ δευτερεῖα φερό-*

9–10 Prov. 12, 27 || **19** cf. Eph. 6, 12 || **24** Luc. 16, 9; Io. 14, 2

3 *τοῦ* **M**: om. **A** || **8** *τῷ* **M**: *τὸ* **A** | *ἀνηρευνᾶτο* **M**: *ἀνερ-* **A** || **14** *αὐτὸν* **A**: *αὐτῷ* **M** || **16** *μάρτυσι* **A** (Lip.): *μάρτυς* **M** || **24** *ἐγκατοικίζει* **M**: *-εται* **A** || **25** *τὸ* **M**: *τῶ* **A** || **27** *νόμου* **M**: *νόμου μὲν* **A** | *δόξῃς* **M**: *δόξῃ* **A**

μενοι, ἀλλὰ καὶ μαρτύρων ἀγέλαις ὁμόσκηνοι καὶ ἀσκητικῶν ταγμάτων συμπάρεδροι καὶ ἱερατικῶν τελεσμάτων συμμέτοχοι, ἐπεὶ καὶ ἐνήθλησαν καὶ καρτερικοὶ πρὸ τῶν
51ᵛ ἀγώνων τὴν ἄσκησιν | ἀνεφάνησαν καὶ τῆς ἱερωσύνης ἐκ τῶν Ἀβίβῳ προσόντων τελεσμάτων ἐγκαλλωπίζονται. 5 ἀντιδιδόασι γὰρ ἀλλήλοις τὰ παρ' ἑκάστῳ καὶ κοινωνοῦσιν ἅτερος τῷ θατέρου πλεονεκτήματι τὸν ἐπαινετὸν ἔρανον συμπληρούμενοι. ἀλλὰ γάρ, εἰ μή τι περιεργότερος δόξω, ἔνεστι τούτους καὶ τοῖς κατὰ Χριστὸν παραβάλλοντας ἀνασκοπεῖν ἤδη τὸ πλέον τινῶν τούτοις ἐνθεωρούμενον, 10 ἐν μάρτυσι μὲν τὸ πρὸ τῆς μαρτυρίας ἀσκητικόν, ἐν ἀσκηταῖς τὸ μαρτύριον· ἐν μάρτυσι δὲ πάλιν στρατείαις ἢ πολιτευομένοις συντεττομένοις ἡ τῆς ἱερωσύνης ἀπὸ τούτων μαρμαρυγὴ ἀπαστράπτουσα ἀναμφιλέκτως τὸ κρεῖττον πρὸς ἐκείνους ἀποίσεται. τοιοῦτος ὁ δρόμος τοῖς 15 μακαρίοις, τοσοῦτος ὁ πόνος, τοιοῦτο τὸ ἐπὶ γῆς στάδιον, τοιαῦτα τὰ ἔπαθλα τούτων τῶν ἀοιδίμων καμάτων.

Καὶ τὸ ἐπὶ τῇ κόρῃ μικροῦ τὴν πίστιν ἀποδιδρᾶσκον τῷ ὑπερβάλλοντι τοῦ ἔργου θαυματουργούμενον. ζῶσα γὰρ αὕτη ψυχῆς ἀλάστορος ἔργον καὶ παλαμναίας ἐν μνήματι 20 προσφάτῳ πλήρει νεκρῶν συγκαθείργνυται ὑπὸ βαρβάρῳ τε γῇ καὶ ἡ τῆς ἐνεγκαμένης ὡς πορρωτάτω ἀπῴκιστο. ἀλλὰ γὰρ οὐκ ἔφθη βοηθοὺς τοὺς μάρτυρας ἀνακαλεσαμένη, οἷς καὶ θαρροῦσα τὴν τοσαύτην ἀποδημίαν πεποίητο καὶ ἀψευδῶς τῆς προσδοκίας ἀπέλαυεν. ἑσπέρα τὴν 25 ἀπορίαν εἶχε μετὰ κλαυθμοῦ τε καὶ προσευχῆς καὶ ὄρθρος σὺν εὐφροσύνῃ βαθὺς ἀποκαθίστη πάλιν τὸ γύναιον πρὸς τῇ πατρίδι, πρὸς τῇ μητρί, πρὸς τῇ σορῷ τῶν ἁγίων, καὶ παραδόξῳ τοῦ τάφου ἐξαγωγῇ λανθάνειν ἐχούσῃ τοὺς περικαθημένους φρουροὺς καὶ τάχει τῷ τῆς πορείας 30

25—27 Ps. 29, 6

7 ἅτερος **A**: ἕτερος (?) **M** || **9** τούτους **M**: -οις **A** || **15** κρεῖττον πρὸς ἐκείνους **M**: πρὸς ἐκείνους κρεῖττον **A** || **17** τούτων τῶν ἀοιδίμων **M**: τῶν ἀοιδίμων τούτων **A** || **18** τῇ κόρῃ **M**: τὴν κόρην **A** || **21** νεκρῶν **A**: νεκρῷ **M** (sed nihil in mg.) || **24** τοσαύτην **M**: om. **A**

αὐτουργησάντων ἐξαίσια· λευκοῖς γὰρ ἔποχοι ἵπποις, ὢ
τῆς ἀπροφασίστου καὶ σφοδρᾶς ἀντιλήψεως, κεχρηματι-
κότες τῇ κόρῃ καὶ ἐπὶ τούτων ταύτην ἀναβαλόντες τῷ
ἑαυτῶν ἐπεισάγουσι τεμένει, ἀφ' οὗ καὶ τῷ μιαρῷ πρώην
5 ἐπηκολούθει ἀνδρὶ ἐγγυητὰς παρ' ἐκείνου λαβοῦσα τοὺς
νῦν ἐπαμύναντας. οἳ καὶ δοθέντες περὶ τὴν πίστιν ὤφθησαν
ἀσφαλεῖς τε καὶ ἀψευδέστατοι, καὶ ταύτῃ τὴν σωτηρίαν καὶ
τῷ παρεσπονδηκότι μετὰ βραχὺ τὸν πρὸς ἀξίαν ἐπαρτή-
σαντες ὄλεθρον. ὢ σωτῆρες ταχινοί τε καὶ ἀπραγμάτευτοι,
10 ὢ βοηθοὶ τῶν καλούντων στερροὶ καὶ ὑπέρμαχοι, ὢ τῶν
ἐγγυηθέντων εἰς ἔκτισιν ἀπαραίτητοι καὶ μηδαμόθεν
ἑκάστῳ τὸ ἐπιβάλλον ἀναβαλλόμενοι.

Ἐμοὶ μὲν οὖν, σύνταγμα ἱερὸν καὶ θεοτερπεστάτη
πανήγυρις, ἡ πρὸς ὑμᾶς ἐπαγγελία διήνυσται καὶ τὸ τοῦ
15 λόγου δεῖπνον ἐσκεύασται καὶ τὰ τῆς ὑποθέσεως τῶν
μαρτυρικῶν ἄθλων καθάπερ ἐπί τινι τῶν ὑμετέρων
λευκώματι ἀκοῶν, ὥς γε ἐνῆν μοι, διακεχάρακται. ὑμεῖς
δὲ τί οἱ πανηγυρισταί, οἱ δαιτυμόνες, οἱ ἀκροαταί, τὰ
λογικὰ θρέμματα; τίνα τοῖς ὁμολογηταῖς μάρτυσι
20 καρποφορήσετε καὶ ἡμῖν; ἐκείνοις τὴν ὑμνῳδίαν καὶ τὸ
πρὸς ζῆλον τῶν ἀγαθῶν ἐπεκτείνεσθαι· οὕτω τοῖς
μάρτυσι πανηγυρίζειν εὐάρεστον, οὕτω τοὺς ἀριστέας
Χριστοῦ τιμᾶν | ἀξιέπαινον, τοιαύτῃ σπουδῇ, τοιούτοις 52r
καρπώμασιν· ἡμῖν δὲ τὴν εὐπείθειαν, τὴν πραότητα, τὸ
25 πρὸς ἀλλήλους εἰρηναῖον καὶ ἀστασίαστον, καὶ μετὰ
τούτων τὸν ἁγιασμόν, ὃς οὐκ ἄλλοθέν ποθεν περιγένοιτο ἢ
τοῦ νεκροῦντας τὰ ἐπὶ γῆς μέλη, ἃ τὴν ἐμπαθῆ κατα-
λαμβάνω ζωὴν ὀνομάζεσθαι, ἐκείνῳ σπεύδειν ἑαυτοὺς
ἁγιάζειν ἤτουν ἀφορίζειν ὃς γέρας τοῖς τὴν καρδίαν τῶν
30 ὑλικῶν ἀποκαθάρασι χαρίζεται ῥύπων τὸ ἑαυτὸν ἀπαρα-

24–26 cf. Hebr. 12, 14 || **27–28** Col. 3, 5 || **29** – p. 74, 1 Mt. 5, 8 || **30** – p. 74, 2 2 Cor. 3, 18; Ex. 34, 29–35; 2 Cor. 3, 7

1 ἐξαίσια **A**: ἐξαισίῳ **M** || **3** ἀναβαλόντες **M**: ἀναλαβόντες **A** || **8** παρεσπονδηκότι **A**: παρενσπ- **M** | τὸν **M**: τῶν **A** || **26** ὃς οὐκ **M**: ὅσον **A** | περιγένοιτο **M**: περιγίνεται **A**

καλύπτως ὁρᾶν καὶ τῆς ἐκεῖθεν δόξης ἧ καὶ Μωϋσῆς ἀναπίμπλασθαι. οὕτως ἐγὼ μὲν ὑμῶν πατὴρ, ὑμεῖς δὲ υἱοὶ τὸ τιμαλφὲς καὶ τριπόθητον χρηματίζοντες, εὑρήσομεν ἴσως πρὸς τὴν ἀποκειμένην λῆξιν μετατατтόμενοι ἀλλήλοις συνεῖναι καὶ συνδιαιτᾶσθαι καὶ συνευφραίνεσθαι, 5 *ὁπηνίκα καὶ τῷ στεφάνῳ τῆς περὶ ὑμῶν καυχήσεως ἐλλαμπρυνόμενος πρὸς τὸν κοινὸν ἀναβοήσω δεσπότην· ʿἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι, ὁ κύριος, ἔδωκαςʾ. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.*

6 1 Thess. 2, 19 || **8** Is. 8, 18; Hebr. 2, 13

1 *ἧ* **M**: *ἦ* **A** || **3** *εὑρήσομεν* **A**: *-σωμεν* **M**

7

Νικολάῳ ἀσικρήτις τῷ τοῦ Γαβριήλ, πρὸς εἰκονομάχους

Iconomachorum haeresin, apud simpliciores etiamtum superstitem, his argumentis impugnat Arethas: non constat ratio, si imagines quae oculis subiacent respuas, eas vero quae verbis exprimuntur et auribus percipiuntur venerabundus agnoscas, quales sunt quae inveniuntur apud Isaiam, ardentissimum idolorum impugnatorem, Ezechielem, Danielem. quodsi sub vetere testamento Deus ipse per imagines enuntiari potuit, multo magis Dominum incarnatum depingere licebit, et impie Christi imaginem idolum vocant; idolum enim rem commenticiam imitatur, imago veram. falso etiam dicunt varietate imaginum ipsam incarnationem in dubium adduci; immo si omnes fideles sibi ipsis Dominum similem fecerint, unam eandemque naturam humanam universi effingent. nec vero Moyses imagines fieri vetuit et Psalmista scabellum pedum Dei, rem creatam utique, adorandum proposuit.

Τὴν ἀλογωτάτην τῶν αἱρέσεων εὐθύνειν, τέκνον Νικόλαε, εἰ μή πού με προμήθεια τῶν ἀσθενεστέρων
5 *ἐδυσώπει, οὐκ ἂν ὅλως ἠξίουν. τί γὰρ ἐλέγχους ἔδει ταύτης περινοεῖν αὐτόθεν τοῦ ἐπελθόντος παντὸς ἀποχρῶντος αὐτῇ πρὸς διατροπὴν καὶ τῷ τυχόντι δὲ τὰ κατ' αὐτῆς νικητήρια ἄρασθαι; πλὴν εἰ καὶ σκιαμαχεῖν δόξωμεν τοῖς θεωρητικωτέροις, ἀλλ' οὖν ἑλοίμην ἂν καὶ πλέον τι*
10 *δόξαι τῶν οὐκ ἐπαινουμένων ἢ τῆς τῶν ἁπλουστέρων, ᾗπερ ἔφθην εἰπών, σωτηρίας καταμελῆσαι.*
Ὅτι μὲν οὖν οὗτοι μεθ' ὧν ἄλλων ἠγνόησαν ἔστι καὶ τὸ τῆς διδασκαλίας παντοδαπὸν καὶ πολύτροπον, καὶ ὅπως

περι:
6 *ἐπινοεῖν, ἐπι-* exp., **M** | *ἀποχρῶντος* ex *ἀποχρώντως* **M**

ἀπὸ πάντων τῶν οἷς θηρᾶσθαι πέφυκε τὰ κατ' αἴσθησιν γνωστικῶν ὀργάνων τὸ ψυχωφελὲς ἐρανίζεται, οὐδὲν οἶμαι παριστᾶν ἔργον· πρὸς γὰρ τῇ τούτων ἀγνοίᾳ ἤδη καὶ τοῖς κατὰ περίπτωσιν ἐλέγχοις καθυποβάλλονται. οὐ γὰρ ἂν τοὺς διὰ τῆς ἀκοῆς τῶν ἀθεάτων τε καὶ ἀσχηματίστων 5 ὑποβαλλομένους ἡμῖν εἴδη τε καὶ σχηματισμούς, πρὸς οἷς οὐκ ἐδίωξαν ἀσεβείας, ἔτι καὶ τὸ σεβάσμιον αὐτοῖς περιεποιήσαντο. ἐπεί τοι τῷ μὲν μακαρίῳ Ἡσαΐᾳ ὁ ἐπὶ θρόνου καθήμενος κύριος ἐπηρμένου καὶ τὰ κύκλῳ αὐτοῦ ὑπόπτερά τε καὶ ἑξαπτέρυγα σεραφίμ, ἀνείδεα ὄντα 10 καὶ ἀναφῆ, ὡς σώματα διατυπωθέντα ὑπὸ τούτου ὁρᾶται καὶ καταγγέλλεται, ἐπεὶ μηδ' ἄλλως ἦν τῷ νοεῖν περιποιεῖσθαι ὑπόστασιν ψυχῇ μεριστῶς ἐνεργεῖν πεφυκυίᾳ, ἅτε δὴ σώματι περιειλημμένῃ καὶ διὰ τῶν συγγενῶν αὐτῷ αὐτῇ τε τοῦ γνωστοῦ ἐφαπτομένῃ καὶ τοῖς ἄλλοις 15 τούτου τὴν θήραν παρεχομένῃ. καὶ οὕτως μὲν οὗτος καὶ οὐδ' ὁτιοῦν ὑφιστάμενος ὑπὸ τῶν τοῖς κρείττοσι μέμφεσθαι φιλοτιμουμένων τῶν ὅσα λυπεῖν εἴωθε | τοὺς καινόν 52ᵛ τι καὶ ἀπαίσιον τῷ βίῳ εἰσηγουμένους· οὐχ ὁ θεῖος Ἰεζεκιὴλ τὸν ἐπὶ τῶν αὐθαιρέτων τροχῶν ἠλέκτρινον καὶ 20 πολύμορφον ἔποχον ἀπὸ βορρᾶ ἐξορμώμενον, ὃν οὐ κατ' εὐθύτητα σκέλη πτεροῖς πυκαζόμενοι τὰ πρὸς τοὺς πόδας καὶ ὀφθαλμῶν περιανθιζόμενοι λειμῶνι θεράποντες περιΐσταντο, καὶ οὐχ ὅπως οὐδ' οὗτος τοῖς κατ' ἐκεῖνο καιροῦ ἀλλὰ καὶ τοῖς νῦν τῇ κατ' αὐτὸν προφητείᾳ εἰδοποιῶν 25 τε καὶ διαπορθμευόμενος τῇ τῶν εἰδωλοποιούντων ὑπήχθη καταδίκῃ. πῶς δ' ἄν τις καὶ τοῦτον παρέλθοι ὃς τὸν παλαιὸν τῶν ἡμερῶν σωματοποιῶν μετὰ τοῦ ὡς υἱοῦ ἀνθρώπου ἐπὶ τῶν νεφελῶν ἄχρι τοῦ παλαιοῦ διαγράφει ἀφικνουμένου, πρὸς ὃν καὶ τὰ τῆς τιμῆς μεταρρεῖται καὶ 30 τὰ τῆς ἐξουσίας; Δανιὴλ δὲ καὶ οὗτος ὁ τῇ τοῦ ῥέοντος

8—10 Is. 6, 1–2 || **19—24** Ez. 1 || **27—31** Dan. 7, 9–14

14—16 *περιειλημμένῃ . . . αὐτῇ . . . ἐφαπτομένῃ . . . παρεχομένῃ* Wk: *-νη . . . αὐτή . . . -νη . . . -νη* **M** || **15** *αὐτῷ* Wk: *ἑαυτῷ* **M** || **21** *βορρᾶ* Wk: *βορρὰν* **M** || **25** *αὐτὸν* Wk (cf. p. 77, 7): *αὐτῶν* **M**

τοῦδε τοῦ χρόνου ὑποστάσει τὴν ἑαυτοῦ παραμετρῶν προφητείαν, ὃν οὔπω καὶ τήμερον οἱ κενοὶ λογολέσχαι τῷ τῆς ἀπονοίας αὐτῶν ζημιώματι κατεχρήσαντο.

Τοσούτους τοιγαροῦν καὶ τοιούτους ἄνδρας θειότητι
5 *τρόπων καὶ λόγων τὸ περιφανὲς εἰς εὐσέβειαν καταπλουτοῦντας καὶ ὅσαι ἡμέραι ἰδίᾳ καὶ δημοσίᾳ τούτους εἰδότες ταῖς κατ᾽ αὐτοὺς προφητείαις ταῦτα διατρανοῦντας καὶ ἐκπομπεύοντας, εἶτα μηδὲν ἔχοντες αὐτοῖς ἐγκαλεῖν τοιοῦτον οἷον τοῖς καθ᾽ ἡμᾶς τῶν ἤδη σωματικῶς τῷ*
10 *βίῳ ὑπουργησάντων θεσπεσίων τῷ ὄντι καὶ θείων ἀνδρῶν ταῖς ἱερογραφίαις ἀναστηλοῦσι τὰ εἴδη, εἰ μή που καὶ τὸ σεμνὸν προσνέμοντες καὶ θεσπέσιον· οἱ δέ, ἐπειδὰν ἀκούσωσι τοῦ μικρῷ πρόσθεν ἡμῖν τὸν ἀσώματον μὲν τηνικαῦτα υἱὸν τοῦ θεοῦ ὡς ἄνθρωπον ἐπὶ τοῦ θρόνου δια-*
15 *μορφοῦντος καὶ καθιδρύοντος (ʽεἶδονʼ γάρ φησιν οὗτος ʽτὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένουʼ), αὖθις δὲ τὸν αὐτὸν τοῦτον προφήτην οὕτω πως κατακερτομεῖν Ἰουδαίους ἐγνωκότα, οἳ τοῖς Χαναναίων εἰδώλοις ἑπόμενοι τὸν οὔπω σωματωθέντα ἰνδάλμασιν ἀνθρωπίνοις*
20 *ἐξωμοιοῦντό τε καὶ διέγραφον, καὶ διαπρύσιον οἷον αὐτοῖς ἐμβοῶντα καὶ καταισχύνοντα ʽτίνι ὁμοιώματι ὡμοιώσατε κύριον;ʼ – οἱ δὲ εὐθέως ὥσπερ ὑπό τινος μανίας ἀγριαινόμενοι κατεξανίστανται τῶν τοῖς θείοις χαρακτῆρσι καλλυνομένων ἡμῶν καὶ τῇ τοῦ θεανδρικοῦ*
25 *τύπου ἀναστηλώσει τὸ εὐσεβὲς ἐπιδεικνυμένων καὶ πίστωσιν ποιουμένων διὰ τούτου τῆς πρὸς ἡμᾶς παρουσίας τοῦ ὑπερουσίου καὶ συναναστροφῆς, οὐκ ἀποναρκῶντες οἱ δείλαιοι ἀπηρυθριακότως ἐπίκλημα καὶ οἷον μέγα πορίζειν ἡμῖν τοῦτο οἰόμενοι. οὐδὲ γὰρ ὅλως ἔχουσιν οἱ τυφλοὶ τὸ*
30 *συνεῖναι μήθ᾽ ἃ λέγουσι μήθ᾽ οἷς ἐπικαλεῖν τὰ ἀναίτια αὐθαδίζονται. εἰ γὰρ οἱ πρὸ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου τὸν ἁπλοῦν τε καὶ ἀπερίγραπτον ἐσχηματικότες*

15–16 Is. 6, 1 || **21–22** Is. 40, 18

28 *ἐπίβλημα* (κ supra β) **M**

οὐδ' ἥντινα γραφὴν ἀπηνέγκαντο ἀσεβείας, εἰ μή τι καὶ
53r *σεπτοὶ καὶ θεῖοι ἐχρημάτισαν ἄνδρες τῇ ποικιλίᾳ | καὶ*
διαφορότητι τοῦ εἰδοποιουμένου τὸ ἀκατάληπτόν τε καὶ
ἀπερίγραπτον τῶν θείων ὑποφαίνοντες οὐσιῶν καὶ τῶν
ἐνύλων ἀπανιστῶντες ταύτας ἐμφάσεων, ἤ πού γε δίκην 5
ὑπόσχοιεν ἀσεβείας οἱ τῷ φανέντι ἐν σώματι ἀληθῶς ἀν-
θρωπίνῳ καὶ τὰ καθ' ἡμᾶς ἀδιάβλητα πραγματευσαμένῳ
τὴν ἀνδρικὴν ὑφιστάντες μορφὴν καὶ τῇ τοῦ πρωτοτύπου
ἐπαινετῶς ἄγαν ἀποσεμνύνοντες καὶ προσηγορίᾳ τε καὶ
τιμῇ; ἢ οὐ τῇ τοῦ Σταγειρίτου πρὸς ἐντροπὴν αὐτῶν 10
χρήσασθαι ⟨δεῖ⟩ λέξει 'ὁμωνύμως τῷ παραδείγματι καὶ
τὸ ἀπ' αὐτοῦ κατονομάζεται ἴνδαλμα'; εἰ δὲ τοῦτο, τίς ἡ
ἀπόνοια, τίς ἡ τοσαύτη παρακοπή, μὴ καὶ τοῖς ἄλλοις τοῦ
ἀρχετύπου κατακοσμεῖσθαι καὶ τὸ παράγωγον, ἀλλ'
εἰκαίῳ λόγῳ καὶ γνώμῃ, ἵνα μὴ ἀσεβεστάτῃ λέγω, εἰδώλου 15
ἀτιμίᾳ τὸ ἀπὸ τοῦ ὄντος καὶ ὑφεστῶτος καθυβρίζειν ἀπό-
μοργμα; ἀθέων οἱ λόγοι καὶ μὴ εἰδότων ὅσιον διαστέλλειν
καὶ βέβηλον, καὶ τί μὲν εἴδωλον τί δὲ εἰκών· τὸ μὲν γὰρ
ἐνυποστάτου πράγματος μίμημα, εἴδωλον δὲ ψιλῆς ἐπι-
νοίας ἐνέργημα. καθὸ καὶ παῖδες Ἑλλήνων πῦρ καὶ ἀέρα 20
καὶ γῆν εἴδεσιν ἀνθρωπίνοις, ἀναίσθητον ὕλην καὶ ἄψυχόν
τε καὶ ἀσχημάτιστον καὶ οὔποτε διαλείπουσαν τοῦ παρ-
εῖναι, διατυποῦντες τῇ τοῦ εἰδώλου κατευφήμισαν προσ-
ηγορίᾳ οἱονεὶ ἐν εἴδει ὅλῳ τὴν ὕπαρξιν μόνον ἀπολαγχά-
νοντος. ἐντεῦθεν καὶ Παῦλος ὁ νοῦν τῷ ὄντι ἔχειν Χριστοῦ 25
σεμνυνόμενος Κορινθίοις ἐπιστέλλων 'οἴδαμεν' φάσκει
'ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ'. τί τοῦτο λέγων; οὐ τὰ
χειρόκμητα ταῦτα, ὧν τότε πλήρης ὁ πάσῃ δαιμόνων
βακχείᾳ κόσμος οἰστρηλατούμενος, ἀλλ' ἐν τῇ τῶν ὄντων
διακοσμήσει οὐδέν φησιν εἴδωλον· ἐνούσια γὰρ ταῦτα καὶ 30
ἐνυπόστατα, οὐκ ἐν ὑπονοίας ὑπάρξει προβαίνοντα.

1 mg. *ση(μείωσαι) χρ(ήσιμον).*

10–12 Aristot. Cat. 1, 1a 2–3 || **25–26** 1 Cor. 2, 16 || **27–28** 1 Cor. 8, 4

9 *καὶ*[1] del? || **11** *δεῖ* add. Wk

Ἀλλ' εἴπερ ὁ διὰ τοῦ τῆς ἀκοῆς αἰσθητοῦ τὴν γνῶσιν τοῖς διδασκομένοις διακονῶν οὐκ ἀσεβής, ὡς ὅ γε λόγος ὑπέστησε, τῇ τῶν ἐπηρεαζόντων τὴν ἐκ πατέρων εὐσέβειαν συγκαταθέσει τὸ κράτος ἀποφερόμενος, οὐκ ἂν οἶμαι τῷ
5 *διὰ τῆς ὁράσεως ταὐτὸν ἐκείνῳ διαπράττεσθαι μηχανωμένῳ ὀχληρὸς κατασταίη ἐν ἑαυτοῦ μένων. τίς γὰρ ἡ ἀποκλήρωσις, τῷ μὲν ὑπείκειν, πρὸς δὲ τὸν ἀπομάχεσθαι, ἐξ ἑνός τε ἀμφοῖν προβαλλομένων σκοποῦ τοῦ ταῦτα διοικονομοῦντος καὶ πρὸς τὸ αὐτὸ καταγώγιον μετὰ τοῦ*
10 *πλούτου τῶν ἀγωγίμων ταῖς διαφόροις ὁδοῖς καταπαύειν ἐπειγομένων; ὃ γὰρ διὰ τῶν ὤτων ὁ διδάσκαλος διῳκήσατο λόγος, τοῦτο διὰ τῆς ὁράσεως, ᾗτινι σχημάτων τε καὶ χρωμάτων ἀντιλαμβάνεσθαι περιγίνεται, καὶ τῶν κατ' αὐτὴν ἐξανύεται ἐπαισθημάτων. ἐπεὶ δὲ ταῦτα, ἆρά γε*
15 *καθεστῶσιν ἐνα|ριθμοῖτο ὁ τοῖς οὕτω τῷ διδασκαλίῳ* 53ᵛ *χρωμένοις ἀσέβειαν ὅλως ἐπικαλῶν; μανία τοῦτο δεινὴ καὶ τῆς τοῦ Μανιχαίου φαντασιοπλήκτου οἰήσεως περὶ τοῦ ἐνηνθρωπηκότος θεοῦ παρουσίας ἄγαν ἐγγύς.*

Εἰ δὲ τὸ διάφορον τῶν παρ' ἑκάστοις ἔθνεσι Χριστοῦ
20 *μορφωμάτων σιλλαίνειν τὸ δόγμα παρέχεται ὡς οὐ τὸ στάσιμον τῆς θεανδρικῆς ἰδέας τῷ ὑπαλλάττοντι τῶν χαρακτήρων αὐτοῦ εἰσηγούμενον, παρ' ὃ καὶ τὸ τῆς ἐνανθρωπήσεως εἰς ἀπιστίαν ἀποδραμεῖται, μιᾶς μορφῆς τὸν καθ' ἕκαστα πεφυκυίας ἄνθρωπον ἀφορίζεσθαι, οὐχὶ διαφόρου,*
25 *ἐγὼ δὲ τούτῳ μάλιστα ἰσχυριζοίμην ὡς οὕτω πιστὸν ἅπασιν ἔδοξεν ἔθνεσιν ἡ τοῦ κυρίου θεάνθρωπος παρουσία ὡς ὅμοιον ἑαυτοῖς ἕκαστον ἀναγράφειν τὸ πρόσλημμα γνησίως τε καὶ οἰκείως αὐτοῖς ἐνηνθρωπηκότι. καὶ ὥσπερ οἱ τὰ κατὰ τὸν κύριον ἱστοροῦντες ἐν διαφόροις γραμμάτων*
30 *εἴδεσι καὶ ὀνομάτων οὐδὲν τῇ ὑποθέσει λυμαίνονται τοῖς ἄλλοις καὶ ἄλλοις σχηματισμοῖς τῶν γραμμάτων οὐδὲ τῇ ἑτερότητι τῶν φωνῶν, ἀλλὰ πρὸς ἕνα σκοπὸν ἅπαντες καθορμίζουσιν, οὕτω γε δὴ καὶ τὸ τῶν χαρακτήρων κατ' ἔθνη*

28 mg. *ὡρ(αῖον) καὶ κατάλληλον.*

32 *ἅπαντες*] *ἅπαν̄* (?) **M**

διάφωνον ἐφ᾽ ἑνὶ καταπαύει βεβαίῳ σκηνώματι τὸν ἀληθῶς ἄνδρα τοῦ κυρίου κηρύττοντι.

Εἰ δὲ τῷ παλαιῷ τις ἑδραζόμενος λόγῳ, φημὶ δὲ τῷ διαστελλομένῳ μὴ προσκυνεῖν πᾶν ὁμοίωμα, ὃ πρὸς Μωϋσῆν ἀναφέρεται τὸν νομοθέτην 'οὐ προσκυνήσεις πᾶν 5 *ὁμοίωμα' παρεγγυῶντα, 'ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω,' ἁπλοῦς ὁ λόγος. καίτοι γὰρ ἔχων τὸ ἀνόητόν τε καὶ ἄτοπον τῶν οὕτως ἀκουόντων αὐτὸ ἀπελέγχειν, τοῦτο μὲν διαλεκτικαῖς ἐφόδοις, ὧν καὶ ἀσύνετος ἡ ὑώδης αὐτῶν συμμορία, τοῦτο δὲ ὡς οὐχὶ* 10 *'προσκυνήσεις' γέγραπται ἀλλ' 'οὐ ποιήσεις', ταῦτα μὲν ἑκὼν τὰ νῦν γε παρίημι, τὸ μὲν ὡς ὑψηλότερον ἀκοῆς ὅλως βεβήλου, τὸ δὲ ὡς οὐχ ἧττον καὶ ἀπὸ τούτου τοῦ παρεγγράπτου τὰ τῆς αἰσχύνης αὐτοῖς μακρῷ κατασκεδαζόμενα. τοῦτό γε αὐτοῖς πρὸς τὸ φρονεῖν ἐπανάγων καὶ σωφρονεῖν* 15 *μόνον ἐρῶ· τί γάρ, εἴποιμ' ἂν αὐτοῖς, φατέ, 'οὐ προσκυνήσεις' ἤτοι 'οὐ ποιήσεις πᾶν ὁμοίωμα' ἡ παλαιὰ ἐντολή, 'ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω'; εὖ σοι γένοιτο σωφρόνως ἐπαΐοντι τούτων. ἀλλ' ὁρῶμεν καὶ ὁμοιώματα καὶ ποιήματα παρὰ τῇ παλαιᾷ διαθήκῃ καὶ* 20 *σεβαζόμενα καὶ ποιούμενα, αὐτὴν τὴν σκηνὴν ὑπὸ Μωϋσέως πρὸς τύπον τῆς ἐν τῷ ὄρει παραδειχθείσης ὁμοιουμένην· καὶ τί ἄν, εἰ λέγοιμι τὴν κιβωτόν, τὰ ταύτην κατασκιάζοντα χερουβίμ, καὶ εἴ τις ἄλλη ταῖς κατὰ μέρος λεπτουργίαις ὑπόστασις παραδείκνυται, ὧν οὐδὲν ἔξω τῶν* 25 *οὐρανοῦ γινώσκομεν ὅρων οὐδὲ τῆς κατὰ γῆν ἕδρας καὶ ὑποστάσεως; εἰ οὖν μήτ' ἐκεῖνος τὰ τῶν χερουβὶμ ὁμοιώματα τῇ σκηνῇ καὶ σεβάσμια περιείργασται μήτε δὲ* 54r *ὁ θεοπάτωρ Δαυὶδ ἀπηνήνατο σεβάσ|μιόν τι τῶν ἐγκοσμίων ἀποφήνασθαι, ὧν ἴσως ὁ κενὸς οὗτος δογματιστὴς* 30 *ἤτοι οὐκ ἐπακήκοεν ἢ ἐπακούσας Ἰουδαϊκῶς ἀμβλυώττειν πρὸς τὸ ἀληθὲς καὶ κωφεύειν ἀνέχεται — τί γάρ φησι*

3–7 Ex. 20, 4; Deut. 5, 8 || **21–23** Ex. 25, 9 || **23** Ex. 25, 10–16 || **23–24** Ex. 25, 18–20 || **29** – p. 81, 2 Ps. 98, 5

11 et 16–17 *προσκυνήσης . . . ποιήσης* **M**

καὶ Δαυίδ; ʽπροσκυνεῖτε τῷ τοῦ θεοῦ ὑποποδίῳ, ὅτι ἅγιόν ἐστιν᾽· — εἰ οὖν μὴ ταῦτα, εἶχεν ἄν τινα ὑποδρομὴν τὸ ληρούμενον· εἰ δ᾽ οὐχὶ τοῦτο, προφανὴς ἀσεβής, πρὸς δὲ καὶ ἀντίθεος, ὁ ταῖς ὑπὸ τοῦ θείου πνεύματος ἐπιπνοίαις
5 *ἀντινομοθετῶν, καὶ δὴ καὶ ἀνοητότατος ἅτε τοῖς μηδὲν παραχρώμενος συντελοῦσιν εἰς ὅσα γε συνηγορίαν κρατύνεται. καὶ τί τὸ ὑποπόδιον τοῦτο; ἑτέρου πάλιν διασαφοῦντος ἐπάκουσον προφήτου τὸ ὄρος εἶναι τῶν ἐλαιῶν ἐν ᾧ τοὺς πόδας ἀπαγγέλλει τοῦ θεοῦ στήσεσθαι. πάντως*
10 *δ᾽ οὐκ ἄν τις ἐμπληξίᾳ τοσαύτῃ κατάληπτος ὡς μὴ τῷ ὁρατῷ τούτῳ θεοῦ ἔργῳ ἐγκόσμιον οἴεσθαι τὸ ἐλαιῶν ὄρος, ὃ καὶ σεβάσμιον ὁ προφητικὸς λόγος παρέδειξεν οὐδὲν ὑπειδόμενος τὸ ʽὅσα ἐν τῷ οὐρανῷ καὶ ὅσα ἐπὶ τῆς γῆς᾽ Μωϋσέως παράγγελμα.*

15 *Εἰ τοίνυν οὕτω ταῦτα ὁ ἀναμφίλεκτος διεβεβαιώσατο λόγος, πῶς ἂν ἄξιος πίστεως ἔτι ὁ ταῦτα πρεσβεύων; ἀλλά γε δὴ καὶ τὸ καθ᾽ ἡμᾶς ὁμοίωμα τοῦ υἱοῦ τοῦ θεοῦ τηνικαῦτα σεβασμιότητος ἐκβλητέον αὐτῷ, ὁπηνίκα καὶ τὸ τοῦ σωτηρίου σύμβολον πάθους, τὸν σταυρὸν ἐν ᾧ*
20 *προσεπάγη Χριστὸς ὁ θεός, τῷ ὁμοίωμα εἶναι ἀθετήσῃ καὶ οὕτω τὴν ἐμβρόντητον νίκην νικήσει, τοῦ κράτους τῶν σεβασμάτων τὸν Χριστιανισμὸν ἀποστερῶν καὶ ἑαυτὸν τῶν πιστῶν τῆς μερίδος. ἀλλὰ γὰρ ἐάσαντες τοὺς μαινομένους, ἐπεὶ καὶ ταῦτα τῶν ἀγροικοτέρων πεπονήκαμεν*
25 *χάριν, αὐτοὶ τὸ λοιπὸν τῆς ἑαυτῶν γενώμεθα καὶ εὐσταθείας καὶ τάξεως.*

7—9 Zach. 14, 4

3 leg. *προφανῶς*? || **19** *πάθους* Wk: *πάθος* **M**

8

Ἀρέθα ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας ἐπιτάφιος εἰς Εὐθύμιον τὸν ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως

Hunc epitaphium habuit Arethas in monasterio Psamathiae praesentibus episcopis clero populo, cum Euthymii reliquiae circa a. 920 ab exilio eo translatae essent.

„Mors Euthymii non lacrimis sed gaudio digna est, utpote qui ad Dominum abierit. de vita et genere eius haec memoranda: Seleuciae natus ex genere S. Gregorii Decapolitani fit monachus in Bithynico Olympo, tum in monasterio ad sinum Astacenum sito; Constantinopoli in domos fidelium receptus imperatori notus fit et patriarchae contubernalis. brevi post orta seditio in ecclesia ingravescit culpa patriarchae, qui mox officium suum abiecit et ecclesiam sine gubernatore reliquit; cui universae ecclesiae suffragio Euthymius successit. sequitur illud crudele iudicium a iudicibus venalibus et flagitiosis factum coram Saracenorum legatis: Euthymius in exilium agitur, amicis aut procul stantibus aut derelinquentibus. tum mors et quod nunc eum recipit sepulcrum, postquam imperatores Christi amantes vicerunt inhumanitatem tyranni superstitis, qui ea cum defuncto (Alexandro) patraverat. itaque illorum iussu trans mare reductus primo in ecclesia S. Aemiliani depositus est ibique hymnis et laudatione a quodam episcopo habita celebratus postremo in hoc monasterium perlatus est. comparanda est eius triumphalis introitus, vivente etiamnunc interfectoris ministro, cum ignominioso funere Alexandri, qui diu imperio fratris insidiatus postquam ei successit uxorem fratris e regia expulit et imperium eunucho Slavenico traditurus erat, nisi Deus stirpi Basilii consuluisset; sed post multa impia facta (quorum gravissimum erat quod operto capite Dei templum intrare ausus est) foeda tabe correptus et miserandum in modum ut infimus hominum in sepulcrum abiectus est. persecutores ceteri poenas iam dederunt, Alexandri minister et satelles mox dabit.“ perorans Euthymium precibus invocat.

Τί τοῦτο, σύνταγμα ἱερόν, κλῆρος ἡγιασμένος, δῆμος ἔνθεος; τίς ἡ καινὴ ὑμῶν συνδρομὴ καὶ παρὰ τὸ εἰκὸς αὕτη πανήγυρις, οὐδὲν μὲν χαρμόσυνον ἐπιφαίνουσα οὐδ᾽ ὅσα τῶν εἰωθότων σεμνύνειν πανήγυριν, ἀλλ᾽ εἴ τι στυγνόν 5 τε καὶ κατηφές, εἴ τι θρηνῶδες καὶ γοερόν, εἴ τι τῶν ἐν μεγίσταις συμφοραῖς ἐπιφυομένων ἀνθρώποις τὸ χαλεπόν τε καὶ σχέτλιον ἐπιδείκνυται, ταῦτα τῷ εὐαγεῖ τούτῳ ἀθροίσματι δαψιλῶς ἐξυφαίνουσα, ὡς μονῳδίαν ἐοικέναι ἀπολοφύρασθαι; τίς οὖν ἡ τοσαύτη πληγή; τί τὸ κατει-10 ληφὸς οὕτως ἐξαίσιον ἄλγος ὑμᾶς, ὡς μηδ᾽ ἂν ἀνανεῦσαι ὅλως ἐᾶν μηδὲ τοὺς ὀφθαλμοὺς φέρειν ἁπλοῦς, τῆς ἀπὸ τῶν δακρύων ἀπηλλαγμένους στυγνότητος;

Εὐθύμιος ὁ τοῦ θεοῦ μέγας ἀρχιερεὺς τὸν θρῆνον ὑμῖν ἐνεστήσατο τοῦτον, οὐ προσηκόντως καθυβρισμένος, τοῦ 15 θρόνου ἀπελαθείς, ὑπερορίᾳ χειρὶ παλαμναίᾳ κατακριθείς, θανάτῳ τὰ νῦν ὑπαχθείς, τῷ δρωμένῳ τάφῳ παραδοθείς. καὶ τί τούτων | εἰς θρῆνον τοσοῦτον, μᾶλλον δὲ τί τούτων 54ᵛ *οὐ τῆς τελεωτάτης χαρᾶς τε καὶ θυμηδίας καὶ ὧν ὁ ἀπ᾽ αἰῶνος ἅπας θεῷ ἀνακείμενος ἄνθρωπος καλλωπίζεται; 20 ʻμνήμη δικαίου μετ᾽ ἐγκωμίωνʼ, ἐγκώμιον δὲ ἐξομολογήσει καὶ αἴνῳ φαιδρύνεσθαι ἀλλ᾽ οὐχὶ θρήνῳ καὶ κωκυτῷ, ὃ νῦν ὑμεῖς ποιεῖτε, συμφύρεσθαι πέφυκεν. οὐκ ἔστι ταῦτα τῶν σωφρονεῖν βουλομένων, ἀλλότρια τῆς ἡμετέρας ἀγέλης τὰ δρώμενα. ἀνέστη πρὸς τὸν ποθούμενον 25 ὁ καλὸς ἐραστής, ἐξεδήμησε πρὸς τὸν ἀγωνοθέτην ὁ σταδιεύς, ἀπῆλθε πρὸς τὸν βραβέα ὁ παγκρατιαστής, ἔτι ῥεόμενος τοῖς τῆς ἀγωνίας ἱδρῶσιν, ἔτι τῷ πόνῳ τοῦ σκάμματος πυκνὸν ἐνασθμαίνων καὶ συγκοπτόμενος· ἐδράξατο τῆς ἐκεῖθεν ἀνέσεως, μετέσχε τῆς ἀπραγμα-30 τεύτου ζωῆς, τὰ κάλλη τῶν οἷς ἐνηγώνισται κατοπτεύει, λοιπὸν τὰ γέρα παντοκράτορι κομίζεται δεξιᾷ, ἐντρυφᾶν ἤδη τῆς ἐκεῖσε ἐνῆρκται μακαριότητος. ἀνθ᾽ ὧν ἔδει σκιρ-*

20 Prov. 10, 7 || **32**—p. 84, 2 Mt. 5, 12

8 Papadopulos-Kerameus[1] 26–35; Jugie 489–498 [65–74]

τῶν καὶ εὐφραίνεσθαι ὅτι τὸν ἐν οὐρανοῖς ἐπαπολαύει μισθόν, ὅτι τῷ τῶν δακρύων αὐτοῦ σπόρῳ, ὃν κλαίων ἐπὶ τῆς γῆς κατεβάλετο, νῦν ἐνηδόμενος τὰ δράγματα τούτου συγκομίζει καὶ ἐπαγάλλεται. σὺ δὲ θρηνῶν ποιῇ ἀφορμὰς ἃ τῆς παντελοῦς εὐφροσύνης παραίτια; οὔτε θεῷ ταῦτα 5 εὐάρεστα, οὐ τῷ κειμένῳ ἁρμόδια. εἰ γὰρ καὶ ἔδοξεν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, ᾗ φησὶν ὁ ἱεροφάντης, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτοῦ καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, ἀλλ' οὖν ἐστὶ νῦν ἐν εἰρήνῃ, ὅτι ὁ θεός, τὰ ἐχόμενα τοῦ λόγου ἀναλαβεῖν, ἐπείρασεν αὐτὸν καὶ εὗρεν 10 αὐτὸν ἄξιον ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτὸν καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτόν. ταύτῃ τοι καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτοῦ ἀναλάμψει, ἡνίκα πάντες οἱ δίκαιοι ἐκλάμψωσιν ὡς ὁ ἥλιος, τῷ καθαρῷ καὶ ἀκραιφνεστάτῳ φωτὶ συναπτόμενος, 15 σκότος δὲ καὶ ζόφος τοῖς τῆς ἀριστερᾶς περιχεθείη μερίδος, καὶ στήσεται δίκαιος κατέναντι τῶν θλιψάντων αὐτόν, εἴ τι τῷ θεηγόρῳ πιστέον προφήτῃ τὰ τῆς ἀποκειμένης ἐκδικήσεως ὑπογράφοντι. ἀλλὰ τί τούτων ἄξιον θρήνων, τί τῆς ἐπεχούσης κατηφείας παραίτιον, τί 20 σκυθρωπότητος πρόξενον, τί δὲ τῶν οὐ προσηκόντων τῇ παναγίᾳ τοῦ κειμένου ψυχῇ καὶ ὧν ὁ ἐπαινετὸς χαρακτὴρ τῷ ἀπὸ γενεᾶς αὐτοῦ βίῳ μετέπρεπε;

Σελεύκεια μὲν γὰρ αὐτὸν τιθηνεῖται εἰς Γρηγορίου τοῦ θείου τὸ γένος ἀνάπτουσα, ὃν ἄλλον θαυματουργὸν ἡ 25 μικρῷ πρὸ ἡμῶν ηὐμοίρησε γενεά, τῆς τῶν Ἰσαύρων καὶ τοῦτον ὁρμώμενον Δεκαπόλεως καὶ τὸ 'γενεὰ εὐθέων εὐλογηθήσεται' ἔργῳ κυροῦσά τε καὶ κρατύνουσα. ὑπέλαβε δὲ τὰ πρῶτα μὲν ὁ Βιθυνὸς Ὄλυμπος, τῆς κατὰ θεὸν 55r φιλοσοφίας τὸ κάλλιστον | ἐνδιαίτημα· μεθ' ὃν τὸ πρὸς τῷ 30 Ἀστακηνῷ ἱερὸν φροντιστήριον κόλπῳ, ἀγῶσι κἀνταῦθα

2–4 Ps. 125, 6 || **6–14** Sap. 3, 2–7 || **14** Mt. 13, 43 || **16** cf. 2 Petr. 2, 17; Iud. 13 || **16–17** Mt. 25, 33 || **17–19** Sap. 5, 1 || **27–28** Ps. 111, 2

2 *μισθόν* Wk: *-ῶν* **M**

τοῖς ἐξ ἀρετῆς λαμπρυνόμενον. ἀλλ' ὅσα μὲν οὗτος
κατὰ τοῦ ἀντιπάλου πάντων ἡμῶν ἵστησι τρόπαια καὶ
ὅσοις νικητηρίοις ἀναδέδεται στεφάνοις τοὺς κατὰ ψυχὴν
ἄθλους ἐξανυόμενος, αὐτοῖς ἐκείνοις ἐκδιηγεῖσθαι παρα-
5 χωρῶμεν οἳ καὶ παρῆσαν τῷ ἀηττήτῳ τούτῳ ἀνδρὶ καὶ τῇ
αὐτοψίᾳ μάρτυρες ἀπαράγραπτοι· πείνης φημὶ καὶ δίψης
τὴν καρτερίαν, γυμνότητος τὸ ὑπερβάλλον, ἐφ' ἱματίῳ
ἑνὶ τὸν ἀνυπόστατον ἐκεῖνον κρυμὸν ὑφιστάμενος, ἀγκτή-
ρων τε καὶ μασχαλιστήρων τὴν κατηναγκασμένην αἰώραν,
10 οἷς τῶν ἑαυτοῦ βλεφάρων τὸν ὕπνον ἀπήλαυνε, μετὰ τοῦ
θείου Δαυὶδ ἀνευρεῖν τὸ τοῦ θεοῦ ποθῶν σκήνωμα καὶ
τόπον τοῦ καταπαῦσαι, οὗ μὴ σάλος βιωτικῶν περιστά-
σεων, μὴ κλύδων ψυχῶν τοῖς πονηροῖς πνεύμασι ταραττό-
μενος. ταῦτα μὲν οὖν ἐκείνοις παραχωροῦντες καὶ διηγεῖ-
15 σθαι καὶ τῇ περὶ αὐτῶν μνήμῃ ἐναγλαΐζεσθαι αὐτοὶ τὰ
μετ' ἐκεῖνα προσθήσωμεν.

Εἶχεν ἐκ τούτων ἡ περιώνυμος αὕτη καὶ βασίλειος πόλις
τὸν καλὸν τοῦτον καὶ περιβόητον ἀριστέα πιστῶν οἴκοις
φιλοξενούμενον καὶ τούτοις ἀντιδιδόντα τῆς φιλοξενίας
20 μισθὸν ὅνπερ λαμβάνειν εἰκὸς τοῖς ἄνδρα τοσοῦτον δεξιου-
μένοις καὶ θεραπεύουσιν. ἐπεὶ καὶ ἡ Σαραφθία γυνὴ οὐδὲν
διημάρτανε τῆς τῷ Θεσβίτῃ χάριτος ὑπούσης, ἀλλ' ἀντ-
ελάμβανε διαρκεστέρας τοῦ βίου τὰς ἀφορμάς, τοῦτο τῆς
τοῦ προφήτου ξενοδοχίας κερδαίνουσα. ἐφοίτα καὶ κατὰ
25 πάντων ἡ ἀγαθὴ τούτου φήμη, ἐπεὶ μηδὲ οἷόν τε πόλιν
κρυβῆναι ἐπάνω ὄρους κειμένην, κατὰ τὴν τοῦ κυρίου
φωνήν. τί τὸ ἐντεῦθεν; γνώριμος γίνεται βασιλεῖ. ἄγαται
βασιλεὺς τὸ τῆς ἀρετῆς αὐτοῦ περιδέξιον, φίλον ποιεῖται
αὐτοῦ καὶ σύσκηνον τῷ κατὰ καιρὸν πατριάρχῃ. μικρὸν τὸ
30 ἐν μέσῳ, καὶ τάραχος καὶ κλύδων τὴν ἐκκλησίαν διαλαβών,
ὃν ἀλαζονεία τοῦ τηνικαῦτα κατάρχοντος ἐξεφύσησεν.
εἶτα πρὸς τὸν τοιοῦτον σάλον ὁ τούτου δημιουργὸς

10–12 Ps. 131, 3–5 || **21–24** 3 Reg. 17, 8–16 || **25–27** Mt. 5, 14

3 ἀναδέδεται] -ηται potius **M** || **16** προσθήσομεν ci. Kurtz

ἐκκακήσας καὶ δὴ βιβλίον ἀποστασίου τῆς ἱερᾶς αὐτοῦ τιμῆς τῇ τοῦ θεοῦ ἐπιδοὺς ἐκκλησίᾳ κακὸς κακῶς ᾤχετο, ἐρήμην ταύτην προστασίας καταλιπών. ἐζήτει τὸν προστησόμενον ὁ καιρός, εὑρίσκετο οὗτος λοιπόν. τί γὰρ ἂν τοῦ πᾶσι καταθυμίου αἱρετώτερον ἄλλο ἢ προτιμότερον; ἀφ᾽ οὗ γε καί, ὃ μὴ πολλοῖς τῶν ἄλλων ἀπήντα, ψήφῳ τῆς κατὰ πᾶσαν τὴν ὑπ᾽ οὐρανὸν ἐκκλησίας ἐπὶ τὸν ἱερὸν ταύτης τῆς Κωνσταντίνου θρόνον ἀνάγεται. ὁρᾷς ὁποῖος οὗτος καὶ ὅσος, καὶ οἵων τυγχάνει τέως τῶν ἀντιδόσεων δι᾽ ἀρετῶν εὐδοκίμησιν; 5 10

Ἀλλ᾽ ὢ πῶς τὰ ἐφεξῆς μετελεύσομαι, τὸν φθόνον τῶν 55ᵛ ἀπαισίων, τὸν φόνον τῶν | παλαμναίων, τὴν ἀπηνῆ καὶ ἄδικον κρίσιν ὑπὸ κριταῖς, ὢ δίκη θεοῦ καὶ δικαιωτήρια ἀρρεπῆ, οἷς ἐμέλησε μὲν τῶν ἱερῶν οὐδενός, χρηματισμοῦ δὲ μόνον τὸ πᾶν· δι᾽ ὃν αὐτοί τε τοῦ ὁλοκλήρου καὶ ὑγιοῦς τῆς ἐκκλησίας ἀποσχισθέντες οὐ κατενύγησαν, καὶ τοῦ δι᾽ ἐπιθυμίας αὐτοῖς καιροῦ δεδραγμένοι οὐδ᾽ ἂν εἴ τι καὶ τοιχωρυχεῖν, εἴ τι καὶ βαλαντιοτομεῖν ἐφεῖτο, εἴ τι καὶ ἀπηνέστερον προὔκειτο, ἠφείδησαν ἂν τὸ παράπαν εἰς πλήρωσιν οἴκων ἀνομιῶν οἱ ἐσκοτισμένοι τῆς γῆς ἐπειγόμενοι. ἐντεῦθεν ἡ ἀνυπέρβλητος αὐτῶν λύσσα κατὰ τῶν τοῦ θεοῦ ἀρχιερέων, ὅτι μηδ᾽ ἄλλο τούτοις μηδὲν ὧν ἐθρασύνοντο πρὸς δικαίωμα, καὶ ἡ παντὸς ἱεροῦ τάγματος ἀπεμπόλησις ἀνέδην καὶ ἀπαρακαλύπτως συντελουμένη. ἐντεῦθεν καὶ τούτῳ τῷ μακαρίῳ, πρὸς οἷς ἄλλοις αὐτῷ ἐμπαροινοῦντες ἠσέλγηναν – οὐ γὰρ κινεῖν εὐπρεπὲς αὖθις καὶ χραίνειν τῇ τούτων ἀκαθαρσίᾳ τὴν γλῶσσαν, ἃ καὶ βάρβαρος ὀφθαλμὸς εἰς δέον μωμησάμενος ἀπεστύγησεν· ἐπεὶ καὶ παρῆσαν κατὰ πρεσβείαν Σαρακηνοὶ καὶ μετεῖχον τῆς ἐπέκεινα πάσης σκηνῆς τραγικῆς ἀτοπίας, ὁμοίοις προκαθημένοις ὅμοιοι θεαταί, ὅτι μηδὲ ὅσιον ἄλλως· πιστῶν ταῦτα θεάτρου, οὐδ᾽ ἐναγέσιν ἐξάγιστα θεᾶσθαι 15 20 25 30

1 Mt. 19, 7; Mc. 10, 4 || 20 Ps. 73, 20

16 κατενύγησαν Pk: κατην- M || 32 post θεάτρου sign. interr. M | ἐναγέσιν] aut ἐν- aut ἐν- M

δραματουργούμενα; ἐπὶ τοιούτοις τοιγαροῦν πρωτολείοις
καὶ τὰ ἐχόμενα ἐπηκολούθει, ἡ ὑπερόριος καταδίκη, ἡ
παρὰ πάντων τῶν γνωστῶν τοῖς ἐπικρεμαμένοις ἐγκατά-
λειψις φόβοις, τῶν ⟨μὲν⟩ ἀπ' ἐναντίας τὸν ποθούμενον
5 βλέπειν ἠναγκασμένων, τῶν δὲ καὶ πόρρω κεχωρισμένων
ἤτοι τῇ παρακαθημένῃ στρατιωτικῇ ὠμότητι καὶ κου-
στωδίᾳ ἀπειργομένων ἢ καὶ τῇ ἐμφύτῳ τῶν πολλῶν ὀλιγωρίᾳ
τῷ παραλογισμῷ μετὰ τὴν χρείαν ἀχρειουμένων καὶ τοῖς
ἐκ διαμέτρου δεξιουμένων τὸν πρὸ τοῦ περισπούδαστον.
10 φιλεῖ γὰρ ἀεὶ ταῖς εὐτυχίαις τὸ ἀντίπαλον ἐφεδρεύειν, ὡς
ἂν μηδὲν τῶν ἀνθρωπίνων ἄκρατον διατηροῖτο τοῦ
ἐναντίου, ῥυπαίνοιτο δὲ βασκανίᾳ φαυλότητος τὰ λαμπρό-
τατα.

Πρὸς τούτοις καὶ ὁ βλεπόμενος τάφος τοῦτον ταμιευό-
15 μενος, φιλοχρίστων βασιλέων φιλανθρωπίᾳ τὸ ἀπηνὲς καὶ
ἀμείλικτον τοῦ ἔτι περιόντος καὶ ταῦτα τῷ οἰχομένῳ συγ-
κατεργασαμένου τυράννου ἐκνικησάντων, καὶ τοῖς οἰκείοις
κἂν μετὰ θάνατον γοῦν ὁ ἀνοσίως κατάκριτος ἀποκαθιστά-
μενος, ἵν' ἔχοι καὶ πάλιν ἡ τῆς ἐπαγγελίας ἁγία γῆ τὰ τοῦ
20 ἠγαπημένου ὀστᾶ Ἰωσὴφ διὰ τῶν ἱερῶν λογάδων ἀνα-
σῳζόμενά τε καὶ κηδευόμενα. μόνον γὰρ ἐκέλευσαν βασι-
λεῖς, καὶ πανταχόθεν ὥσπερ ἀπὸ συνθήματος – τί γὰρ
οὐκ ἔμελλεν οὕτως ταῦτα ἐνεορτάζεσθαι; – τὰ πλήθη
συρρεύσαντα, πρῶτα μὲν διαποντίῳ πομπῇ τὸν ἀθλο-
25 φόρον ἐκ τῆς ὑπερορίας παρέπεμπε, λαμπάσι τὴν ὑγρὰν
ἀμυθήτοις (ἔστιν ἃς καὶ βασιλέων | ἐπεχορήγει φιλοθεΐα) 56r
καταφαιδρύνοντα, εὐώδεσι θυμιαμάτων ἀτμοῖς τὴν τῆς
θαλάσσης ἀηδίαν διασκεδάζοντα, καὶ ὕμνοις ἀνενδότοις τὸν
ἱεράρχην ἀξιοχρέως γεραίροντα. ἐπεὶ δὲ τῇ Ῥάβδῳ οὕτω
30 καλουμένῃ προσέσχον ἀκτῇ, ᾔρετο μὲν τοῦ βασιλείου
ἀκάτα τὸ ἱερώτατον σκῆνος, τῇ δὲ τοῦ μάρτυρος Αἰμυ-

10 mg. *γν(ώμη)*.

4–5 Ps. 37, 12 ‖ **19–21** Ex. 13, 19; Ios. 24, 32

4 *μὲν* add. Pk | *ποθούμενον*] mg. 'quid si *τὸν ὠθούμενον*' **M**

λιανοῦ θεία σκηνῇ εἰσῳκίζετο, ἔνθα τοῖς καταλλήλοις ὕμνοις ὁ τοῦ θεοῦ θεράπων ὑποβληθεὶς καὶ λόγοις ἐπιταφίοις τετιμημένος, τῶν ἀρχιερέων τινὸς τῇ θεολήπτῳ γλώσσῃ τὴν τοιαύτην ὁσίαν τετελεκότος, ἀνήγετο πάλιν ὁ ἱερὸς σκίμπους ἐκεῖθεν αἰρόμενος καὶ τῷ ἐνταῦθα σεμνείῳ 5 *προσκομιζόμενος. ᾔρετο βοὴ παρὰ πάντων, ἀρχόντων ἀρχομένων, πλουσίων πενήτων, ἀνδρῶν γυναικῶν παιδίων, ἡβώντων ἀνήβων, τῶν μὲν τὸν κατὰ κύριον πατέρα ἀνακαλούντων, τῶν δὲ τὸν ποιμένα ἐπιζητούντων, τῶν δὲ τὸν προστάτην ἐπιποθούντων, πενήτων τὸν τροφέα, γυναίων* 10 *τὸν μετὰ θεοῦ ἀντιλήπτορα, τῶν παίδων τὸν σωφρονιστὴν ἐπιβοωμένων, καὶ πάντων τὸν πᾶσι πρὸς τὴν κατεπείγουσαν χρείαν εἰς παραμυθίαν εὑρισκόμενον. οὕτω καὶ ταύτης τῆς ἐπικηδείου προόδου σὺν εὐφημίᾳ ἀνυομένης τὸ ἱερὸν τοῦτο κατελαμβάνετο τέμενος· ὑφ' ᾧ τὰ λείποντα τῶν* 15 *νενομισμένων συντελεσάμενοι καὶ τῷ περιλοίπῳ σκήνει τῇ πίστει τῶν συνδεδραμηκότων κινδυνεύοντι διασπασθῆναι, βιαίως τοῦτο τῶν ἁρπαζόντων ἐκτιναξάμενοι, τῇδε τῇ ἱερᾷ κατατίθεμεν σορῷ τὸν ἱερὸν τῷ ὄντι καὶ τοῦ θεοῦ ἄνθρωπον.* 20

Ἀρά σοι μικρὰ ταῦτα χαρακτηρίσαι ἀνδρὸς ἀρετήν, θεοῦ πρόνοιαν, δεξιωτέροις τε καὶ τοῖς ἀπ' ἐναντίας τούτων εἰσέτι ζῶντας τοὺς ἑαυτοῦ θεράποντας ταλαντεύοντος; οὐκ ἂν οἶμαί τις ἀντείποι, ἐκεῖνος δὲ μόνος ὅς καὶ τὴν τοὺς πολλοὺς ἀνεμποδίστως ἐνταῦθα παίζουσαν εὔροιαν ἆθλον 25 *ἐνόμισεν ἀρετῆς καὶ τὴν τοῦ βίου δυσκολωτέραν πορείαν ποινάς τινας ᾡήθη ἄνωθεν εἰς ἀεὶ ἐπιμετρουμένας ἀνθρώποις, κακῶς οὕτως εἰδὼς ἐπιζημίως τε ἑαυτῷ καὶ τῆς τοῦ ζυγοστατοῦντος σοφίας ἀλλοτριώτερον.*

Ἀλλὰ γὰρ ὧδε τοῦ λόγου γενομένοις ἀντεξεταστέον τὰ 30 *νῦν ἐπὶ τῷ μακαρίῳ τούτῳ συντελεσθέντα τοῖς ἐπ' Ἀλεξάνδρῳ προβᾶσι καὶ καταληπτέον θεοῦ δικαιοσύνην τοῖς καταλλήλοις ἑκάστῳ τὸ δέον ἐπισταθμίζουσαν. ὁ μὲν γὰρ βασιλεύς τε καὶ βασιλείου γονῆς καὶ μετὰ τῆς ἐξουσίας τὸ ἄθλιον ψυχάριον ἀποπτύσας οἵων ἔτυχε τῶν ἐπικηδείων.* 35

28 οὕτως] fort. οὗτος

μᾶλλον δὲ μικρὸν ἄνω τὸν λόγον ἀνηρτηκότες οὕτω τὰ ἑκατέρωθεν θεωρήσωμεν. ὁ μὲν γὰρ ἐνταῦθα θησαυριζόμενος οὕτω τραφείς τε καὶ ἀναχθείς, τοσούτοις δὲ καὶ τοιούτοις τὴν ἀρετὴν βεβασανισμένος καὶ λαμπρυνάμενος,
5 τοιούτου τοῦ τέλους, τοιαύτης ἐκύρησε καὶ ταφῆς, ἐνδόξου καὶ μεγαλοπρεποῦς, ὡς ὁρᾶτε, καὶ οἷα τοῖς τῷ θεῷ ἀνακειμένοις ἀκόλουθος, καὶ ταῦτα τῆς τοῦτον | τῷ ἀνηκέστῳ 56v τύμματι δεδηγμένης δρακοντείου κεφαλῆς ἔτι τῷ λοιπῷ σπαιρούσης ὁλκῷ καὶ πολλῷ τῷ θράσει ῥεούσης μὴ
10 ἄν τι τῶν χρηστοτέρων ἐπὶ τούτῳ προβῆναι, εἰ καὶ διακενῆς ἔμελλε θράττεσθαι τοῦ ἐπιγείου κράτους εἰς ἀφρὸν αὐτῷ παρεσκευακότος τὰ κύματα διαλύεσθαι. καὶ οὕτω μὲν οὗτος. Ἀλέξανδρος δὲ εἴ τι μὲν εἰς θρύψιν τῆς κατὰ γῆν εὐετηρίας ὁρᾷ ἐξέτι σπαργάνων λαχών, τραφείς
15 τε ὑπ' ἀδελφῷ χρηστῷ τε καὶ εὐαγεῖ, καὶ τί γὰρ πλέον εἰπεῖν ἢ ἀδελφῷ; ὃς καίτοι πολλὰ κατ' αὐτοῦ νεωτερίζειν ἐπικεχειρηκὼς ἡλίσκετο μέν, οὐ μέντοι καὶ τῆς εἰς αὐτὸν κακονοίας ἔτινε δίκας οἷα τοιαῦτα πολλὰ τοῖς πρὶν ἐξεγένετο, ἀλλ' ἐπείχετο μόνον καὶ ἀπεπαύετο τῆς μισαδέλφου
20 πρὸς τοῦ ἐπιβουλευομένου ὁρμῆς, συνετηρεῖτο δὲ ὡς μὴ ὤφελε τῇ βασιλείᾳ, τοῦτο δοκοῦν δίκαιον τῷ εἰς τὴν ἀρχὴν ἐπηρεαζομένῳ, ἀστασίαστον τῷ τὴν ἀρχὴν συλλαχόντι καὶ ἀπαθεῖ παραδοῦναι κακῶν. ἐπεὶ δὲ Λέων ὁ εὐμενέστατος καὶ γλυκὺς βασιλεὺς τῇ ἀνθρωπείᾳ φύσει
25 ὑπείκων μετ' εἰρήνης ἀπελύετο τῶν τῇδε τὴν αὐτοκράτορα τύχην Ἀλεξάνδρῳ καταλιπών, ἔδειξεν οὗτος εὐθὺς ἐκ προοιμίων, μηδὲν ἀπονάμενος τῆς ἐπιεικοῦς τοῦ ὁμαίμονος συναναστροφῆς, οἷος ἦν, καὶ τὴν παροιμίαν ἐπαληθεύουσαν, ἄνδρα γε τῷ κρατεῖν ἄφρονα ἐπὶ τὰ χείρω προκόπτοντα.
30 ὃς γὰρ λοιμὸς καὶ ἀποφρὰς ἄνθρωπος, ὃς αἰσχροποιὸς ἀνήρ, ὃς ἁπάσης κακίας δημιουργός, ἐγγύθεν αὐτῷ παραθέων καὶ συμβούλοις ἐναριθμούμενος, οὗτος αὐτῷ ἐπῃνεῖτο καὶ συνδιαφέρειν αὐτῷ τὴν ἀρχὴν ἐπανείληπτο.

29 CPG I 212; II 101

6 *οἷα* Kurtz: *οἷα* **M** ‖ **8** *δεδηγμένης*] *δεδηχυίας* Kurtz: *δεδεγμένης* Jenkins ‖ **23** *ἀπαθῆ* Pk

ἀφ᾿ οὗ γε καὶ εἴ τι τοὺς πολλοὺς τέως ἐλάνθανε τῶν κατὰ τοῦ ἀδελφοῦ συσκευαζομένων, λαμπρῶς ἤδη ἀνεκαλύπτετο καὶ ἰταμῶς ἐπαρρησιάζετο. ἠκύρωντο μὲν γὰρ αἱ τοῦ ἀνεξικάκου καὶ σωτῆρος αὐτοῦ διαθῆκαι, ἐπαροινοῦντο καὶ ἀπεδοκιμάζοντο οἱ τἀδελφοῦ φίλοι, παρενομεῖτο δὲ καὶ 5 *αὐτὸ τὸ βασίλειον λέχος οὐδέν τι ἐξαμαρτὸν καὶ τῆς βασιλείας ἀπεωθεῖτο, καὶ εἰ μὴ κύριος ἐγκατέλιπε γῇ βασιλείου σπέρμα γονῆς, ⟨ἦ που⟩ ἂν καὶ τὸν νῦν εὐτυχῶς βασιλεύοντα Κωνσταντῖνον παραγκωνισάμενος εὐνουχίᾳ, Σκλαβηνῷ μειρακίῳ, αἰσχρῷ μὲν ἰδεῖν, αἰσχροτέρῳ δὲ* 10 *ἐντυχεῖν, τὰ τῆς Ῥωμαίων ἀρχῆς παρεδίδοτο.*

Ταύτης τῆς ἀτοπωτάτης ἔργον καινοτομίας καὶ ἡ ἐπὶ τῷ μακαρίῳ τῷδε κακοπραγία. τοῖς γὰρ πολλάκις ἐληλεγμένοις τῷ Λέοντι ἐπιβούλοις, δι᾿ ἃ καὶ τῶν ἐκκλησιῶν παρεώσθησαν, μᾶλλον δὲ ἑαυτοὺς δέει τοῦ φωραθῆναι 15 *ὑπέστειλαν, χρησάμενος ὡς ὁμογνώμοσι συμβούλοις, ἀνδράσι χαλεποῖς καὶ θηριώδεσι καὶ μόνον πρὸς ἓν τὸ χρηματίζεσθαι βλέπουσιν, ἔδρασεν οἷα εἰκὸς τὸν ἐκδο-*
57r *θέντα τοιούτοις ἀλά|στορσι. καὶ τὰ μὲν ἄλλα παρήσειν μοι δοκῶ, ὅσα κατὰ τῶν ἁγίων ἐνύβρισεν, ἐκείνων δὲ* 20 *μόνων μνησθεὶς τὸ πᾶν οἶμαι δηλώσειν τῆς τούτου σκαιότητος. νόμος Χριστιανῶν βασιλεῦσι, μᾶλλον δὲ καὶ πᾶσι Χριστιανοῖς, τοῖς θείοις ἐπιβαίνουσιν ἀνακτόροις ἀκατακαλύπτῳ τῇ κεφαλῇ ἐπιβαίνειν, Παύλου τοῦ ἱεροῦ ἀποστόλου τὸν νόμον εἰσαγαγόντος καὶ πολιτεύσαντος.* 25 *τοῦτον τὸν νόμον οἱ τὰ πάντα σοφοί τε καὶ καθαρώτατοι λύσαντες κεκαλυμμένῳ τὴν κεφαλὴν εἰσηγήσαντο τοῖς ἀψαυστουμένοις ἐπεισιέναι ἀνθρώπῳ παχυδέρμῳ τε καὶ ὑώδει καὶ μόνον οὐ καὶ γρυλλίζοντι καὶ τί γὰρ ἄλλο ἢ τῇ Βοιωτίᾳ ὑῒ παρισουμένῳ, καὶ τοῦτο παρακεχωρημένῳ καὶ* 30 *ἐπὶ μείζω οἵῳ τε παιδοτριβηθῆναι τολμήματα, ὃ καὶ καλῶς ποιοῦν συνδεδράμηκε. καὶ δή γε εἰσῆγον καὶ τῇ*

7–8 Is. 1, 9 || **22–25** 1 Cor. 11, 4; 7 || **29–30** CPG II 151

6 *ἐξαμαρτὸν* Pk: *-ῶν* **M** || **8** *γονῆς*] *γονῆς, -ς* ind., **M** | *ἦ που* add. Wk || **30** *τοῦτο* Kurtz: *τούτῳ* **M**

ἱερᾷ τοῦτον παρίστων τραπέζῃ ἐλύτρῳ περικαλύψαντες ἀλουργεῖ, αἰσχύνην αὐτῷ τε καὶ ἑαυτοῖς μνώμενοι. τὸ δ' ἦν οἶμαι ποινὴ τῆς εἰς Εὐθύμιον τοῦτον τὸν ἱερὸν μιαιφονίας. μόνον γὰρ ἐτόλμα τοῦτο Ἀλέξανδρος, καὶ τῶν
5 φρενῶν ἐσυλᾶτο καὶ οὐκέτι ἐν ἑαυτοῦ ἦν, ἀλλὰ μεγάλῳ τῷ εἰρημένῳ πρὸς τὸ κρεῖττον καταφρονήματι τὸ μέγιστον προσετίθει τε καὶ ὀλέθριον· τοῖς γὰρ κατὰ τὴν ἱπποδρομίαν ἀγάλμασι τὰ Ἀνθεστήρια θύσας τὴν ἔνδικον ἀντελάμβανε μισθαποδοσίαν. οὔπω τὸ πᾶν ἀπήρτιστο τῆς βακχείας
10 καὶ ὁ μὲν ἐλεεινὸς φοράδην τοῖς ἑαυτοῦ κοιτῶσιν εἰσεκομίζετο, οὐδὲν ἀνεκτότερον Ἡρῴδου τούτου διαγενόμενος, ὃς Ἰάκωβον τὸν Ζεβεδαίου εἰς χάριν τῶν Χριστοκτόνων ἀνῃρηκὼς καὶ Πέτρῳ ἐπιθέμενος τῷ κορυφαίῳ κατάλληλον εἶχε τὴν ἀμοιβήν, ἐν μέσῃ πανηγύρει καὶ
15 βασιλείῳ δορυφορίᾳ οἰδήματι ἀλγεινοτάτῳ καὶ σκωλήκων ἀπιστουμένῃ ἐκζέσει τὸν βίον καταστρεψάμενος. πῶς δαὶ καὶ ὁ καθ' ἡμᾶς οὑτοσί; ἴστε τὴν κακοδαιμονεστάτην αὐτοῦ ἐκφορὰν καὶ τὴν πρὸς τὸν τάφον ἐπιταχύνουσαν πρόοδον, καθ' ἣν συντέτριπτο μὲν ὁ βασίλειος νεκροφόρος ἀσκάντης,
20 ὥσπερ ἀγανακτήσας δυσσεβεστάτῳ φορήματι, ἀπῶζεν δὲ τὸ ἄθλιον σῶμα δριμεῖάν τε καὶ δυσάντητον ἀποφορὰν καὶ πᾶσαν θυωμάτων εὐπνοΐαν συγχέουσαν, ἐξώγκωτο δὲ θαυμάσιον οἷον· καὶ ταῦτά γε δὴ καὶ τὰ τῆς ἔνδον οἰκονομίας ἔτι ζῶντος φασὶ δι' ἀφεδρῶνος ἐκφορηθείσης,
25 πλαδώσης μὲν τῆς σαρκός, μυδῶντος δὲ ἤδη τοῦ βαρυτόνου χρωτός, ὡς μόλις φθάσαι τῇ ὡρισμένῃ πτνέλῳ αἰσχρῶς τε καὶ ἀκόσμως ἀπορριφῆναι. παράλληλα κείσθω τοῖς ἡμετέροις τὰ τούτου· καὶ δὴ δεικνύσθω τί μὲν ὁ θεοπειθής τε καὶ εὐσεβής, τί δὲ ὁ τολμητὴς καὶ θεοστυγής,
30 καὶ πῶς μὲν τελευτὴ | τιμᾶται ὁσίου, πῶς δαὶ ἡ τοῦ βεβήλου χλευάζεται. πρὸς γὰρ τοῖς εἰρημένοις οὐ τῆς νενομισμένης ὁσίας ἐτύγχανεν, οὐ βασιλείου πομπῆς ὑπὸ 57v

11—16 Act. 12, 1–23

22 ἐξώγκωτο Pk: ἐξώγκῳ τὸ **M** || **25** πλαδώσης Wk: πλαδώδης **M**

γε τῶν ἐν τέλει συγκροτουμένης, πλὴν ὅσων ὀλίγων καὶ τῶν χυδαίων σχεδόν, οἳ καὶ τῷ τυχόντι τὸ εἰωθὸς συντελέσειαν, καίτοι πολλοὺς τοὺς σπουδαστὰς ἔχων καὶ οὐ κεκωλυμένην τὴν συνδρομήν, εἰ μή που καὶ κατάχρεως καὶ τῶν ἀνυπερθέτως τοῖς αὐτοκράτορσι κατανύεσθαι. ἀλλ' 5 ἔδει τοιαύτῃ τὸν ὑβριστὴν ταφῇ χρήσασθαι συμβόλῳ τῶν ἐκεῖσε μαστίγων, ἃς τὰ τῇδε τούτῳ ἠσεβημένα ἐξεπορίσαντο.

Ἀλλ' οὗτος μὲν οὕτως, ἀξίους ἀποπλήσας ἀλάστορας· τί δαὶ οἱ τούτῳ τὸ διαβούλιον ἐνστησάμενοι, καὶ μάλισθ' ἡ 10 περισκαίρουσα τῇ πονηρᾷ κεφαλῇ οὐρά; τῶν μέν τινων τὸν ὄλεθρον τεθεάμεθα, ὧν καὶ τὸ μνημόσυνον μετ' ἤχου ἀπώλετο, τοῦ δ' ὅσον οὔπω ἐφέστηκεν, οὐ γὰρ ὁ στεναγμὸς τῶν πενήτων εἰς τέλος ἀπολεῖται· καὶ ᾄσεται χορὸς τῶν νεανίδων, αἱ καθ' ἡμᾶς φημὶ ἅγιαι ἐκκλησίαι, τὸν ἐπι- 15 νίκιον τοῦ νέου καὶ ἀλαζόνος Φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις ὑποβρυχίου χωρήσαντος. εἰς τοῦτο γὰρ αὐτῷ φέρει τὸ ἀκαμπὲς καὶ σκληρὸν καὶ ἀμείλικτον.

Ἀλλὰ τὰ μὲν ἐῶμεν, λοιπὸν δὲ τῶν ἐξ ἀρχῆς ἐχώμεθα λόγων, τοσοῦτον ὑπειπόντες τοῖς φθάσασιν· ὦ κράτος 20 ἀρχιερέων θεοῦ καὶ τῶν δι' ἀρετὴν ἠδικημένων συναγαλλόμενε, μετὰ τοῦ Ἄβελ διαφθονούμενε, μετὰ Ἰακὼβ τοῦ πάλαι ζηλοτυπούμενε, μετὰ Ζαχαρίου σφαζόμενε, μετὰ Ἰακώβου τοῦ Ζεβεδαίου εἰς ἀρεστὸν τοῖς Ἰουδαίοις θυόμενε, μετὰ τοῦ θείου Ἀθανασίου ἀπελαυνόμενε, μετὰ 25 Παύλου τῷ τῆς ὑπερορίας βρόχῳ, ὡς οὗτος τῷ τῆς ὁμολογίας ὡραϊζόμενε, μετὰ τοῦ χρυσοῦ Ἰωάννου ἐν ἐξορίᾳ συνθανατούμενε, μετὰ Νικηφόρου καὶ Φωτίου τῶν ἀοιδίμων τοῖς διωγμοῖς καὶ θανάτοις συνδοξαζόμενε· σὲ οὐκ ἐκάλυψε τάφος, ἀλλὰ τῇ ὑπ' οὐρανὸν ἀνεκάλυψεν, οὐκ 30 ἔκρυψε γῆ, ἀλλὰ τοῖς ἁπανταχοῦ μέρεσιν αὐτῆς ἐνεφάνισεν,

12–13 Ps. 9, 7 || **13–14** Ps. 9, 19; cf. 11, 6 || **14–15** cf. Ps. 67, 26 || **15–17** Ex. 15, 1–21 || **22** Gen. 4, 5–7 || **22–23** Gen. 27, 41 || **23** Mt. 23, 35; cf. 2 Par. 24, 20–22 || **23–25** Act. 12, 1–3

1 leg. *ὅσον*? || **21** *καὶ*] *μετὰ* Pk || **30** *ἀπεκάλυψεν* **M** || **31** *ἐνεφάνισεν* Pk: *ἀνεφάνισεν* **M**

ἄξιον ἀρχιερέα τοῦ προκεχειρικότος θεοῦ, ἄξιον κήρυκα τῶν μεγαλείων αὐτοῦ, ἄξιον καὶ τῶν ἱερῶν ἑαυτοῦ πόνων τὸ τέλος ἀπενεγκάμενον. ἀλλ' ὅμως τῶν σεαυτοῦ πόνων ἀπέχων τὰς ἀμοιβὰς καὶ τῷ καθηγεμόνι συνὼν ἤδη καὶ
5 διδασκάλῳ Χριστῷ, αὐτόθεν ἡμῖν τοῦτον ἐξευμενίζοις στῆσαι τὴν καταιγίδα, τὸν κλύδωνα ἐπισχεῖν, καταπαῦσαι τὸν σάλον, τοῖς συνηδικημένοις ἡμῖν βραβεῦσαι τὸ πρόσφορον, ἤτοι τῆς κρίσεως τούτων εἰς νῖκος ἐξαγομένης ἢ καὶ τῶν ἐπηρεασάντων ἐπεγνωκότων ἃ ἐπλημμέλησαν
10 παλινῳδίαν ἀναβαλλομένων ἐπάξιον.

8 Mt. 12, 10

7 ἡμῖν Pk: ὑμῖν M

9

58r *Πρὸς τοὺς ἀπὸ τῆς πολιτείας συναιρουμένους ἀναθέματι καθυποβάλλειν πολυγαμίαν*

In sedem patriarchalem restitutus Nicolaus poposcerat ut Arethas polygamiam publice anathematizaret, pacem ecclesiae turbatam et polygamiam commendatam obiciens, id quod apparet ex Op. 10 paulo post scripto. ad cives Constantinopolitanos hortantes ut patriarchae morem gereret hunc libellum scripsit Arethas. utrum idem sit quo se Pauli cuiusdam Doraletae argumentis respondisse dicit infra p. 157,24–158,15, diiudicare non possum.

In priore parte canones ad hanc rem pertinentes diligenter examinat; concilii Neocaesariensis canone 3 paucis expedito fusius agit de canone 4 Basilii, quem obscuriorem esse nec sibi constare dicit. deinde accuratissime de eiusdem can. 80 disputat et maxime de verbis *ἡμῖν δὲ παρίσταται πλέον τι πορνείας εἶναι τὸ ἁμάρτημα*, quae tribus diversis modis in melius accipi posse ostendit, si aut illud 'plus quam fornicatio' idem esse quod 'potius' putes, aut post *πλέον τι* virgula distinguens Basilium hoc dicere voluisse intellegas, se prudentius quam patres Neocaesarienses iudicantem fornicationis crimini tetragamiam aequavisse; sin autem secundum artem logicam rem arguere velis, videas, cum absit articulus, non de fornicatione generatim agi, sed de quadam specie. et hac quidem ratione poteris illud *πλέον* etiam in peiorem partem accipere, id quod temporibus paenitentiae confirmatur; sed exempla alterius significationis in Scriptura et apud patres frequentia occurrunt, quamobrem ea quoque quae dicit Basilius in can. 26 de divortio non omnimodo exigendo in haec matrimonia valebunt. qui secus iudicant, caveant ne nova sua severitate ipsi pacem ecclesiae conturbent.

In altera parte rem oratorie tractat, pollicens quod iubetur se facturum, haec sola praefatum: Scripturam in re coniugali semper pulchram severitatem prudenti dispensatione temperare; id exemplum et patres secutos esse et se sequi velle, istos non curan-

1 fort. *συναιρομένους*

tem iudices nimis tristes qui carnali libidine fortasse carentes aliis vitiis gravioribus affecti sint, superbia, implacabili animo, gula, vinolentia, avaritia (haec Nicolaum spectant); quandoquidem vero utique necesse sit exsecrari polygamiam, in hanc formulam omnes secum anathematizent: 'Anathema sit, quicumque post alterum coniugium quoquo modo cum femina rem habet'; sin id horreant, secum mitiorem rationem eligant.

Τῶν μακαρίων τῷ ὄντι καὶ θεοφόρων πατέρων τὴν πολυγαμίαν καὶ προσέτι τὸ τέταρτόν τε καὶ τρίτον τοῦ γάμου μηδαμοῦ τῆς ἀπὸ τῶν ἐγγράφων μνήμης ἠξιωκότων, μόνων δὲ τῶν κατὰ Νεοκαισάρειαν συνειλεγμένων, ἐν οἷς 5 Γρηγόριός τε ὁ τῶν θαυμάτων ἐπώνυμος ἐγνωρίζετο καὶ Ἀθηνόδωρος δὲ ὁ τὴν εἰς ἀδελφῶν αὐτῷ συντελῶν ἀγχιστείαν, θεῖοί τε ἀληθῶς καὶ σοφίαν ἐπασκήσαντες ἄνδρες, ὅση τε περὶ τὸν ὁρώμενον κόσμον τὴν γνῶσιν ἀπασχολεῖ καὶ ὅση τὴν περιπέζιον ταύτην καὶ χάμαι διαπαίζουσα ἐρχομένην 10 μόνης τε ἔχεται τῆς περὶ τὰ κρείττω ἐλπίδος καὶ μόνον ἔργον τὴν τῶν ψυχῶν σωτηρίαν ἐπίσταται· μεθ' ὧν Φιρμιλιανός τε ὁ μέγας τῆς Καππαδόσσης τὴν ἱερὰν ἐφορίαν λαχὼν Καισαρείας καὶ δὴ καὶ Βασίλειος ὁ Ἀμασείας οὔπω τὸν ἀρχιερατικὸν ἀναβὰς θρόνον, ἀλλὰ 15 τῷ δευτερείῳ τέως τῆς ἱερατικῆς καθέδρας ἐμπρέπων· τοσούτων τοίνυν καὶ τηλικούτων τῆς κατὰ Νεοκαισάρειαν ἱερᾶς προεδρευόντων συνόδου, μεθ' ὧν ἄλλων ἱερῶν θεσπισμάτων ἐκτέθεινται, ἔτι καὶ περὶ γάμων διεγνωκότων νομοθετεῖν, τρίτου μὲν ἢ τετάρτου οὐδ' ὁπωσοῦν 20 οὐδ' αὐτοὶ πεποίηνται μνήμην, κοινῷ δὲ ταῦτα ὑπαγαγόντες ὀνόματι περὶ τῶν πλείστοις ἀναφωνοῦσι γάμοις περιπιπτόντων τὸν μὲν χρόνον σαφῆ τὸν ὡρισμένον εἶναι, συντέμνειν δὲ τοῦτον τὸ τῆς ἀναστροφῆς πιστὸν καὶ διάπυρον.

25 *Ἔοικεν οὖν μοι, ἀφ' ὧν σαφῆ τε τὸν χρόνον φάσκουσι καὶ ὡρισμένον, μὴ τούτων εἶναι ταύτην τὴν γνώμην, ἀλλ'*

21–24 Canon Neocaes. 3 (Lauchert 35, 13–15)

9 *διαπαίζουσα* Wk: *-σαν* **M**

εἰς ἀρχαιότητα παραπέμπειν, ἐγγράφῳ δὲ πρώτους αὐτοὺς χρήσασθαι. οὐκ ἂν γὰρ σαφὴς ὁ χρόνος καὶ ὡρισμένος, εἰ τούτους εἰς νομοθέτας προὐβάλλετο, ἐκείνου λανθάνοντος ἐναργῶς τοῦ μήπω καταρξαμένου τοῦ πράγματος. τῶν ἄνω τοιγαροῦν τοῦδε τοῦ χρόνου καὶ αὐτῶν τὴν τοιαύτην 5 παράδοσιν ἀνομολογούντων καὶ οὐδὲ τῶν 'πλείοσι' γάμοις ἀποφαινομένων ἀλλὰ τῶν 'πλείστοις' περιπιπτόντων, ὃ πάντως τῇ ἐπιτεταμένῃ συγκρίσει ὑπεραιρόμενον οὐκ οἶδα εἰ μὴ πρὸς τὸ ἀόριστον ἐξενεχθείη, τοῦ μέτρου τοῦ ὡρισμένου πάντῃ ὑπερχεόμενον, ἀλλ' ἐνδοτέρω 10 τῶν ἑαυτῷ νενομισμένων ὅρων καθείργοιτο – οὐδὲ γὰρ ἀσυνέτων ἡ τοιαύτη φωνὴ οὐδ' ἀγνοούντων τὸ τῆς Ἑλλάδος γλώσσης ἀκριβές τε καὶ εὔσημον· – ἐντεῦθεν ἐγὼ Βασίλειον τὸν θεῖον τῶν ἄλλων ἁπάντων ὑπεραγάμενος οὐκ ἔχω συνιέναι (τολμήσω γὰρ οὕτως σοῦ γ' ἕνεκα, πεῖραν 15 τῆς σῆς καθικόμενος γνώμης) ποῦ τε τὸ τρίτον τοῦ γάμου παρὰ τοῖς πρώην ἀνευρήκοι πατράσι καὶ ὅπως τὸ τῆς πολυγαμίας ἐπὶ τὸ τρίτον τοῦ γάμου μετείληφεν, τῶν κατὰ Νεοκαισάρειαν πατέρων, οἳ μόνοι τῶν τοιούτων παρά γε τοῖς ἱεροῖς ἀπομνημονεύουσι κανόσιν, ὡς ἤδη δεδήλωται, 20 'τῶν πλείστοις' ἀλλ' οὐ 'τῶν πλείοσι' γεγραφότων. οὐ 58ᵛ δήπου δὲ οἶμαι τὸ πλεῖον, ὅσα σοφοῖς χρῆσθαι, | ⟨τῷ πλείστῳ⟩ συμβαίνει κατὰ τὴν σημασίαν, οὐδὲ οἱ 'πλεῖστον' εἰπόντες παραχωροῖεν ἂν ἐπὶ τὸ τρία τοῦτο μειονεκτεῖσθαι, ἀσύμφυλον εἰδότες αὐτὸ καὶ ὑπερόριον γλώσσης 25 ἑλληνιζούσης.

Ἀμηχανῶν τοιγαροῦν τῷ τοιούτῳ ὅσα ὑμᾶς εἰδέναι ἔτι πρὸς τὸ ἀπορώτερον ὑπεξάγομαι, τίσι λόγων μεθόδοις ἀπὸ τοῦ ἕκτου τῷ τρίτῳ παρέχεται τὴν ἀπόδειξιν, ἵν' ἐπειδὴ μὴ τὸν ἕκτον ὁ κύριος γάμον ἐπὶ τῆς Σαμαρείτιδος κατ- 30 ωνόμασε – πῶς γὰρ τὸν κρυφίως τε καὶ ἀνελευθέρως τελούμενον; – μηδὲ τὸν τρίτον ἤδη γάμον καλεῖσθαι

13–18 Bas. Ep. 188, can. 4, PG 32, 673 A 1–7 || **23 – p. 97, 1** ib. A 7–11 || **29–31** Io. 4, 17–18

22 leg. σοφοὺς? || **22–23** τῷ πλείστῳ add. Wk. (cf. p. 97, 14)

πεπαρρησιασμένον θεμιτόν τε καὶ εὐδιάγνωστον. ταὐτὸν
γὰρ ὥσπερ ἂν εἴ τις τὸν ἔκγονον νοσερόν τινα καταλαμ-
βάνων, ὁ δὲ τοιοῦτον οἴοιτο καὶ τὸν ἐκείνου τῆς γονῆς
προκατάρξαντα· εἰ βούλει δέ, καὶ ποταμίων ῥευμάτων ὅσα
5 θαλάσσῃ ταῖς ἐκβολαῖς ὁμιλεῖ ἐπεὶ τῷ ἀναχεῖσθαι τοῖς
κύμασι τῆς ἅλμης μετέλαβεν, ἤδη ταὐτὸ πεπονθέναι καὶ
τὰ μεταξὺ τῶν ἐκβολῶν τε καὶ τῶν πηγῶν ῥεύματα. καὶ
ὅτι μὲν θεῖος τῷ ὄντι καὶ θαυμαστὸς ὁ μέγας Βασίλειος
οὐδ᾿ ἂν αὐτὸς ἀρνηθείην· μαινοίμην γὰρ ἄν· ἀλλ᾿ οὖν τό
10 γε σοφὸν ὄντα τοὺς λόγους, ὡς ἂν αὐτοὶ οἷοί τε γνῶναι,
ἀμαρτύρους παρέχεσθαι καινοτομοῦντός ἐστιν, οὐ τὰ τῶν
πάλαι πατέρων τοῖς ἑαυτοῦ συμβιβάζοντος. οὔτε γὰρ τὸ
πλεῖον (πάλιν ἐρῶ, διάπειραν ὑμῶν τῆς μεγαλαύχου
κατασκευαζόμενος γνώμης) τῷ πλείστῳ συμφέροιτο κατὰ
15 σημασίαν οὔτε τῷ τρίτῳ τὸ ἕκτον τῶν ἑαυτοῦ μεταδοίη,
εἴ τί γε δεῖ καὶ παρεκβατικώτερον ἴσως κατὰ τοὺς περὶ
τὰ τοιαῦτα κομψοὺς προαχθῆναι. πλευράν τε γὰρ τοῦ
τρία τῷ διπλασίονι λόγῳ πλεονεκτῶν ὁ ἓξ ἀεὶ καθορᾶται
καὶ πρῶτος τέλειος ὢν οὐκ ἄν μοι δοκῶ τῷ ἀτελεῖ ἢ κατὰ
20 τὸ διπλάσιον ἢ τὸ τέλειον κοινωνοίη, οὐ τοῦ πρὸς ἑτερό-
μηκες ὥσπερ αὐτὸς μεταπλάττεσθαι σχῆμα.

Ἀλλά γε δὴ καὶ τῶν ἐπιτιμώντων αὖθις τὸ ἀστάθμητον
χρόνων ἄφατόν μοι τὴν ἀνθολκὴν ἐμποιεῖ· πῇ μὲν γὰρ
τέτρασιν ἔτεσι καὶ τούτοις φησὶν ἐξ ἀναλογίας ἐπισωρευο-
25 μένοις τὴν κατὰ θεὸν κάκωσιν ἐκτελεῖσθαι, πῇ δὲ καὶ ἐπὶ τὸ
πέμπτον τοῖς αὐτοῖς παρεκτείνεσθαι, τῆς τῶν φθασάντων
δῆθεν ἀκολουθίας τὸ τοσόνδε μέτρον ἐξακριβούσης. καὶ
εἴπερ ταὐτὸν τῇ ἀκολουθίᾳ ἡ ἀναλογία, θαυμάζοιμ᾿ ἂν εἰ
νῦν μὲν ἡ αὐτὴ τοσόνδε, νῦν δὲ τοσόνδε τὸ μέτρον πέφυκεν
30 ἀποτίκτειν. πῶς δαὶ καὶ τὴν πολυγαμίαν οἱ πατέρες

17–18 Nicomach. Introd. arithm. 2, 18, 1 || **19** ib. 1, 16, 2 || **23–25** Bas. Ep. 217, can. 80, PG 32, 805 B 1–5 || **25–27** Ep. 188, can. 4, PG 32, 673 A 12–14 || **30**–p. 98, **2** Ep. 217, can. 80, PG 32, 805 A 14

18 *διπλασίονι* Wk: *-άσιον* **M**

ἀπεσιώπησαν οἱ τοὺς πλείστοις γάμοις περιπίπτοντας
ἐπιτιμίοις γράφοντες ὑποβεβλῆσθαι; οὔκουν ἀποσεσιώπη-
59r ται ἡ πολυγαμία | οὐδὲ κτηνώδης τοῦτο βίος, ὅτι μηδὲ
Βασιλείῳ τόδε καλῶς ἔχειν δοκεῖ· ἀλλ' εἴ τι δεῖ τὸ ἐνὸν
ἀποφαίνεσθαι, καὶ αἱρετώτερον κέκριται πορνείας ὑπό γε 5
Βασιλείῳ κριτῇ. καὶ ὥσπερ οὖν καὶ ἐν τοῖς κατόπιν
ῥυπάσματα μὲν τὰ τοιαῦτα τῶν ἁγίων τοῦ θεοῦ ἀποφαίνει
ἐκκλησιῶν, τῆς δ' ἀνειμένης αἱρετώτερα πορνείας, οὕτω
κἀνταῦθα τὸ 'πλέον' ἀντὶ τοῦ αἱρετώτερα τέθεικεν.

Ἔστι καὶ καθ' ἑτέραν ἐπιβολὴν ἐπιτευκτικώτερον τῷ 10
ῥητῷ ἐντυχεῖν, τῇ στιγμῇ τὸ ἄπορον ἀπολυομένους. ἐπεὶ
γὰρ τοὺς πατέρας Βασίλειός φησιν ὁ ἱερὸς ὡς κτηνώδη
τὴν πολυγαμίαν – λέγει δὲ τὴν εἰς ἄμετρον τοῦ γάμου
πρόοδον· ταύτην γὰρ καὶ ἀπεσιώπησαν, οὐ μέτρῳ περιορί-
σαντες ῥητῷ, ἀλλὰ τῇ βλασφημίᾳ τὴν ἐπὶ πολὺ καὶ ἄσχετον 15
τούτου ὁρμὴν καὶ πρόβασιν ἀναστέλλειν πειρώμενοι – ἐπεὶ
τοίνυν ἐκεῖνοι μὲν ὡς κτηνώδη δόξαντες ἐσιώπησαν οὐχ
ὑποβαλόντες τὴν ἀμετρίαν ἐπιτιμίῳ, συγγνωμονικώτερον
ὁ θεῖος ἐκείνων Βασίλειος κεκινημένος φησὶν 'ἡμῖν δὲ
παρίσταται πλέον, τὸ πορνείας εἶναι τὸ ἁμάρτημα', ὡσεὶ 20
ἔλεγε 'βαρὺ καὶ ἀκοῦσαι τὴν τῶν προγενεστέρων πατέρων
περὶ τῆς ἀμετρίας τοῦ γάμου ἀπόφασιν· οὐκέτι κτηνῶδες
ὡς τούτοις δοκεῖ τὸ ἔργον, ἀνθρώπινον τὸ πάθος, φύσεως
ἐπήρειαν δυστυχοῦν, οὐκ ἀλογίαν κατακρινόμενον καὶ
κτηνωδίαν. ἐντεῦθεν ἡμεῖς συμπαθέστερον τούτων ἀνα- 25
θεωροῦντες τὸ πάθος πορνείᾳ τοῦτο προσνέμομεν καὶ
τοῖς ἐκείνης ἐπιτιμίοις καὶ ταύτην καθυποβάλλομεν'.
οὕτω τοιγαροῦν τὴν στιγμὴν μετακινοῦντες καὶ τὸ ἀπο-
σεσιωπῆσθαι ὑπὸ τῶν προγενεστέρων πατέρων τὴν πολυ-

9 mg. ὥσπερ καὶ ἐπὶ τοῦ 'ῥάβδος {δόξα} δικαίου πλέον ἢ τιμὴ 30
κακοῦ'.

1–2 Can. Neocaes. 3 (Lauchert 35, 13–14) || 3 Bas. l. l. A 15 ||
6–8 Ep. 199, can. 50, PG 32, 732 C 4–7 || 9 Ep. 217, can. 80,
PG 32, 805 B 1–2 || 30–31 mg. Greg. Naz. Carm. 1, 2, 30, vs. 17,
PG 37, 910 A

9 leg. αἱρετώτερον? || 30 mg. δόξα del. Wk

γαμίαν ἐκλαμβάνοντες καὶ τῷ θείῳ πατρὶ τὸ συνετόν τε
καὶ ἔμφρον καὶ τοῖς ἑαυτοῦ σύμφωνον ἀνευρίσκομεν προσόν
(εἴρηκε γὰρ ἤδη περὶ τριγάμων καὶ πολυγάμων διωρικέναι
τοὺς πατέρας) καὶ τοὺς ἄγαν ἀσυνέτους τῆς ἐμπληξίας σο-
5 φῶς ἀπαλλάττομεν.

Ἢ προσερήσομαί σε, λογικώτερον τὴν ὑπόθεσιν μετα-
χειριζόμενος, εἰ τὸ πλέον πορνείας εἰς τὸ χεῖρον παρεξηγῇ,
τίνος ἀπόκριναι πορνείας· ἆρα τῆς ἀνειμένης; καὶ μὴν εἰ
τῷ ὄντι πορνεία ἡ ἀνειμένη, ἅτε δὴ καὶ τὸ πλεῖον τῆς κατὰ
10 τὴν σωτηρίαν κακώσεως ἐκδεχομένη, τί δῆτα μὴ μετὰ τῆς
τοῦ ἄρθρου προενήνεκται προσθήκης ὁ λόγος, ἵν' οὕτως
ἐλέγετο 'ἡμῖν δὲ παρίσταται πλέον τι τὸ ἁμάρτημα τῆς
πορνείας εἶναι'; οὕτω γὰρ ἂν ὡρισμένον τε ἦν τὸ δηλού-
μενον καὶ πρὸς τὴν τοῦ καθόλου προσδιορισμοῦ δύναμιν,
15 ᾗ καὶ τοῖς τὰ τοιαῦτα χαριεστέροις δοκεῖ, μεταλαμβανό-
μενον ἀναμφίλεκτον ἂν τὸ ζητούμενον καθίστη· νῦν δὲ τῷ
ἀσυνάρθρῳ πρὸς τὸ ἀπροσδιόριστον ἤδη ἀπεωσμένον, ὃ
τοῖς μερικοῖς ἰσοδυναμεῖν οὐδεὶς ἂν σωφρονῶν | ἀντι- 59ᵛ
φθέγγοιτο, ἀναντιρρήτως ὥς γε εἰκὸς τῇ μεθόδῳ, οὐ τῇ τῷ
20 ὄντι πορνείᾳ, δυοῖν δέ, εἴ τί γε χρὴ πείθεσθαι Βασιλείῳ,
παραπεπηγυιῶν ταύτῃ πορνείαιν, θατέρᾳ τούτων τὸ
προκείμενον ἂν παραβάλλοιτο· καὶ ποίᾳ δηλώσομεν
προϊόντες. καὶ ὅτι ταῦτα καὶ τῷ σοφῷ τε καὶ θείῳ βου-
λόμενον Βασιλείῳ τό τε ἐπιφερόμενον παραστήσει τῷ λόγῳ,
25 φημὶ δὲ τὸ 'διὸ εὔλογον', ὡς τοῦ φορητοτέρου τῆς ἀνει-
μένης πορνείας τὸ εὔλογον ἀποτίκτοντος· καὶ πῶς γὰρ οὐ
φορητότερον εἰς κατάγνωσιν τοῦ ἀκολάστου τε καὶ ἀφέτου
καὶ πάσῃ γυναικὶ ἀδεῶς ἐπιμαινομένου τὸ μόνῳ περι-
ειργόμενον καὶ ὡμολογημένῳ γυναίῳ; πειθομένῳ μὲν οὖν
30 ταῖς διαλεκτικαῖς μεθόδοις οὐδὲν παραβλάψει τὸ 'πλέον'
ἐπὶ τὸ χεῖρον ἐξακουόμενον· ὀλίγον γάρ τι χεῖρον πολυ-
γαμία τοῦ τρίτου, ὅπερ ἴσως καθ' ὑμᾶς φάναι κεκολασμέ-
νη δοκεῖ πορνεία· μὴ πειθομένῳ δὲ ἀλλ' ἁπλῶς ἐκδεχο-

13–16 Ammon. de interpr., CAG IV 5, 97, 10–12; 268, 9 u. ad 270, 8 ‖ **16–18** ib. 110, 22–30

22 *προκείμενον* Wk (cf. p. 100, 24): *προσκ-* **M**

μένῳ τὸν λόγον κατὰ τὸ κρεῖττον καὶ αἱρετώτερον ἡ τοῦ
πράγματος φύσις πορνείας τὴν πολυγαμίαν πιστώσεται,
καὶ πρός γε τούτῳ ἡ τῆς ἐπιτιμήσεως ποσότης. τέτρασι
γὰρ καὶ αὐτοὺς ὅσοις καὶ τοὺς τριγάμους ἐπιτιμᾷ χρόνοις,
τῷ τῆς ἐπιπλήξεως ἴσῳ ταὐτὸν παραδηλῶν τὸ παρά- 5
πτωμα.

Εἰ δέ σοι ξένον φανεῖται, τὸ ‘πλέον’ ἐπὶ τὸ κρεῖττον ὅτι
μεταλαμβάνομεν, ἁπλοῦς ὁ λόγος καὶ ὑπογύους παρ-
εχόμενος τὰς ἀποδείξεις. τί γάρ σοι νοεῖ τὸ παρὰ τοῦ
κυρίου ‘οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς καὶ τὸ σῶμα 10
τοῦ ἐνδύματος;’ τί δαὶ τὸ ‘βασίλισσα νότου κατακρινεῖ τὴν
γενεὰν ταύτην ἐκ τῶν περάτων τῆς γῆς ἀπαναστᾶσα, ἵνα
ἴδῃ τὴν σοφίαν Σολομῶντος, καὶ ἰδοὺ πλεῖον Σολομῶντος
ὧδε’; πῶς δὲ καὶ τὸ τοῦ θείου τὸν λόγον Γρηγορίου
‘ῥάβδος δικαίου πλεῖον ἢ τιμὴ κακοῦ’; ἢ οὐ καὶ τοῖς ἄρτι 15
λόγων γευομένοις σοφίας κατάδηλον ὡς ἐπὶ τὸ κρεῖττον
ἐνταῦθα τὸ πλεῖον μετείληπται; ἀλλ᾿ εἰ μὲν δίκην τινὶ
λαγχάνειν παρῆν, εἶτα μάρτυσι πιστοῦσθαι τοὺς λόγους
ἐξῆ, δυσὶν ἄν που τοῦτο ἢ καὶ τρισὶ κατηνύετο· τριῶν δὲ
νῦν ἡμῖν ἐμπεδούντων τὸν λόγον, καὶ τοσούτων εἰς πίστιν, 20
θεοῦ στόματος καὶ θείου τὴν γλῶσσαν ἀνδρός, ἆρα δια-
πιστεῖν ἔτι σοι περιγίνεται; τῆς παρανοίας.

Διά τοί γε δὴ τοῦτο τῇ τοῦ ἐπιτιμίου ἰσότητι πορνείᾳ
τῇ κεκολασμένῃ ἡ προκειμένη πολυγαμία ἀφομοιουμένη ἤ,
εἴπερ ἄρα, μικρὸν ὑποβᾶσα πορνείαν κεκολασμένην, καὶ 25
ταύτῃ πορνείᾳ ᾗ τὸ μὲν κράτιστον διεζεῦχθαι, τῷ στέργειν
δὲ τὴν συνέλευσιν ἀφιεμένῃ μετὰ τοῦ καὶ γνωρίζειν τὸ κατ᾿
αὐτὴν ἐπιτίμιον, ἐφίεται καὶ αὐτὴ ἐπὶ ἴσοις τε καὶ ὁμοίοις
οἰκονομουμένη τοῖς καθαρσίοις. ἢ δειξάτω τις ἀπό γε τῶν
ἱερῶν κανόνων τὸ διαζύγιον, κἀγὼ δέχομαι· ἕως δ᾿ ἂν μὴ 30
τοῦτ᾿ ᾖ, λήροις τε μακροῖς τε καὶ ἀσυνέτοις ἐπινοίαις οὐδὲν

10–11 Mt. 6, 25 || **11–14** Mt. 12, 42; Luc. 11, 31 || **14–15** Greg. Naz. l. l. || **26–28** Bas. Ep. 199, can. 26, PG 32, 724 B 14–C 3

19 fort. ἐξῆν || **27** ἀφιεμένῃ Wk: -νη **M** || **28** αὐτὴ Wk: -ῇ **M**

δεούσαις ἐνίσταται, σκάνδαλον τῷ λαῷ τοῦ θεοῦ | τεκ- 60ʳ
ταινόμενος καὶ τὸ οὐαὶ τῶν καὶ τοῖς ἕνα τῶν μικρῶν
σκανδαλίσασιν ἐξ ἐπιμέτρου ἐπισπώμενος ἑαυτῷ, ὅσῳ καὶ
οἱ πολλοὶ τοῦ ἑνὸς τῷ πλήθει καθυπερτεροῦσι, διαζυγίῳ
5 *τε ἐπηρεάζων τῷ πράγματι, καὶ τετραγαμίᾳ, ὥσπερ*
εἰκονομάχοι τῇ εἰδωλολατρείᾳ, καινῷ τινὶ τοὺς ἀγροι-
κοτέρους ὀνόματι δεδιττόμενος, ὃ μήπω τις τῶν πατέρων
εἰς τὴν παροῦσαν ὠνόμασε, καὶ ἀναθέματι παραπέμπειν
βιάζηται, κακῶς καὶ ὀλεθρίως ἑαυτῷ βιαζόμενος, ἐγὼ
10 *μὲν οὐκ ἂν ἀνασχοίμην ἐξ ἀγράφων καὶ ἀσυνήθων τῷ τοῦ*
κυρίου πληρώματι ἐνοχλεῖν, ὅρια μεταίρων αἰώνια, ἃ οἱ
πατέρες ἡμῶν ἔθεντο, οὐδέ τι καινοτομεῖν παρὰ τὰ
γεγραμμένα.

Εἰ δ' ἄρα καὶ τοῦτο ὑμῖν καταθύμιον, – ἐμοὶ μὲν ἴσως
15 *οὐδὲν πρᾶγμα· ἀλλ' ὅπως οὔτε τοῖς ἄλλοις καὶ πρὸ τούτων*
ὑμῖν οὐδ' ὅλως ἀνθρώποις γε τυγχάνουσι συνοίσει, βρόχον
γὰρ ἐπιβαλοῦμεν ἅπασι τῷ τοιούτῳ. ὅθεν μικρὰ περὶ τῆς
κατ' ἀνθρώπους τοῦ πλάσαντος προδιαλαβὼν κηδεμονίας
καὶ ὑποδείξας τί μὲν τὸ κατ' ἄνδρα κράτιστον, τί δαὶ τὸ
20 *κατὰ δεύτερον πλοῦν ἀσφαλέστερον, καὶ ὅπως ἐξ ἀμφο-*
τέρων τῆς δικαιοσύνης τῶν ὅπλων, τῶν δεξιῶν φημὶ καὶ
ἀριστερῶν, ὁ τοῦ κυρίου λαὸς τὸ τρόπαιον ἵσταται κατὰ
τοῦ ἀντιπάλου· – βραχέα τοιγαροῦν περὶ τούτων εἰπών,
τὸ τηνικαῦτα, εἰ μὴ συνῆτε τὴν ἀκοὴν ὑγιαίνοντες καὶ
25 *βλέποντες εἰ μὴ βλέποιτε, ἀλλὰ καὶ μᾶλλον ἐπ' ἄνθρωπον*
ἐπιτίθεσθε τοῦ καθ' ἑαυτοὺς ἀμελήσαντες, τῷ ἐπιζητου-
μένῳ συνθήσομαι. ἀλλὰ γὰρ ἀκούοιτε ἂν ἤδη ἐφ' ὁμολο-
γουμένην ἀρχὴν ἀναγόντων τὸν λόγον.

14 mg. *Ὁμηρικὴ ἡ σύνταξις, ὁμοία τῇ 'ἀλλ' εἰ μὲν δώσουσι*
30 *γέρας Ἀχαιο[ί], ὅπερ ἀντάξιον ἔσται'· ἐλλείπει τὸ 'εὖ ἂν ἔχοι'.*
ο[ὕτως] οὖν ἐνταῦθα συνεξακούεται τὸ 'εὖ ἂν ἔχοι, οὐκ ἄρα τοῦτο
σκοπ[εῖν] δεῖ', οἷον ἵνα οὕτω ἐξακούηται, 'ἀλλ' ὅπως οὐ συνοίσει
σκοπεῖν δεῖ'.

2–3 Luc. 17, 1–2 ‖ **11–12** Prov. 22, 28 ‖ **16–17** 1 Cor. 7, 35 ‖ **20** CPG II 24 ‖ **20–22** 2 Cor. 6, 7 ‖ **24–25** Is. 6, 9; Mt. 13, 13–14 ‖ **25–26** Ps. 61, 4 ‖ **29–30** mg. Hom. *A* 135–136

22 *ἵσταται*] *-αται* aut *-ηται* **M** ‖ **30–32** mg. abscissa suppl. Wk

Θεὸς κατ' ἀρχὰς πλάττων τὸν ἄνθρωπον μονήρη τοῦτον ἀπέφαινεν, ἀγαμίᾳ καὶ παρθενίᾳ τὸ ἑαυτοῦ ἔργον σεμνύνων καὶ πρὸς τὴν ἀγγέλων καθαριότητα παρισούμενον. ἀλλ' ἐπειδὴ τὰ λοιπὰ ζῷα τούτῳ παρήγετο ἐφ' ᾧ τε ὄνομα θέσθαι τούτων ἑκάστῳ εἶδέν τε πάντα πρὸς θῆλυ 5 *καὶ ἄρρεν διεσταλμένα, ἐζήτει, ζῷον καὶ ἑαυτὸν καταλαμβάνων, τῇ ὁμοίᾳ ὑπενεχθῆναι διαφορᾷ. καὶ οὐκ ἀπαγορεύει πρὸς τοῦτο θεός, τὸν ἐξ ἀρχῆς ἑαυτοῦ σκοπὸν κρατυνόμενος, ἡττᾶται δὲ τῆς ἀσθενείας τοῦ πλάσματος καὶ τῇ τούτου συμπεριφερόμενος γνώμῃ παράγει γυ-* 10 *ναῖκα, ἣν καὶ βοηθόν φησι κατ' αὐτὸν καὶ συγκατοικίζει τῷ ἐπιδεηθέντι. ἀλλὰ γὰρ σκόπει πῶς τῇ κατ' ἀρχὰς βουλήσει τοῦ πλάσαντος ἡ τοῦ ἀνθρώπου ἐπηρεάζει καὶ τὸ πρότερον κάλλιστον δόξαν θεῷ οὐ καλὸν αὖθις τῇ πρὸς τὸν ἄνθρωπον συγκαταβάσει θεὸς ἀποφαίνεται. τί γάρ* 15 *φησιν; ʽ οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον ʼ. τοιοῦτοι γὰρ πάντες οἱ προμηθέστεροι τῶν κυριευόντων, τῇ ἀσθενείᾳ συνυποβαίνοντες τῶν ὑποκειμένων, κἂν εἰ τοῖς ἑαυτῶν βουλήμασιν ἀπομάχωνται. χρόνος πολύς, καὶ τοῦ κατ' ἀρχὰς δόγματος ὁ πλάστης ἐχόμενος παρθενίαν μὲν διὰ* 20 *πραγμάτων ἀνθρώποις ἐνομοθέτει, παρθένου γυναικὸς γεννώμενος. ἀλλὰ συγκατιὼν αὖθις τῇ ῥαθυμίᾳ ἡμῶν γάμῳ παρῆν καὶ συνειστιᾶτο νυμφίῳ καὶ θαύματι φιλοφρονεῖται τὸν γάμον· καὶ ʽ οὓς ὁ θεός ʼ φησι ʽ συνέζευξεν, ἄνθρωπος* 60ᵛ *μὴ χωριζέτω ʼ ὁ αὐτὸς νομο|θέτης βοᾷ. τί δὲ καὶ Παῦλος,* 25 *ὁ τὰ ὑστερήματα τούτου ἀναπληρῶν καὶ τὰ στίγματα περιφέρειν ἐν τῇ σαρκὶ σεμνυνόμενος; ʽ καλόν ʼ, φησίν, ʽ ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι ʼ. ὁρᾷς τὸ κρεῖττον, ὁρᾷς τὸ καλόν, καὶ ᾧ κατ' ἀρχὰς ἡ φύσις ὑπὸ τοῦ πλάστου ἐκαλλωπίζετο;*

1 mg. *ταῦτα κατὰ ἀκρίβειαν τοῖς λογολέσχαις καὶ φλυαρίας ἐπ'* 30 *οὐδενὶ χρησίμῳ αἴτια κατασταίη· ὅ γε ἡμεῖς περιϊστάμενοι καὶ ἀπανούργως τῷ περὶ τῆς κοσμοποιΐας Μωϋσέως προσανακείμενοι λόγῳ ταύτῃ πρόϊμεν.*

4–6 Gen. 2, 19–20 || **11–12** Gen. 2, 18 || **14** Gen. 1, 31 || **16** Gen. 2, 18 || **22–24** Io. 2, 1–11 || **24–25** Mt. 19, 6; Mc. 10, 9 || **26** Col. 1, 24 || **26–27** Gal. 6, 17 || **27–28** 1 Cor. 7, 1

σκόπει καὶ πάλιν τὸ συμπαθὲς διὰ τὸ τοῦ γένους εὐόλισθον· 'διὰ' γὰρ 'τὰς πορνείας ἕκαστος', φησί, 'τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω καὶ ἑκάστη γυνὴ τὸν ἴδιον ἄνδρα ἐχέτω'. εἶδες ἀκριβῆ νομοθέτην; εἶδες συμπαθῆ οἰκονόμον; καὶ τὸ
5 καλὸν ἔδειξεν ἀνθρώποις καὶ ἄχραντον καὶ τὸ τῆς φύσεως παρεμυθήσατο ἀσθενές· ἵνα μὴ πρὸς βόθρον κατενεχθῇ τὸ ἀνθρώπινον ἀπωλείας, ὑπέβη τοῦ ὕψους, κατέσπασται τῆς περιωπῆς, τὸ ὑπερδέξιον ταπεινοῖ. ὅρα τὸν αὐτὸν πάλιν καὶ τῆς πρὸς θεὸν οἰκειώσεως ἄγαν περιεχόμενον
10 δι' ὧν νουθετεῖ ἀδιαλείπτως προσεύχεσθαι καὶ τὴν σωματικὴν ἔμπαλιν ἀνάγκην προτιμοτέραν ταύτης ποιούμενον. τὸ γὰρ ἀδιάλειπτον τοῦτο καὶ πρὸς θεὸν οἰκειοῦν – τί γὰρ ἂν οἰκειότερον δούλῳ τοῦ τῷ ἑαυτοῦ ἀδιαλείπτως κυρίῳ προσομιλεῖν καὶ ταύτῃ τὸ πιστόν τε καὶ πεπαρρη-
15 σιασμένον κερδαίνοντι; – ἀλλὰ τὸ θαυμαστὸν τοῦτο καὶ ἀξιέπαινον τῆς συντυχίας ἡ ἀπὸ τῆς ἀκρασίας παραιρεῖται ἀνάγκη· βοᾷ γὰρ 'μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε'·
20 διὰ τί; 'ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν'. βαβαί, τὸ ὑπερφυὲς ἀγαθὸν καὶ οὐ μὴ ἄν τι γένοιτο τιμιώτερον καιροῖς περιορίζει καὶ ὑποτέμνεται καὶ εἰς λεπτὰ κατατεμαχίζει τὸ ἀπὸ τῆς σαρκὸς ὀχληρόν. ὁ μὲν οὖν τοιοῦτός ἐστι, ποικίλος, πάντοθεν τοῖς μαθητευο-
25 μένοις τὸ πρόσφορον περινοῶν καὶ συγκαταβαίνων τοῖς ταπεινοῖς, καὶ ἵνα πάντοθεν κερδαίνῃ τὸ εὐσχημονέστερον ἐκλεγόμενος· ἀπὸ τῶν ἀπειράστων γάμου τὴν παρθενίαν, ἀπὸ τῶν γεγαμηκότων τὸν σώφρονα βίον, ἀπὸ τῶν πόρνων τὸ τῆς πανδήμου πορνείας ἀποσχόμενον ἑνὶ περιεῖρξαι
30 προσώπῳ τὴν ἀκρασίαν. τί γὰρ ἄλλο σοὶ βούλεται τὸ 'διὰ τὰς πορνείας ἕκαστος καὶ ἑκάστη'; οὐκ ἄλλο οὐδὲν ἢ τὸ πρὸς μίαν κατάγξαι τὴν ἡδονήν;

2–3 1 Cor. 7, 2 || **8–10** 1 Thess. 5, 17 || **10–11** 1 Cor. 7, 5 || **17–21** ib. || **30–31** ib. 7, 2

23 κατατεμμαχίζει (ο supra εμ) **M**

Διὰ ταῦτα καὶ οἱ θεσπέσιοι πατέρες τοὺς πλείστοις γάμοις περιπίπτοντας ἐπιτιμῶσι μὲν θεραπεύοντες, οὐ διασπῶσι δὲ καὶ ἀλλοτριοῦσιν ἐξολοθρεύοντες. κἀγὼ μὲν ἐκ πατέρων τοῦτο παραπεμπόμενον εἰς ἡμᾶς ὥσπερ τινὰ κλῆρον πατέρων τῆς φύσεως συνιέντων μετὰ τοῦ πλάστου 5 *καὶ καταλλήλῳ βοηθείᾳ τὸ γένος οἰκονομούντων, ἵν' ἐνί γέ τινι καλῷ πάντως τοῦ λύκου τὸ πρόβατον ἐξαρπάσωσιν,* | 61r *μὴ τῷ γε παντὶ βιαζόμενοι τὸ πᾶν ἀπολέσωσι, καὶ δέχομαι τὴν σοφὴν ταύτην συμπεριφορὰν καὶ ὡς θεοῦ φιλάνθρωπον δῶρον ἀσπάζομαι. οἶδα γὰρ καὶ ἱερέας διὰ τοῦτο θεὸν ἐξ* 10 *ἀνθρώπων ἐκλεγόμενον, ἵνα μετριοπαθεῖν δυνατοὶ ὦσι τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτοὶ περίκεινται ἀσθένειαν, οὐχ ἵνα τῷ μονοτόνῳ καὶ ἰδιωτικῶς ἀνενδότῳ, καὶ οἷς καὶ αὐτοί, εἰ καὶ μὴ τοῖς αὐτοῖς, ἀλλ' οὖν τοῖς κατ' ἀνθρώπους τερπνοῖς ἁλίσκονται ἀκρατῶς, ἄγχωσι καὶ βιά-* 15 *ζωνται ἀνοήτως καὶ ἀμαθῶς εἰς κρίμα ἑαυτῶν καὶ κατά-γνωσιν. πρὸς οὓς τὸ τοῦ κυρίου ἐν καιρῷ τις ἐρεῖ, ‛ ἰατρέ, ἰάτρευσον σεαυτὸν πρῶτον᾿. ἢ τὸ μὲν τοῦ πέλας κἂν μικρὸν ᾖ τὸ ἕλκος ὁρᾶν ἐσμὲν ὀξυδερκεῖς, τὰς δὲ τῶν ἰδίων δυσώδεις ἀβύσσους κατανοῆσαι τυφλώττομεν, δέον ἑαυτοὺς κεκαθαρ-* 20 *κότας οὕτω τοὺς ἄλλους ἐπιχειρεῖν; οὐ γὰρ ἡ τοῦ θήλεος μόνον κατάχρησις ἀποπέμπεται τῆς βασιλείας, ἀλλὰ τὸ μὲν ἔσθ' ὅπῃ καὶ συγγνώμης τυγχάνει παρά γε φιλανθρώπῳ κριτῇ, ἑτέροις κατορυσσόμενον δεξιωτέροις καλοῖς· ἀφ' ὧν πόρνοι μὲν καὶ τελῶναι προάγουσιν ἡμᾶς εἰς τὴν βασιλείαν·* 25 *τῦφος δὲ καὶ μνησικακία καὶ γαστριμαργία καὶ μέθη καὶ τῶν κακῶν ἁπάντων ἡ ῥίζα φιλαργυρία καὶ ἡ σύνδρομος ταύτῃ καὶ τοῦ θεοῦ μὲν ἀποσυλῶσα πρὸς εἰδωλολατρείαν δὲ κατασπῶσα πλεονεξία καὶ ἡ πολλῷ ταῦτα κατόπιν ἀφιεῖσα ὡς τὸ τοῦ θεοῦ πρώτιστον πλάσμα τῶν οὐρανίων* 30 *ἀντύγων ὑπερηφανία καταβαλοῦσα, ᾗ μόνος θεὸς ἀντι-τάσσεται καὶ βδέλυγμα παρ' αὐτῷ πᾶς ὑψηλοκάρδιός ἐστί τε*

1—3 Can. Neocaes. 3 (Lauchert 35, 13–14) || **12—13** Hebr. 5, 2 || **17—18** Luc. 4, 23 || **18—21** Mt. 7, 3–5; Luc. 6, 41—42 || **25** Mt. 21, 31 || **27** 1 Tim. 6, 10 || **27—29** Col. 3, 5; Eph. 5, 5 || **31—32** Prov. 3, 34 || **32** Prov. 16, 5

*καὶ λέγεται, οὐκ ἄν ποτε βασιλείας ἐντὸς κατασταῖεν θεοῦ
οὐδ᾽ ἂν συγκαλυφθεῖεν οὐδ᾽ ἐναποκρυβεῖεν ὑπό τινων
ἀρίστων, κἂν ὅτι μάλιστα περιστέλλωνται· ἀλλ᾽ ὅσον
περιπτύσσεται τοῖς παροῦσι καὶ συσκιάζεται τῷ πλάνῳ
5 τούτῳ καὶ πολλοὺς ἀπομματοῦν εἰωθότι αἰῶνι, τοσοῦτον,
μᾶλλον δὲ οὐδ᾽ ὅσον εἰπεῖν ἐκφανέστερον μᾶλλον καὶ
διαδηλότερον ἀνακαλυφθήσεται ταῦτα ἀληθείας ἅπαντα
περιχανούσης καὶ μηδαμοῦ χώραν ἐπεχούσης τῆς ὑπο-
κρίσεώς τε καὶ προσποιήσεως, ἐν ἡμέρᾳ ἐκείνῃ ὅτε θεὸς
10 κριτὴς κάθηται τῶν ἡμετέρων, ᾧ τὰ ἐνθύμια σαφέστερα
τῶν νῦν ἐξομολογήσεων καὶ αἱ κινήσεις τε καὶ ὁρμαὶ τῶν
ἐνθυμημάτων ὡς ἐν ἑορτῇ τοῖς πᾶσιν ἐκπομπευθήσεται.
οἶδα καὶ τὸν ὑπερούσιον αὐτὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν οὐκ
ἀγγέλων ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβανόμενον· τί
15 δῆτα; ὡς ἂν κατὰ πάντα ὡμοιωμένος ἡμῖν, οἷς καὶ ἐναν-
θρωπῆσαι εὐδόκησεν, ἐν ᾧ μέτρῳ πέπονθεν αὐτὸς πειρα-
σθεὶς δύναιτο τοῖς πειραζομένοις βοηθῆσαι, τὸ γὰρ ἐκ
πείρας εὐεπιχείρητον.*

*Τὸ μὲν οὖν ἐμὸν μέτριον τοιοῦτό τε καὶ τοσοῦτον. εὐχὴ
20 δέ μοι διηνεκὴς πρὸ μὲν παντὸς ἄλλου | ἑαυτῷ τὰ σωτήρια* 61v
*διοικεῖσθαί τε καὶ ἐκλέγεσθαι· εἶτα δὲ καὶ ὑμᾶς εἰς ἄνδρα
τελεῖν τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ
Χριστοῦ, υἱοὺς φωτὸς καὶ ἡμέρας καὶ γενομένους καὶ
λεγομένους. ἀλλ᾽ ἐπειδὴ τῶν εὐχῶν ἡμῶν ὡς ἔοικεν
25 εἰσήκουσε κύριος καὶ πάντες ὑμεῖς διαυγέστεροί τε καὶ
καθαρώτεροι τοῦ οὐρανίου ἀπετελέσθητε στερεώματος
(ὢ τῆς ἀθρόας τε καὶ παραλόγου μεταβολῆς τε καὶ
ἀλλοιώσεως), δι᾽ ὃ καὶ ποθεῖτε τὰ κρείττονα, καὶ πάντας
ἀνθρώπους τῶν οὐρανίων ἀδύτων ἐντὸς καταστῆναι, ἀγγε-
30 λικῆς μεταλαχόντας ⟨δι᾽⟩ ὑπερβολὴν φιλαδελφίας φύσεώς
τε καὶ τάξεως, καὶ ἡμᾶς παρακαλεῖτε νόμον ἐνστήσασθαι*

2–3 cf. Iac. 5, 20; 1 Petr. 4, 8 || **10–12** cf. 1 Cor. 4, 5 || **13–18** Hebr. 2, 16–18 || **21–23** Eph. 4, 13 || **23** 1 Thess. 5, 5

μανο
14 *ἐπιλαβόμενον* M || **30** leg. *μεταλαχόντες*? | *δι᾽* add. Wk

καινὸν καὶ παράδοξον, ὀνοματοθετοῦντας μὲν τὰ ἀκατονόμαστα, ἀρᾷ δὲ ὑποβάλλειν καὶ τελευταίῳ ἀναθέματι παραπέμπειν ὡς δή τι τῶν ἐσχάτων κακῶν ὃ τέως κατονομάζειν ἐκβεβιάσμεθα, ἐγὼ μὲν οὐκ ἂν φθάνοιμι τὴν ὑμετέραν παράκλησιν ἐκτελῶν· μόνον ὑμεῖς τοῖς ὑφ' 5 ἡμῶν συνυπηχήσατε λεγομένοις, ἵνα κοινὸν τὸ ἀγαθὸν ἀνευρίσκηται, ὃ πάλαι καὶ Μωϋσῆς ἐπὶ ταῖς ἀραῖς τε καὶ εὐλογίαις ἐντέλλεται, λαλούντων μὲν τῶν ἱερέων καὶ διαστελλομένων τὰ ποιητέα καὶ μή, συνυπηχούντων δὲ καὶ ἀνταμειβομένων τῶν περιεστηκότων τοῦ πλήθους. γένοιτο 10 γὰρ ἂν ἐμοὶ μὲν πάντως καταθύμιον τὸ τελούμενον, δέδοικα δὲ μὴ συνιέντες ὑμεῖς οἷ τὰ τῆς ἀξιώσεως ὑμῖν ἀπονεύει καθ' ἑαυτῶν τε λάθοιτε ἀξιοῦντες καὶ τελευτῶντες ἀηδιζόμενοι καὶ ἐκτραχυνόμενοι ἐκ μέσης ὁδοῦ, τὸ ᾀδόμενον, ἀναστρέψητε. 15

Πλὴν ἐνδῶμεν φιλίᾳ· τί γὰρ ἂν καὶ ποιῶμεν, τοσούτων καὶ τηλικούτων ἀνδρῶν εἰς φιλίαν ἐπικειμένων; ἀνάθεμα τοίνυν ἀνθρώπῳ παντὶ τῷ μετὰ τὸν σεμνὸν δεύτερον γάμον τρίτῃ ἢ τετάρτῃ γαμικῶς ἢ πορνικῶς ἐπιμιγέντι ἢ μιγησομένῳ γυναικὶ ἢ καί τινι ἀφροδισίῳ μιάσματι, καὶ εἴη 20 λοιπὸν ὁ τοιοῦτος τῷ ἀλύτῳ τοῦ παναγίου δεσμῷ πνεύματος πεπεδημένος καὶ ἀλλότριος τῆς τοῦ θεοῦ ἡμῶν δόξης καὶ τῶν Χριστιανῶν τοῦ πληρώματος. εἰ ταῦτα λεγόντων ἡμῶν συνανευφημοίητε καὶ ὑμεῖς κατὰ τὸ πάντῃ εὐαρεστούμενοι, ὑποίσομεν τὸ ἐπίταγμα καὶ ὑμᾶς ταῖς οὐρανίοις ἐναυ- 25 λιοῦμεν μοναῖς ὑπὲρ χιόνα λάμψαντας, τὸ τοῦ λόγου, ὑπὲρ γάλα τυρωθέντας. ἵνα τί γὰρ τοῖς εἰς ἀσώματον μεταταξαμένοις διαγωγὴν ἐμποδὼν ἡμεῖς καθιστώμεθα; εἰ δὲ τὸν σκοπὸν συνιέντες ὃς ἔγκειται τοῖς λεγομένοις, ναυτιῶντες ἀφίστασθε, λόγῳ μὲν ἀποδεχόμενοι τὰ σεμνὰ εἰς 30

1 mg. τὸν δ^ον γάμον· οὐδαμοῦ γὰρ οὗτος τῶν ἱερῶν κατονομάζεται κανόνων.

7–10 Deut. 11, 26–32; 27, 11–26; Ios. 8, 30–35 || **26–27** Greg. Naz. Or. 15, 9, PG 35, 928 C 9–10; cf. Lam. 4, 7; Ps. 118, 70

11 πάντως Jenkins, Treu: παντὸς **M** || **15** ἀναστρέψητε Wk: ἀνατρ- **M**

προκάλυμμα τῶν δρωμένων, ἔργῳ δὲ δυσκολαίνοντες τοῖς
λόγοις ἀκολουθεῖν, ἐμοὶ μὲν οὐδαμῶς θεμιτὸν ἀνδράσιν
ἕπεσθαι τοιούτοις, φορτία μὲν ἀξιοῦσι βαρέα δεσμεῖν καὶ
δυσβάστακτα τοῖς ἄλλοις, αὐτοὺς δὲ μηδὲ τῷ δακτύλῳ
5 ταῦτα κινεῖν ἀνεχομένοις | καὶ νόμον ἐκτίθεσθαι κατεπει- 62r
γόντων ὃν οὔτε αὐτοὶ οὔτε οἱ πατέρες αὐτῶν ἴσχυσαν
φυλάξαι. ὥστε εἰ μέλλοιτε σωφρόνως ὅσον δή τι διαβιοῦν,
ἀπόσχεσθε τῶν τοιούτων ἀκριβασμάτων, ἐπεὶ καὶ ἡμεῖς
τοῦ ὑμετέρου φροντίζοντες ἅτε σώφρονες νομοθέται
10 συμφέροντος ταῦτα ποιεῖν προθυμούμεθα, τῶν πνευματο-
φόρων πατέρων κατ᾽ ἴχνος βαίνοντες ἀλλ᾽ οὐχ ἑαυτοῖς
χαριζόμενοι. τί γὰρ ἂν καθ᾽ ἡδονὴν ἀνδρὶ γένοιτο βαρὺ
καὶ τὸ σεμνότατον οἰομένῳ τοῦ γάμου, εἰ πολλοστοὶ γάμοι
τῷ βίῳ κριθεῖεν ἐμπολιτεύεσθαι;

3–5 Luc. 11, 46 ‖ 5–7 Act. 15, 10

4 scr. αὐτοῖς?

10

Πρὸς τὸν οὐκ εἰκότως τὸ ἀπειθὲς ἐπιμεμφόμενον

Est epistula ad amicum quendam scripta post Op. 9, cuius argumentis ad vocem *πλέον* pertinentibus novum inventum addit.

„Rogas cur patriarchae obtemperare nolim viam castitatis monstranti et quam ipse olim ierim. sane bonum est patri obsequi, si ea quae suadet rationi consentanea sunt; sed sunt quaedam specie quidem reprehendenda, revera laudanda. me nunc clementiora praetulisse patiatur patriarcha, suae ipsius imbecillitatis memor, Dei et apostolorum et patrum patientiam imitans. tu quoque idem sentias rogo quod nos, non polygamiam suadens, sed minus malum maiori anteponens, quod fecit et apostolus (1 Cor. 7, 2). de vocis *πλέον* apud Basilium vi saepius tractavi; quibus haec tamen habeo quae addam: unaquaeque res cognoscitur e definitione; cum igitur sit fornicatio concubitus latens nullo fine circumscriptus sed sine iniuria alterius, nemo dicere potest aut eandem esse matrimonio aut potiorem. si ergo amicitiae causa contra traditionem patrum polygamiam anathematizare vellem, pacem ecclesiae conturbarem et Pauli anathemati ipse obnoxius fierem. quod nisi aliter me docuerit patriarcha, non oboediam."

Ἐρωτᾷς τί δήποτε μὴ εὐγνώμονος υἱοῦ διάθεσιν ἀναπληροῦντες τῷ ἁγιωτάτῳ ὑπείκομεν πατριάρχῃ εἰς ὅσα ἂν ἀξιοῖ, καὶ μάλιστα τοιαῦτα προτείνοντι οἷα τοῦ τε ἀχράντου ἔχεται τῆς κατ' ἀνθρώπους βιώσεως καὶ οἷς 5 *τὸ πρὶν καὶ αὐτοὶ συνέπαινοι καθεστῶτες λόγους μακροὺς περὶ τούτων ἐγράφομεν.*

Ἀλλ' οὖν ἐγὼ ὅτι μὲν φίλος σχεδὸν οὗτος ἡλικιώτης ἐστί μοι καὶ πατὴρ τὴν πνευματικὴν γέννησιν, οὐκ ἂν ἀρνηθείην, ὅτι καὶ βουλομένῳ τὸν ἔλεγχον ἐγγυτάτω τὰ πράγματα ἀποφέρεται. ἀλλὰ πατράσι πείθεσθαι καλόν, ἔστ' ἂν πατέρες τε ὦσι τὰ προσταττόμενα, μηδὲν παραβλάπτοντες

τῶν ὅσα πρὸς δικαιοσύνην ὁρᾷ. τὸ δὲ οὐκ ἄλλοθέν ποθεν
περιγίνεται ἢ τοῦ δοῦναί τινα λόγον καὶ λαβεῖν τῶν
ἀξιουμένων ἐκτὸς φιλαυτίας τε καὶ θυμοῦ, ἤτουν μὴ στῆσαι
τὸ ἐπελθὸν ἄλλως φιλονείκως ἐνιστάμενον. εἰ οὕτω καὶ
5 τούτῳ τὰ προτεινόμενα προχωρεῖ καὶ λόγῳ καὶ σὺν λόγῳ
ταῦτα ὁδοποιεῖται, εἰκότως ἂν ἐγὼ μὲν ἀφηνιάζων κατα-
λαμβανοίμην καὶ τῇ τῶν ἀπειθῶν σκαιότητι ἐξεταζόμενος,
ὁ δὲ τὸ κράτος ἀναβαλλόμενος. εἰ δὲ σχολάζειν μὲν ταῦτα
τῷ χρηστῷ πατρί, ἐκ προστάγματος δὲ τὸ κελευόμενον
10 πράττειν ἡμᾶς τὸ ἀξίωμα, οὐκ ἔστι μὲν ταῦτα πατρὸς ἢ
φίλου, διόπερ ἀγνώμων ὅ τε υἱὸς ἀναφαίνεται τῷ πατρὶ
καὶ ὁ φίλος τὴν ἀντιδιδομένην διάθεσιν ἀπαρνούμενος.

Καὶ ὅτι μὴ μάτην ληροῦμεν, ἐντεῦθέν ἐστιν ἑλεῖν. τοῖς
πράγμασιν ἔσθ' ὅτε κατὰ τὸ πρόχειρον αἱ φαυλόταται
15 παρακείμεναι ὑπολήψεις οὐχ αἱ αὐταὶ ἀναψηλαφώμεναι
παραμένουσιν, ἀλλὰ τῇ ἀκριβεῖ ἐξετάσει τὰ μὲν τῶν
φαύλων ἀποίχεται, τὰ δὲ τῶν ἐπαινετωτέρων ἐπανθεῖ καὶ
συναναφαίνεται· οἷόν τι καὶ Μωϋσεῖ ἐπὶ τῷ τοῦ Αἰγυπτίου
φόνῳ παρομαρτεῖ, καὶ Σαμουὴλ ἐπὶ τῷ πρὸς τὸν Ἄγαγ
20 ἀπηνεστάτῳ καὶ ὠμοτάτῳ, καὶ τούτων ἔτι ἀνωτέρω ἡ
τοῦ Ἰούδα νύμφη Θήμαρ τῷ πενθερῷ ἀνακλινεῖσα ὅσης
τῷ ἀνεξετάστῳ τυγχάνει τῆς ἀτοπίας· καὶ χθὲς καὶ
πρώην τὴν τῶν ἱερῶν ἀναστήλωσιν μορφωμάτων εἰς
εἰδωλολατρείαν οἱ ἀσύνετοι ἐνδιέβαλον τοῖς ἀνουστάτοις.
25 ἀλλὰ τί ἄν σοι πλῆθος ἡμᾶς ἐπισωρεύειν τοιούτων ὑπο-
δειγμάτων, | ὧν ἡ πρώτη μὲν ἀκοὴ κατὰ τὸ ἰδιωτικὸν 62v
ὅλως τὴν συνείδησιν πλήττει, ἡ δ' ἐπὶ τούτοις ἐμφρονε-
στάτη διάγνωσις αὐτίκα τῆς προπετείας μὲν κατέγνωκε
τοῦ πρὶν ἀπερισκέπτου, τῶν δ' ἀπὸ τῆς συζητήσεως
30 ἀντέσχετο κρειττόνων; πάσχουσί τι τοιοῦτο καὶ Ἰουδαῖοι
τῶν κατὰ τὸ ἀπερίσκεπτον τοῦτο καὶ ἀγροικικῶς ἄγαν
ἰσχυρογνωμονικόν, ᾗ καὶ Παῦλος ὁ θεῖός φησι, ζῆλον

18–19 Ex. 2, 11–15 || **19–20** 1 Reg. 15, 32–33 || **20–22** Gen. 38, 12–26 || **32** – p. 110, **4** Rom. 10, 2–3

19 *τῷ* Wk: *τῶν* **M** || **21** *Θήμαρ*] sic, ut vid., **M**

μὲν ἔχειν αὐτοὺς μαρτυρῶν ὑπὲρ τοῦ νόμου, οὐ κατ᾽ ἐπίγνωσιν δέ, ἀλλὰ τῆς τοῦ θεοῦ δικαιοσύνης ἀμαθῶς ἔχοντας τῇ τοῦ θεοῦ μὴ ἂν ἐθέλειν ὑποτάττεσθαι δικαιοσύνῃ. οὕτως καὶ τοῦτον αὐτὸν θρασέως ἐφορμῶντα Χριστιανοῖς θραύει τοῦ θράσους ὁ σκληρὸν εἶναι τούτῳ 5
πρὸς κέντρα λακτίζειν διατεινάμενος.

Τοῦτό με πρὸ τοῦ πεπονθότα μήθ᾽ ὁ πνευματικὸς ἐπιμεμφέσθω πατὴρ μήτ᾽ ἄλλος ὃς ἂν ἄνθρωπός τε ᾖ καὶ τὴν ἀνθρώπου φύσιν ἐπίσταται, ἐπὰν θεὸς εὐμενής, μὴ πάνυ τοῖς χείροσιν εἰς ἀεὶ ἐναποκαθημένην ἀλλὰ τὴν ἐπὶ 10
τὸ κρεῖττον ἀλλοίωσιν τῇ τοῦ ὑψίστου δεξιᾷ μεταποιουμένην. ταύτῃ τοι ὁ μὲν πατὴρ τὰ προκείμενα δοκιμάσας κατὰ τὸ κράτιστον καὶ τὸ ʽμηδὲν ἄγαν᾽ ἐπιγνούς, καὶ ὅτι ἄνθρωπος καὶ αὐτός, μετριοπαθείτω τὰ πρὸς τὴν φύσιν, εἰδὼς καὶ ἑαυτὸν ὑποκείμενον ἀσθενείᾳ, καὶ εἰ μὴ τοῖς καθ᾽ 15
ὁμιλίαν τοῦ θήλεος, ἐν ἄλλοις γοῦν τὸ ἧττον ἀποφερόμενον· ὡς γὰρ πολύτροπος ἡ σωτηρία, οὕτως καὶ ἡ ἀπώλεια· καὶ παυέσθω τοῦ πρὸς τοὺς ἄλλους ἀτέγκτου καὶ τὰ ἀκίχητα μεταδιώκειν. ἅμα δὲ καὶ θεὸν αὐτὸν ἐκμιμείσθω τῇ πρὸς τὸν ἄνθρωπον συμπαθείᾳ καὶ τῶν ἑαυτοῦ ἀεὶ 20
καταρρᾳθυμοῦντα δογμάτων – καίτοι θεοῦ δογμάτων τί ἂν ἀληπτότερον; – καὶ πρός γε τούτῳ τοὺς μετὰ Χριστὸν ἀποστόλους Χριστοῦ, εἶτα πατέρας καὶ διδασκάλους, οἳ πρὸς τὸν καταρτισμὸν τῆς τοῦ Χριστοῦ ἐκκλησίας τὴν σαθρότητα τῆς φύσεως προορώμενοι οὐκ ἐπαύσαντο τοῖς 25
ἀσθενεστέροις τῆς ἀκριβείας ὑποχαλῶντες τοῦ βίου καὶ τὸ σεμνότερον ὡς ἐν χείροσιν ἐκλεγόμενοι, ὡς ἂν ἔχωσί τι σωτηριωδέστερον τοῖς νωθεστέροις περιποιεῖν, ἢ τῷ παντὶ βιαζόμενοι τοῦ παντὸς κακοβούλως ἐκπίπτοιεν.

Καὶ οὕτω μὲν ὁ πατήρ· ὑμεῖς δὲ τί; τὸ μὴ τοῖς λόγοις, 30
ἀλλὰ ταῖς πράξεσι καὶ τῇ ἑαυτῶν ἐνεργῷ δυνάμει τοὺς λόγους παραμετρεῖν· μηδὲ τὸ σεμνότατον τῶν λόγων ἀπο-

4–6 Act. 9, 1–4; 26, 9–14 || **11** Ps. 76, 11 || **13** CPG II 80 || **19** Hom. *P* 75 (CPG I 345)

26 *τῆς ἀκριβείας* in mg. add. **M**

δεχόμενοι καὶ οὗ πόνος μακρὸς καὶ τοῖς ἄγαν σωφρονεστάτοις τυχεῖν τοῖς ἔργοις χείρους ἑαυτοὺς καὶ πρὸς ἐσχάτην ἐλαυνομένους κατάγνωσιν ἀποφαίνοιτε, ὅπερ οὐκ ἄλλο οὐδὲν ἢ καθ' ἑαυτοῦ τὸ ξίφος ἐστὶν ἀκονᾶν καὶ πρὸς
5 τὴν ἰδίαν σφαγὴν εἰσωθίζεσθαι. ἐπίγνωτε καὶ ὀψέ ποτε ἄνθρωποι ὄντες καὶ ἡμᾶς μετὰ τῶν πατέρων τοῦ ὑμετέρου περιεχομένους συμφέροντος, οὐχὶ πολυγαμίαν ἐκ παντὸς τρόπου νομοθετοῦντας, φεύγοντας δὲ πορνείαν, ὃ καὶ Παῦλός φησιν, ἕκαστον καὶ ἑκάστην μεθίεσθαι ἀδιαστά-
10 τως τῶν ἀφιλοσόφων καὶ ἀκρατῶν ἑνὸς συνελεύσει προσώπου κατάγχειν τὸ ἄφετον.

Ἀλλ' ἴσως ἐρεῖς μοι, πῶς τοὺς πατέρας πολυγαμίαν πρεσβεύειν φημί, ὅπου Βασίλειος | ὁ μέγας 'πλέον 63r πορνείας' πολυγαμίαν ἀπέφηνεν, ὃ 'πλέον' χεῖρον πορ-
15 νείας οὐδεὶς ἂν ἀμφιβάλοι. ἐγὼ δὲ πολλάκις περὶ τούτων εἰπών, καὶ ὥς γέ μοι δοκῶ κατὰ τὸ ἐμφρονέστατόν τε καὶ κράτιστον, ἐπ' ἐκεῖνα τὴν τελεωτέραν τούτων πίστιν λαμβάνειν ὑμᾶς παραπέμπων τοσούτοις τὰ νῦν ἰσχυρίσασθαι ἀγαπήσω, ἐκεῖνο τοῦ λόγου προδιαλαβών. ἡ
20 γνῶσις τῶν πραγμάτων ἐκεῖθεν πάντως ἐγγίνεται τοῖς συνιεῖσιν, ἐκ τῶν τὴν φύσιν ἑκάστων ἀναπτυσσόντων λόγων· τίνες δὲ οὗτοι; ἢ οὓς ὁριστικοὺς λόγους φασὶν οἷς τὰ τοιαῦτα διὰ φροντίδος, καὶ τούτων χωρὶς οὐκ ἂν θηρᾶσαι τὸ προτεθὲν οἷόν τε οὐδέ τι περὶ αὐτοῦ ἐπι-
25 τετευγμένως ἐρεῖν. μία γὰρ κατὰ τὸν Ἀρίστωνος Πλάτωνα τοῦ καλῶς βουλεύεσθαι ἀρχή, εἰδέναι περὶ ὅτου ἡ σκέψις ἐστίν, ἢ τοῦ παντὸς κίνδυνος ἁμαρτάνειν. ἑκάστῳ γὰρ τὴν φύσιν ἀπὸ τῶν ἄλλων οὗτοι περιορίζοντες, ᾧ καὶ ὁρισμοὶ καλεῖσθαι ἐδικαιώθησαν, καὶ τῆς συγχύσεως ἀφαιρούμενοι
30 τὴν κατάληψιν τρανήν τε παρέχονται τὴν γνῶσιν καὶ ἀναμφίλεκτον καὶ τῆς ἀπὸ τῶν ἐοικέναι ὑπειλημμένων σαφῶς εὐδιάκριτον.

8–9 1 Cor. 7, 2 || **13–14** Bas. Ep. 217, can. 80, PG 32, 805 B 1–2 || **22–23** Aristot. Met. H 3, 1043 b 31; Phys. I 3, 186 b 23, de an. II 2, 413 a 14 || **25–27** Plat. Phaedr. 237 b 7–c 2

Ἐπεὶ τοίνυν πορνείαν μὲν ἐκείνην φασίν, τὴν ἀορίστως καὶ ἀπαρρησιάστως χωρὶς ἀδικίας ἑτέρου γιγνομένην τινὶ πρὸς τὸ θῆλυ τῆς ἐπιθυμίας ἐκπλήρωσιν, γάμον δὲ τὴν ὡρισμένως κατὰ τὸ φανερὸν συζυγίαν μιᾷ γυναικὶ πρὸς ἕνα ἄνδρα καὶ ἀνδρὶ ἑνὶ πρὸς μίαν γυναῖκα, πότερον ταὐτόν σοι δοκεῖ τὸ ἀορίστως τῷ ὡρισμένῳ ἢ τὸ ἀπαρρησιάστως τῷ φανερῶς καὶ τὸ πρὸς ἓν πρόσωπον εἰς ἀεὶ τὴν γνῶσιν ποιεῖσθαι τῷ πρὸς ἃ τύχοι; οὐκ ἂν οἶμαι ταὐτά τις εἴποι ταῦτα, εἰ μή που τῶν γνωστικῶν δυνάμεων πήρωσιν δυστυχῇ, οὐδὲ τὸ ὡρισμένον καὶ πεπαρρησιασμένον χεῖρον ἂν οἰηθείη τοῦ ἀπ' ἐναντίας τούτων χωροῦντος, κἂν ὅτι μάλιστα βούλοιτο.

Ἀλλ' ἐπειδὴ ταῦτα, καὶ οὐδὲ χεῖρον πολυγαμία πορνείας τῇ φύσει τοῦ πράγματος ἀναφαίνεται, πῶς ὑμῖν τὸ μετὰ τοῦτο δόξει; ἆρά γε Βασίλειον ὑπεναντίον τῆς ἀληθείας προϊέναι; ἢ ἔτι πρὸς μέμψιν ἡμῖν ἐπικείσεσθε, εἰ μὴ ἐξ οὐκ εἰκότων συνισταμένων τῶν παρὰ ⟨τοῦ⟩ πατρὸς ἡμῖν προτεινομένων καὶ ἡμεῖς ἀνήκοοι διαμένομεν; ἀλλ' ἀδικοδοξούντων ἡ γνώμη, κἀμοὶ οὐκ ἀηδὲς ἤδη τὰς τῶν τοιούτων παρὰ φαῦλον καταγνώσεις ἡγεῖσθαι. εἰ δὲ καὶ τούτοις ἐπὶ νοῦν ἐπέλθοι ὡς τὸ μήπω μήτ' ἀποστόλῳ μήτ' ἄλλῳ δόξαν ἱερῷ τε καὶ θείῳ πατρὶ αὐτὸς καταπράξομαι, χαριζόμενος φιλίᾳ πολυγαμίαν ἀναθέματι καθυποβαλών, καὶ Χριστιανῶν τε καὶ ἱερέων θεοῦ ἀποτεμὼν ἐμαυτὸν τὸ ἀδιάλλακτον πρὸς τούτους ἐμαυτῷ διὰ βίου πραγματεύσομαι τὴν εἰς τήνδε τῆς ἐκκλησίας περὶ τούτων συνήθειαν ἀθετήσας καὶ τὸ τῆς εἰρήνης δῶρον, ὃ τῶν Χριστοῦ γνώρισμα μαθητῶν, διαφθείρας, ποῦ μοι τὸ λοιπὸν στῆναι συνοίσει, ἐπειδὰν | [63v] *τῇ τούτων καταπράξει τῷ ἀληθινῷ παραπεμφθείην καὶ ἀποστολικῷ ἀναθέματι; τί γάρ φησι Παῦλος; ʿεἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ*

27–28 Mt. 10, 13 || **31** – p. 113, **1** Gal. 1, 8

6 *ὡρισμένῳ*] -*ῳ* ex -*ως* **M** || **17** *τοῦ* add. Wk | *πατρὸς*] *π(ατ)ρὶ* potius quam *π(ατ)ρ(ὸ)ς* **M** || **20–21** *καὶ τούτοις*] aut *καὶ τοῦτο* aut *πρὸς τούτοις* leg.

παρελάβετε, ἀνάθεμα ἔστω'. πάντως δὲ τῶν Παύλῳ παραδεδομένων Κορινθίοις ἓν καὶ τοῦτο, τὸ 'διὰ τὰς πορνείας ἕκαστος καὶ ἑκάστη'.

Εἰ δὲ πλανῶμαι ταῦτα φρονῶν, ἐπιστρεψάτω τὸ πρό-
5 *βατον ὁ ποιμήν, τὸν υἱὸν ὁ σοφὸς καὶ φιλότεκνος πατήρ· ὡς εἴ γε μὴ τούτων τι εἴη, ἄλλως δὲ φιλίαν τις οἴοιτο τὸ πᾶν ἐμοὶ κατεργάσασθαι, ἴστω μακρὰν ἀπαγόμενος τοῦ προσήκοντος. οὐδὲν γὰρ ἐμοὶ προτιμότερον ἀληθείας, ὥσπερ οὐδὲ κακῶν παρακλήτορος βδελυκτότερον.*

1–3 1 Cor. 7, 2

11

Πρὸς τοὺς συκοφαντοῦντας ἡμᾶς πολυγαμίαν κηρύσσειν

„Adversarii nostri cum ubi consistant non habeant, ad falsas accusationes confugerunt, ut olim Iconoclastae et ut Novatiani Chrysostomum insectantes; ita nos qui patrum exemplum secuti sumus impugnantes ipsi speciosa castitate ad omne genus immunditiae homines impellunt. non est idem aliquam rem commendare ac semel factam ad bonum finem perducere. sic et Paulus Timotheum circumcidit coactus, neque ideo circumcisionem suasit. nos ne unum quidem matrimonium omnibus commendamus, plures poenis a patribus traditis coercemus."

Eodem pertinet quo duo superiora opuscula.

Λέγουσιν οἱ μισοῦντες καὶ διαβάλλουσιν ἡμᾶς τοῖς ἑαυτῶν ἀσυνετωτέροις – ἐπεὶ γὰρ μηδαμοῦ στῆναι ἐφ' οἷς ἔδοξαν δικαιοῦν ἑαυτούς, ἀλλὰ τὸ ἄπορον πάντοθεν 5 *ἀνευρίσκοντες, οὔτε γὰρ κρίσει κανονικῇ, οὐκ ἐκκλησιαστικῇ συνηθείᾳ ἔχοντες ἐπερείσασθαι τῇ περὶ γάμων ἀγνωμοσύνῃ, ἐπὶ συκοφαντίας ἀπεῖδον, ἕτερον τρόπον ὃν καὶ εἰκονομάχοι εἰς εἴδωλον τὴν εἰκόνα τοῦ θεανθρώπου ἐνδιαβάλλοντες τοὺς ἀνουστάτους οὗ μὴ φόβος ἦν ἐμορμύ-* 10 *ξαντο· καὶ Ναυατιανοὶ πάλιν τὴν ἐπὶ τοῖς ἁμαρτάνουσιν ἄφατον τοῦ θείου φιλανθρωπίαν καὶ τὴν ʽὁσάκις πέσῃς ἔγειραι καὶ σωθήσῃʼ τοῦ ἱεροῦ Ἰωάννου σωτηριωδεστάτην διδασκαλίαν εἰς παράκλησιν ἁμαρτίας διελοιδορήσαντο ἐξενηνέχθαι τῷ θείῳ πατρί, τῇ συνεχείᾳ δῆθεν τῆς* 15

10 Ps. 13, 5 || **11**–p. 115, 5 cf. Socr. Hist. eccl. 6, 21 || **12–13** cf. Chrys. de poenit. hom. 8, 1, PG 49, 337, 16–17

11 Karlin-Hayter[4] 121–125 || **4** fort. ⟨εἶχον⟩ στῆναι

συγχωρήσεως ἐπὶ τὸ ἀνενδότως ἁμαρτάνειν ἀνθρώπους
προτρεπομένην, ὧν εἷς καὶ Σισίννιος ὁ κατ' ἐκεῖνο καιροῦ
ἐπίσκοπος Ναυατιανῶν πολλὴν ὡς ἐδόκει παράνοιαν καὶ
ἀτοπίαν τοῦ ἱεροῦ διδασκάλου κατασκεδάζειν ἐπὶ τῇ φιλ-
5 ανθρώπῳ ταύτῃ φωνῇ θρασυνάμενος· παθόντες οἱ δείλαιοι
τοῦτο, εἰκονομάχοι φημὶ καὶ Ναυατιανοί, τῷ μὴ κρίνειν
εἰδέναι καὶ διαστέλλεσθαι κατ' εὐθύτητα τὸ προθυμίᾳ μὲν
ἴσως ὀρθότητος τοῦ στόματος ἀπορρεῦσαν, μὴ κατ' ὀρ-
θότητα δὲ τῇ κρίσει διαστελλόμενον, ὃ καὶ Κάϊν εὐθύνε-
10 ται πρὸς τοῦ κρείττονος· — τοιοῦτο καὶ νῦν οἱ καθαρώτα-
τοι διανοούμενοι καὶ φιλάδελφοι ἀποσκώπτουσιν εἰς ἡμᾶς,
οὐδὲν δὲ ἧττον καὶ εἰς τοὺς πρὸ ἡμῶν ταῦτα διεγνωκότας
θείους ἀνθρώπους, τῷ τὴν πολυγαμίαν μεθίεσθαι φάσκον-
τες ἐπὶ χοιρώδη ζωὴν τοὺς ἀνθρώπους ἐλαύνοντας, αὐτοὶ τῷ
15 ὄντι τῷ προσποιήτως ἀχράντῳ βορβορωδῶς ἀνιέντες τοὺς
ἀνεχομένους τοῦ βίου τὴν οἶμον ἐλαύνεσθαι καὶ μὴ ἄν ποτε
σωφροσύνης χαλινῷ περικάμπτεσθαι. τῆς γὰρ ἐλέγχειν
τὰ ἄτοπα τῶν ἀκρατῶν καὶ τὴν πύρωσιν τῆς ὁρμῆς τῇ πρὸς
ἑαυτὴν συνελεύσει καταμαραίνειν δυναμένης ἀπούσης πρὸς
20 ποίαν ἂν οὐχὶ χω|ρήσειαν αἰσχρότητα οἱ ἀκόλαστοι καὶ 64ʳ
τί τῶν ἀφροδισίου ἐχομένων μανίας οὐ καταπράξωσιν;
ἆρα συνίετε τὸν ὄλεθρον, ἄχραντοι, ἐφ' ὃν κατεπείγετε
τοὺς ἀνθρώπους τὸν ὅσον δή τι πρὸς σωφροσύνην περι-
σφίγγοντα κημὸν περιαιροῦντες; ἢ ἔτι καὶ μετὰ τὴν
25 ἐπίγνωσιν τῆς ἀληθείας ἐνιστάμενοι ἀλογίστως καὶ τῆς
περὶ ἁμαρτιῶν ὑπολειπομένης ὑμῖν θυσίας ἑαυτοὺς
ἀμοίρους παρασκευάζετε; ἀλλ' οὐ σωφρόνων ὁ λογισμός,
παρακοπτόντων ἡ κρίσις, οἷς μὴ ἔχειν τινὰ ἀντειπεῖν
ἀποδιατρίβειν ἄλλως τὰ σωφροσύνης ἐχόμενα.
30 Ἡμεῖς μὲν οὖν, εὖ ἴστε, οὐχ ὥσπερ ὑμεῖς συκοφαντεῖν
πεπονήρευσθε πολυγαμίαν νομοθετοῦμεν, ὅτι μηδέ τις
τῶν θεοφόρων πατέρων, συμβᾶσαν δὲ θεραπεύομεν τοῖς

8—10 Gen. 4, 7 || **24—27** Hebr. 10, 26

18 ἀκρατῶν] ἀκροατῶν M, mg. ἀκρατῶν ἴσ. || **21** τῶν . . . ἐχομένων Wk: τὸν . . . ἐχόμενον M || **30** ἴστε Wk: ἴσθε M

ὑπ᾽ αὐτῶν τῶν πατέρων ἀνευρημένοις φαρμάκοις. οὐ δήπου δὲ παρά γε γνώμοσι σωφρονοῦσιν ὅ τις γενόμενον παραθεωροίη τῶν εἰς κακίαν κουφοτέρων ἢ καὶ αὐτὸς ἄλλως ποιήσει, ἤδη καὶ κηρύσσειν ὑποπτευθείη· ἀλλὰ τὸ μὲν τῇ τῶν πραγμάτων ἀσταθμήτῳ φορᾷ προσνε- 5 μηθείη, τὸ μὴ κηρύσσειν δὲ τῷ μηδαμῶς γεγενημένον ἰδίᾳ κρίσει τοῦ μεθιέντος ἐπισυμβῆναι προσλογισθείη. ταύτῃ τοι καὶ Παῦλος Τιμόθεον περιτεμεῖν οἰκονομήσας περιτομὴν κηρύσσειν ἥκιστα βούλεται, ὡς τοῦ μὲν ἔργου τὸ κατηναγκασμένον ἐμφαίνοντος, τοῦ δὲ κηρύσσειν τῶν 10 περιστατικῶν ἁπάντων χηρεύοντος καὶ πρὸς τὸ ἐλευθέριόν τε καὶ πεπαρρησιασμένον καλὸν ἀνατρέχοντος. τὸν ὅμοιον καὶ ἡμεῖς μετὰ τῶν θεοφόρων πατέρων τρόπον πολυγαμίαν μὲν οὐ κηρύσσομεν, ὡς βλασφημούμεθα τοῖς ἀσυνέτοις, οἵ γε μηδὲ μονογαμίαν – ἢ γὰρ ἂν πάντας ἐπὶ τοῦτο συν- 15 ωθοῦμεν ἀνθρώπους, – γινομένοις δὲ τὸν πρῶτον μὲν οὐδὲν εὐθύνοντες ἀσπαζόμεθα παρ᾽ οἷς ἀνεῖται τελεῖσθαι, τοῖς μετὰ τοῦτον δὲ ἀχθόμενοι μέν, πλὴν οὐκ ἀποβαλλόμενοι ταῖς καταλλήλοις ὑποβάλλομεν ἀπὸ τῶν ἱερῶν λαβόντες πατέρων βοηθείαις. κρεῶν γὰρ μὴ παρόντων στέργομεν 20 ταρίχῳ κατὰ τὴν παροιμίαν, ἀλλ᾽ οὐχὶ καπνὸν φεύγοντες εἰς τὸ πῦρ ἐναλλόμεθα, ὅπερ οἱ πολυγαμίαν φεύγοντες εἰ πάσχειν ἐπείγονται, τὸ ἀκαταγνωστότερον φεύγοντες τοῖς ἀκολάστοις ἐνέχονται, τὰ σωφροσύνης δεσμὰ διαρρήξαντες.

8–9 Act. 16, 3 || **20–21** CPG I 28; II 7; 289 || **21–22** CPG I 314; II 474

12

Πρὸς τοὺς ἐπισκώψαντας τὸ παλίμβολον

Monet eos qui sua argumenta contra se afferant alienis plumis gloriantes, ut cogitent consilii mutationem et Paulo obici posse et ipsi Salvatori. Alexandrum vero quod patronum assumant, vanitatis et nequitiae se ipsos convincere.

Nicolaum petit hoc libello scripto inter Alexandri mortem (d. 6 Iunii 913) et pacem restitutam (d. 9 Iulii 920).

Πυνθάνομαί τινας τῶν μισούντων – φθονούντων γὰρ ἀληθέστερον μὲν ἴσως εἰπεῖν, πικρότερον δὲ τοῖς μὴ κατὰ τρόπον τῶν ἡμετέρων ἐπακούουσι λόγων, ἐπεί τοι καὶ τὸ
5 *ἀληθές ἐστι πικρόν – πυνθάνομαι τοιγαροῦν τούτους, ἐπὰν αὐτοὶ μηδὲν ἔχωσι γενναῖον τῶν ἑαυτοῖς πρεσβευομένων πρὸς τοὺς διελέγχοντας ἀντιτιθέναι (πόθεν γὰρ ἢ πῶς;), ἐπὶ τοὺς ἡμετέρους ἀφορμᾶν τάχιστα λόγους | ὡς* 64ᵛ
πρὸς ἱεράν τινα καταφεύγοντας ἄγκυραν καὶ τούτοις ἡμᾶς
10 *καταβαλεῖν ἐκδεδίττεσθαι, λέγοντες μέν τι, οὐ μέντοι γε καὶ ὅσον βούλονται. ἐγὼ δέ, εἰ μέν τι καὶ ἄλλο τοσοῦτον εἰς κατηγορίαν τῆς τούτων ἀσθενείας ἐστὶν εὑρεῖν οὐκ ἔχω εἰπεῖν, καθ᾽ ἓν μὲν ὅτι μὴ τοῖς οἰκείοις ὅπλοις ἀλλὰ τοῖς ἑτέρων τὴν ἑαυτῶν ἐφοπλίζουσι φάλαγγα οὐδὲ τοῖς*
15 *ἐγγενέσι πτεροῖς κολοιοί, ἀλλὰ τοῖς νόθοις διαγινώσκουσι καλλωπίζεσθαι, καὶ ταῦτα μεταμαθόντων κατὰ τὸ σῶφρον τὸ δέον τῶν οἷς ἐπιρρώννυσθαι κατεσπουδάκασι τοῖς λόγοις πρὸς τὴν εὐθύτητα ἀποκεκλικότων νόμοις*

9 CPG I 265; II 118 || **10–11** cf. Plat. Reip. I 329e 6–7 || **15** Fab. Aesop. 103 Hausrath

12 Karlin-Hayter[4] 121–125 || **18** *πρὸς τὴν*] fort. *πρός τε*

ἐμφρόνων καὶ γνώμῃ συνέσεως μεγαλόφρονος· ἀφ᾽ οὗ γε δὴ καὶ τῇ ἐν ῎Αισμασιν εὐθύτητι ἠγαπήθησαν, οὐ πρὸς δεξιά, οὐ πρὸς ἀριστερὰ μεταταττομένῃ, τιμώσῃ δὲ τὸ 'μηδὲν ἄγαν' καὶ τό γε μέσον ἀεὶ τεμνούσῃ καὶ ἀκλινές. ἀλλ᾽ οὖν παραγέτωσαν καὶ τοῖς ἡμετέροις ἡμᾶς ἁλίσκειν 5 πτεροῖς βιαζέσθωσαν· οὕτω γὰρ μόνως γνοῖεν αὐτοὶ πλανώμενοι σύνεσιν καὶ ταῖς ψελλιζούσαις αὐτῶν γλώσσαις λαλεῖν εἰρήνην ἐκμελετήσωσιν. καθ᾽ ἓν μὲν ἂν τοῦτο· καθ᾽ ἕτερον δέ, οἳ γὰρ αὐτοί μοι δοκοῦσι καὶ Παύλῳ τῷ ἱερῷ καὶ τῶν ἐθνῶν κήρυκι καὶ δὴ καὶ αὐτῷ τῷ ἡμετέρῳ σωτῆρι 10 τὰ ὅμοια ἐγκαλεῖν, ἀεὶ τῷ παραφόρῳ πλανώμενοι πνεύματι, καὶ μήτε καιρὸν εἰδότες ἑκάστῳ πράγματι παρομαρτοῦντα, μὴ μέτρον ἐπαινουμένης ἐνστάσεως, ἀλλὰ καθάπαξ τρέχειν ἀφωρμημένοι κατὰ τοὺς ἐνυβρίζοντας τῶν πώλων μὴ ἂν ἀνασχέσθαι τοῦ χαλινοῦ τὴν ῥύμην αὐτῶν 15 ἀνακρούοντος, μέχρι καὶ πρὸς ἀπόρους κρημνοὺς ἑαυτοὺς ἐξωθήσωσιν αὐτῷ χαλινῷ καὶ ἀναβάτῃ. ἀλλὰ Παύλῳ μὲν ἐπιμέμψονται ὀλιγωρίαν, ἴσως δὲ καὶ ἀσέβειαν (τί γὰρ οὐ χρὴ τῇ ἀπονοίᾳ τούτων χαρίζεσθαι;) τὸν πατρικὸν ἀθετήσαντι ζῆλον, εἰ καὶ μὴ κατ᾽ ἐπίγνωσιν οὗτος, αὐτῷ 20 Παύλῳ χρήσασθαι μάρτυρι, μηδὲ τὴν ἰδίαν διὰ τέλους στῆσαι τετηρηκότι δικαιοσύνην χάριν ἀποτίνοντι Ἑβραίοις, τῇ τοῦ θεοῦ δὲ ὑποταγέντι· καὶ πρό γε τούτου τῷ θεανθρώπῳ ἅτε δὴ μὴ τοῖς Ἰουδαίοις μόνοις περικεκληκότι τὸ κήρυγμα, ὃ καὶ αὐτὸς μᾶλλον πολλαχοῦ διεβεβαιώσατο, 25 μόνοις ἀπεστάλθαι τοῖς ἐξ Ἰσραὴλ διατεινόμενος πρόβασιν, ἀλλὰ πρὸς ἅπαντα μεταταξαμένῳ τὰ ἔθνη. οἷς οὖν τούτους καταστήσαιεν ὑπευθύνους, τούτοις καὶ ἡμᾶς ὑπαγάγοιεν· Ἀλέξανδρον δὲ τότε προστήσωσιν ἑαυτῶν συνήγορον, ὅταν ματαίους ἑαυτοὺς ἀποφήνωσι καὶ ἄλλως 30 ἐπιγεγραμμένους τῇ ἀρχιερωσύνῃ καὶ τῷ διδασκαλικῷ

1–2 Cant. 1, 4 ‖ **4** CPG II 80 ‖ **6–8** Is. 29, 24 ‖ **11** ib. ‖ **20–21** Rom. 10, 2–3 ‖ **26–27** Mt. 15, 24; cf. 10, 5–6; Mc. 7, 27 ‖ **27** Mt. 28, 19; 24, 14; Mc. 16, 15

24 περικεκληκότι Wk: περὶκεκλικότι **M**

ἀξιώματι, καὶ δὴ τὸ ᾀδόμενον πρὸς πέρας ἐνέγκαιεν ὡς κακοδαιμονοῦντες Χριστιανοὶ Ἑβραίῳ κεχρήσονται προστάτῃ. ἡμεῖς δὲ οὐκ ἀπορήσομεν ἀνταγωνιστοῦ τοιούτου πολλοὺς ἔχοντες Ἀλεξάνδρους, οὓς τὸ συγκλύδων παρα-
5 *στήσεται γένος καὶ τῶν ἐξ ἀγορᾶς τε καὶ μιλίου οἱ φημιζόμενοι διαγυμνάσαντες καῦκοι, εὖγε ποιοῦντες συνάπτοντες ὅμοιον ὁμοίῳ, ὡς ἂν καὶ κατὰ τοῦτο τὸ κρίνειν ὀρθῶς ἕκαστα μᾶλλον αὐτῶν εὐμοιρήσωμεν.*

4 cf. Aristoph. Eq. 181 || 6–7 CPG I 350; II 561; cf. I 113

13

65[r] *Πρὸς τὸν ἀντιγράφειν ἀποθρασυνόμενον*

Insultat adversario cuidam contra se scribere paranti. Nicolaum eum esse et hanc epistulam ad sequentem tractatum pertinere mihi pro certo est.

Κροίσῳ τῷ Λυδῶν βασιλεῖ ναυτικόν ποτε καθ' Ἑλλήνων τῶν τὰς νήσους οἰκούντων κατασκευάζοντι στόλον ἀπήγγελλε τῶν τις νησιωτῶν ἵππον μυρίαν συνωνεῖσθαι νησιώτας ἐπ' αὐτὸν Κροῖσον, ἱππικὴν ἐπασκήσοντας 5 *δύναμιν. καὶ ὃς ἀνευφήμει τε παραυτίκα, ἡδονῇ περιστοιχιζόμενος ὅση πλείστη, καὶ τοῖς ἑαυτοῦ θεοῖς ηὔχετο· 'εἰ γάρ', ἔλεγεν, 'ὦ θεοί, ταύτῃ νησιῶται Κροίσῳ ἐφορμηθεῖεν, ἵν' ἔχοιεν οὗτοι τῆς σφῶν ἀβουλίας τἀπίχειρα'. καὶ δὴ τάχιστα ὁ ταῦτα διαγγέλλων ὑπολαβὼν* 10 *'τοῦτό τοι' ἔλεγεν 'εὔχονται νησιῶται, Κροῖσον ναυσὶ νησιώταις συμβάλλειν, γνώσεσθαι γὰρ οἷος οἵοις ἐπιχειρεῖ'. ἐπεὶ καὶ οὕτως εἶχεν· ὃ γὰρ ἠπειρώταις οὖσι Λυδοῖς εἰς κράτος ἡ ἵππος, τοῦτο θαλαττεύειν εἰθισμένοις τοῖς νησιώταις αἱ νῆες.* 15

Τί μοι βούλεται τοῦτο; τὴν πρὸς τοὺς ἀντιγράφειν ἡμῖν ἐπιχειροῦντας παριστᾶν ἡμῶν προθυμίαν· αἲ γὰρ ὡς εἴη, φίλε Μενέλαε, καὶ λαβοίμην μετὰ χεῖρας τὰ τούτων. καὶ πῶς γὰρ ἂν ἄλλως γνοῖεν Μελαμπύγῳ, τὸ παροιμιῶδες, περιτυχόντες ἢ οὕτως, καὶ γέλωτα προσοφλήσουσι πλα- 20 *τὺν οἱ νῦν τινὲς ἐπὶ λόγους εἶναι κομπάζοντες; δοκῶ δέ μοι καὶ τὴν τοῦ μυθευομένου μυὸς αὐτοὺς ἀπευχὴν ἐπαναλαβεῖν, ὃς τρυγὶ πίθου περιτυχὼν καὶ πλέον τοῦ προσ-*

2–15 Herod. 1, 27 || **17–18** Hom. Δ 189 || **19–20** CPG I 119; II 79

ἥκοντος σπάσας τῆς ὑποστάθμης ἐπῆρτό τε τῇ οἰνοποσίᾳ καὶ πρὸς ἐνάμιλλον ἀγῶνα καταστῆναι αἰλούρῳ ἀπηυθαδίζετο· καί πως, ἔτυχε γὰρ ἐξ ὑπογυίου αἴλουρος φωνήσας, τοῦ δ' αὐτοῦ λύτο γοῦνα θεῷ τε κατὰ τὸ φορτικὸν ἐπε-
5 *μέμφετο, εἰ πολλῶν ἄλλων εὐχαῖς αὐτῷ προσλιπαρούντων τῶν μὲν ἀναβάλλεσθαι τὴν αἴτησιν καὶ εἰς ὅλον αἰῶνα, μυῒ δὲ ἀκροθώρακι θᾶττον ἢ λόγος ἐπιτελῆ τὴν εὐχὴν ἀποδείκνυσθαι.*

4 Hom. Φ 114

7 ἐπιτελῆ Wk: ἐπὶ τελετῇ M

14

Ἀρέθα ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας ἀντιρρητικὸς πρὸς τὸν καθηγεμόνα τῶν ἀπὸ τῆς θείας γραφῆς πειρωμένων τοὺς σώφρονας ἀθετεῖν γάμους, ἐπὶ πορνείαν δὲ ἀσελγῆ τοὺς ἀνθρώπους προτρεπομένων, οἳ καὶ πορνοκήρυκες εἰκότως ἂν ὀνομάζοιντο 5

Antirrheticum quo tempore composuerit Arethas haud facile dispicitur propter indiciorum discrepantiam. nam ante m. Maium a. 912 scriptum esse ex eo colligas quod Leonem tamquam vivum memorat et divortium exigendum esse negat (p. 143, 8–16; 173, 8 u. ad 174, 14), Nicolaum autem quae contra quartum matrimonium scripserat silentio tegere maluisse dicit (p. 127, 1—128, 22) neque ullo in eum convicio abstinet (p. 141, 5—23). obstant tres causae gravissimae: una quod Nicolaum, quamvis indignum, munera patriarchae obire ait (p. 149, 25–151, 3); altera quod fratrum crudeles cruciatus ei obicit, nimirum Euthymii et sociorum eius iudicium significans (p.146,1–10); tertia quod non semel Op. 9 citare videtur, procul dubio post a. 912 scriptum (p. 155, 1–9, et praesertim p. 159, 10–12). reliquum est ut putemus Leonem oratorio artificio vivum induci et per suam legem loquentem. Nicolai anxietas et Arethae superbia ita explicari possunt, si post m. Febr. a. 914, cum Nicolaus regia pulsus esset, utrumque scripsisse existimemus.

Quae continet liber haec sunt:

Praef. Cum prava superbia inductus ea scripseris quae turri Babyloniae vel montibus ab Oto et Ephialte cumulatis comparari possint, multa in iis reprehendenda invenio, unum laudandum quod luci subtrahere maluisti. nunc vero postquam evulgata sunt, Deo iuvante ad redarguendas tuas nugas adcingar, ita tamen ut potiora tantum eligam eaque ad verbum descripta praemittam.

14 Karlin-Hayter[5] 395–487

I. Unam uxorem Adae dedit Creator, non plures. – Hoc argumentum Carpocrates et Cerdones decet, qui secunda matrimonia omnino vetant. an statim ab initio multas uni creari oportebat? praeterea ista ratione etiam viduae nubere prohibentur. etiam bruta animalia unam femellam tunc habuerunt; sed si omnia secundum illius temporis morem fieri vis, et soror ducenda erit et corpus nudandum et aspero cultu vivendum. id si recusas, desine Pauli praecepta humanas dispensationes dicere.

II. Illud 'faciamus ei adiutorium' non ad propagandum genus pertinet, sed ad laboriosam vitam, unde et feminis tamquam imbecilliori sexui alterum coniugium permittitur. – Ita tamen apostolus Deo adversabitur. cum vero de non nuptis et viduis loquitur Paulus (1 Cor. 7, 8), ne viros quidem excludit, ut et 7, 27–28 apparet. quodsi in adiutorium femina data est, quoties auxilio opus est, matrimonium permittetur, viro propter Creatorem, mulieri propter Paulum. quid quod, si ducere viduo non licet, vix ulla vidua maritum inveniet? in quantas turpitudines incidere feminas sic desolatas putemus?

III. Uxor propter quam patrem et matrem relinquit vir, prima est, eaque sola proprie uxor vocanda. – Sed et qui iterum ducunt, parentes relinquunt, ad quos vidui facti redierant; quorum nonnulli alteri uxori magis 'adhaerent' quam priori. cum ergo idem in secundum matrimonium cadat necnon in amorem scorti, quid ad rem? vocabula 'in unam carnem' sive de amore mutuo intellegenda sunt sive de liberis communibus, vestrae opinioni adversabuntur. nempe Paulus iis utitur de meretrice loquens (1 Cor. 6, 16). si vero de coitu ea excipere vis, et idem sequetur et ridiculus eris.

IV. Si quartum concedendum est, omnibus, non uni. – Tetragamiam canonibus interdictam esse ostendere non potes; nam patres Neocaesarienses et Basilium de 'plurimis' et 'multis' loquentes etiam de quarto loqui non intellegis? an ut diaboli quaternarium numerum times? nos vero et creationi et saluti nostrae eum numerum proprium esse scientes, nulli portas salutis claudimus, neque uni permittentes neque omnibus suadentes.

V. Illud Domini 'quod Deus coniunxit, homo non separet' ad primum illud coniugium spectat. – Sed ne Iudaei quidem monogamiam observaverunt. quodsi Deum Adae νυμφαγωγόν dicis, cur non et ceterorum animalium? Pharisaei vero non de numero coniugiorum, sed de divortio quaerebant.

VI. Ut una Eva et una culpa, ut una Maria et una redemptio, ita una uxor uni viro esse oportet. – Talia docendo cave ne incidas in anathema apostolicum contra eos qui prohibent nubere.

quod una mater Christo fuit, id secus fieri non potuisse in aperto est. ceterum quandoquidem culpa redempta est, cur non omnino matrimonium abroges?

VII. Si novum testamentum veteri praestat, sub vetere testamento autem plura coniugia nonnisi ad propagandum genus fratris concedebantur, efficitur ut nunc nullo modo tolerari debeant. – Quae est ista praestantia vitae, cuius vos scilicet exemplum editis, non solum victu et cultu, sed et ipsa re venerea? in vetere testamento polygamiam vetitam fuisse quod dicis plane ridiculum est.

VIII. Christus venit ut sublimiorem rationem vitae nos doceret, quippe qui virum ab uxore se separaturum esse professus sit. – Ita Christi verba excipienti nec primum matrimonium neque ullum vinculum cognationis relinquetur. verum etiam infidelem uxorem esse retinendam dixit Paulus, cui tu non minus quam Agareni adversaris.

IX. Homo secundum ordinem a Creatore constitutum vivere debet, haec matrimonia humanae indulgentiae sunt. – Sic et animalibus monogamia imponitur. ego vero principi in alios quondam severo, nunc ipsi humana indulgentia egenti ignoscere malo.

X. Paulus dicit episcopum unius uxoris virum esse debere. – Sed semel ordinato ne primum quidem coniugium episcopo conceditur: num propterea illud quoque reiciendum erit? immo unicuique secundum suae condicionem vitae omnia aut decent aut dedecent, sicut monachis caro et balneum et omnis luxus negatur, tibi non item. quid quod argumenta tua ratione carent, quod patres contra Deum excitas, quod imperatore post tertium coniugium ipse familiariter usus es?

XI. Illud apostoli 'melius est nubere quam uri' ad primum dumtaxat matrimonium pertinet. – Semper aliquid a contextu orationis divellendo imperitos in errorem inducis; idem in canonibus faciens fratres nostros enecare constituisti. at revera Paulus viduos et viduas designat. de ceteris taceo, quia et alibi ea refutavi nec cum homine disputationis ratione experti disputare utile est; unum moneo, id quod citra pulcherrimum est non necessario turpe esse.

XII. Quae dicit apostolus de amore coniugali (Eph. 5, 28–29) alterum matrimonium excludunt. – Et hic et in sequentibus cum haereticis consentis, non videns neque ecclesiam nec qui capita eius sunt sacerdotes semper eosdem esse. ipse, cum obdormiverunt antistites, alios sponsos ecclesiis das, idque sine ullo modo; immo vero etiam vivo priore alterum tertiumque inducis. ceterum rectissime te ipsum sponsum ecclesiae non agnoscis, qui eum hono-

rem detrectaveris. sed qua es insipientia fugit te Paulum diserte clamare 'quodsi non se continent nubant'.

XIII. Cum Basilius tertium matrimonium fornicationem temperatam vocet, quid est quartum nisi intemperata? – Basilii canon et in tertium et in cetera coniugia valet, id quod apparet (1) e voce *ἀναλόγως*, (2) ex eo quod dicit 'tale quid' non matrimonium esse, sed polygamiam, (3) ex exemplo Samaritanae, (4) e vocibus sequentibus *τῶν ὑπερεκπεσόντων*, ubi articulus vim generalem habet. nam sextum matrimonium a Domino vituperatur, non ut sextum sed ut clandestinum (ita interpretatur Chrysostomus); et e sexto demonstratio fit de tertio. idem conficitur ex can. 50.

XIV. Polygamia est 'plus quam fornicatio' quia palam fit. – Si Paulus fornicationem fugere iubet, cur id quod peius est commendat? nos vero de vi vocis *πλέον* alibi disputavimus. plane autem absurdum est ea quae palam fiunt peiora dicere secretis, nisi cui secreta magis placent.

XV. Peccata potentium ne fiant exempla vel leges aliis! – Recte, nam nec tuum exemplum imitandum est.

XVI. Dispensatio saluti peccatoris inservit cum condemnatione peccati, ergo ad omnes extendenda. – Extendenda ad omnes participes, at ceteri utique excipiuntur.

XVII. Excommunicatione divortium iniungitur, nam qui a peccato non discedit, in ecclesiam recipi non potest. – Respondebo quod quondam Paulo Doraletae respondi: ne a fornicatore quidem discidium poscit Basilius in can. 26.

XVIII. Falso dicunt Basilium polygamiam 'plus quam fornicationem' dixisse ut peiorem fornicatione temperata, scilicet trigamia; fornicationi enim remedia adhibuerunt patres, polygamiam silentio damnaverunt. – Cum ego quondam demonstraverim (Op. 9) de particulari quadam fornicatione eaque indefinita loqui Basilium, tu id quod adhuc indefinitum est divisioni subicere conaris. sed et patres et Basilius de polygamia canones dederunt; quod autem porcinam vocaverunt, ad mores potius referendum est quam ad ius canonicum.

XIX. Dicunto unde sibi ista potestas indulgendi: aut enim a Spiritu Sancto (sed in legibus ecclesiae nihil de hac re) aut a spiritu contrario. – Ut vulpes in fabula, quod ipse perficere non potuisti recusante imperatore, eo nobis qui peregimus invides. nam cum alio modo nihil impetrarem, Basilio oboediens condonare malui. at spiritus malitiae, qui est spiritus superbiae, apud te potius habitat.

XX. Consensu aliquot episcoporum matrimonium istud comprobatum esse dicunt; at pravi consensus exempla multa habet Scriptura. – Vos vero non solum consensistis, sed teste Plotino etiam coniurastis, quod est contra canonem Chalcedonensem. exempla tua ineptissima sunt. concilium sextum in sacerdotes qui iterum uxorem duxerant mitius fuit quam per canones licebat, nulla alia necessitate nisi misericordia commotum.

XXI. Si vestra compassio propter Deum est, omnes ea fruantur, magisque pauperes. – Omnis compassio communis naturae ergo est. iniustum est propter fortunam imperatori negare quod aliis des. si respondeas ita omnes ad infinitum numerum matrimoniorum incitari, rei ipsius oblitus cavillationes Iuliani et Novatianorum imiteris.

XXII. Hominis vita non necessitate gubernatur, sed Creatoris voluntate et nostro arbitrio. – Haec nihil ad rem.

XXIII. Qui dicunt illud 'plus' canonis 80 idem valere quod 'peius quam trigamia', Basilium insulsum hominem esse volunt. – Nemo nostrum id quidem dixit. de re supra egimus (XIV, XVIII).

XXIV. Si propterea quod melius est nubere quam uri quartam uxorem datis, et plures dabitis, et plus quam unam simul. – Quid sibi velit ille locus, non ego nescio, tu nescis; cur autem Paulo sapientior esse tibi videris?

XXV. Qui legem tulit, ipse primus observare debet. – Te ipsum ergo examina! quod ad rem attinet, legislatorem non semper sua lege teneri documento est Paulus Timotheum circumcidens, de qua re alibi fusius egimus. nam cum lex ob prave factum fiat, id ipsum quod iam factum est infectum reddere non potest. quod fecit imperator, te auctore fecit, aliis nunc dissuadet; et ex utriusque partis opinionibus optimum eligens neque uxorem dimittit et ceteros suum exemplum imitari vetat.

XXVI. Lex regnantis exemplo non confirmata neglegetur, quandoquidem ipsae leges divinae spernuntur. – Abs te nimirum.

XXVII. Unius peccatum non neglegendum est, nam unius peccato morti traditi sumus. – Attamen Valentiniani duplex coniugium nullo obsistente nemo imitatus est.

XXVIII. Si modicum fermentum totam massam corrumpit, quid faciet tanta vis? – non plus quam tuum fermentum.

XXIX. Memento verborum Pauli 'testor . . . ut haec custodias sine praeiudicio'. – Nihil de quarto matrimonio hic, immo vero in hac ipsa epistula viduis ut nubant suadet; praecipue autem de fide et de consecratione episcoporum ea dicit quae tu nimis oblivisceris, qui homines infimos, aspides et basiliscos, ad sacra ministeria evehis, tuorum consiliorum fautores.

Καὶ τἆλλα μὲν οὐκ ἐπαινῶν σου τῶν μετὰ χεῖρας, μακαριώτατε, μεμφόμενος δέ σε καὶ τῆς ἀπερισκέπτου ἐπιβολῆς, εἰ πλίνθοις ὀπταῖς, νοήμασι λέγω σαθροῖς καὶ γηΐνοις πυρὶ ἀπονοίας τὸ συνεστὼς δῆθεν προσειληφόσιν,
5 ἄλλον Χαλάνης πύργον οἰκοδομῆσαι ἐκμηχανᾷ, ἢ καὶ κατὰ τοὺς Ἀλωέως, τοῦτο δὴ τὸ Θετταλικὸν καὶ μυθῶδες, ὄρη συνεπιβάλλων, ἁδρά τε καὶ ἀκαλλῆ μόνον πρὸς ὑπερήφανον ὕψος ἀνατεινόμενά φημι ἐνθυμήματα, μηδ' ἐν ἑκατέρῳ τούτων τῶν παλαιῶν ἐπαναγόμενος ὑποδειγμάτων, ἐντεῦ-
10 θεν ἀμβατὸν μέν σοι τὸ τῆς θείας γραφῆς ᾠήθης οὐρανόμηκες, μόγις μελέτῃ μακρᾷ καὶ κρίσει λελογισμένῃ σὺν φόβῳ τοῦ κρείττονος καταλαμβανόμενον, οὐχ ὅτι τῷ θέλειν ψιλῷ ἐπ' ἀνηνύτῳ τῷ ἔργῳ σχεδιαζόμενον, πολλοὺς δὲ καλῶς | τό γε ἐφ' ἡμῖν τε καὶ προμηθῶς συνανελκύειν 65v
15 τῶν ἑπομένων, εἰ μὴ ὡς πρός τινας κρημνοὺς ἀνωθεῖν περιγέγονεν ἀποτόμους, ἀφ' ὧν, ὥς γέ μοι δοκῶ, θεηλατούμενοι καὶ κάτω κάρα, τὸ τοῦ λόγου, καταβαλλόμενοι ὀλέθρῳ προφανεῖ παραπέμποιντο αὐτῷ πρυτάνει τῶν βελτιόνων καὶ διδασκάλῳ σοφῷ τε καὶ μεγαλόφρονι καὶ
20 τῆς ἐν ὄψει καθαριότητος γνώμονι, πολλῷ τοὺς ἀπ' αἰῶνος τῷ μέσῳ τῶν ἱερομυστῶν ὑπερπαίοντι καὶ τὰ τοῦ θεοῦ ὄργια ὑποδύντι καὶ τοῖς ἄλλοις ἐκφαίνοντι· – νεμεσῶν δή σοι τούτων ἁπάντων οὐ τῷ τυχόντι, ἓν τοῦτο καταλαμβάνω λυσιτελῶς μάλα τῷ πόνῳ τὸν τούτου προβολέα
25 κατεργασάμενον. τί τοῦτο; τὸ δεῖν ἐν ἀπορρήτῳ τοῦτον φυλάττειν τοῖς σπουδασταῖς διαστείλασθαι, ὡς ἂν ἡ τῷ ἀνελέγκτῳ πλανωμένη παιδεία, εἴ τι τῷ Σολομῶντι πιστέον, τρυφῴη τε τὸ τῆς οἰήσεως ἀμαθὲς καὶ δή γε τὸν ζῆλον πρὸς τὰ τοὺς τόκους γύναια δεδυστυχηκότα προ-
30 άγοιτο, ἐπεί τοι κἀκεῖνα τοὺς τερατώδεις τῶν τόκων καὶ παρασήμους πολλοῖς περιστέλλει τοῖς περιβλήμασιν,

3–5 Gen. 11, 1–3 || **5** Is. 10, 9 || **5–11** Hom. λ 305–316 || **17** cf. Aristoph. Ach. 945, Pac. 153 || **27** Prov. 10, 17

14 προμηθῶς] ex προσφιλῶς **M** || **26** ἡ Wk: ᾗ **M** || **30** κἀκεῖνα Kh: -νο **M**

ἐκεῖνο πάντως πραγματευόμενα, τὸ μή τινι θεαθῆναι τὸ αἶσχος καὶ τοῖς πολλοῖς τοῦτο ποιεῖν ἔκφορον.

Ἀλλὰ τὸ μὲν μέχρι τοσούτου σοφὸν τῷ συγγράμματι· ἐπεὶ δὲ τὴν ἀλαζόνα γνώμην ἐχρῆν δίκας πραχθῆναι τῆς ἀπονοίας μακρὰς καὶ λόγῳ λαμπρῷ διαπαιχθῆναί τε καὶ 5 ἀμάχῳ τὰ τέως τουτοισὶ τοῖς ἰαλέμοις περικροτούμενα, ὡς ἂν στόμα φραγείη πᾶν ἄδικον καὶ τῇ ἀληθείᾳ ὑπόδικον γίγνοιτο, ἤνεγκεν εἰς μέσον θεὸς τὸ ἀπόρρητον, ὀψὲ μέν, ἀλλ᾿ οὖν ἤνεγκεν· ὅπερ εἴτε τῇ Μανιχαίων μιαρᾷ παραβάλλειν ἀπαγγελίᾳ, πολλῷ τοῦ ἑαυτῶν σκότους ἀξίᾳ 10 παραπολαύειν, ἢ τῷ παρ᾿ Ἕλλησι Χαλδαϊκῷ καὶ τῇ ἀνιέρῳ τῷ ὄντι Ἱερᾷ Βίβλῳ φημιζομένῃ, ἐπεὶ καὶ αὐτὰ πολλῇ τῇ κρυφιότητι παραπέμπειν διὰ σπουδῆς Ἕλλησι, καὶ πρό γε τούτων πολλῷ τοῖς Ἐλευσῖνι μυστηρίοις, πολλῇ καὶ ἀπεράντῳ τιμωρουμένοις ἐχεμυθίᾳ, ὡς μὴ μεγίστης 15 ἀνοίας κατάγνωσιν ἐπιμαρτυρῇ τοῖς μυουμένοις ἐξαγγελλόμενα, – τούτων εἴ τινί τις ἐθέλοι παραμετρεῖν τὰ προκείμενα, τοῖς σωφρονέστερον ἐπακούουσι παραχωρῶμεν. αὐτοὶ δὲ χάριν εἰδότες τῇ τούτων ἐνδείξει θεῷ ἤδη καὶ τοῖς ἐλέγχοις αὐτῶν αὐτῷ τῷ λόγῳ τεθαρρηκότες θεῷ 20 πρόσιμεν, παρ᾿ οὗ γε πᾶν ὅ τι καλὸν τοῖς ἐπαναιρουμένοις τὰ κάλλιστα προσπορίζεται.

Τὸ μὲν οὖν ἕκαστα διερευνᾶσθαί τε καὶ ἐλέγχειν τῶν πλημμελῶν ἐννοιῶν αἳ τοῖς μετὰ χεῖρα ἐναποσωρεύονται λογίοις ἔργον ἂν εἴη καὶ κατ᾿ οὐδὲν εἰς ἐκφόρησιν ὑπαλλάτ- 25 τον τοῖς τὴν Αὐγέου κόπρον ἀποκαθαίρουσιν. ἀλλ᾿ ὅπως μήθ᾿ ἑαυτοῖς κόπον ἄλλως περὶ τὰ μηδὲν μνώμεθα κάμνοντες μήτε τοὺς ἀκροατὰς περιβάλοιμεν ἀηδίᾳ τὸ πάντῃ φορτικὸν αὐτῶν ἐκκαλύπτοντες, ὃ καὶ παιδίῳ αὐτόθεν διακωμῳδεῖν περιγένοιτο, τὰ μέν τινα τούτων ἐπὶ χώρας 30

7–8 Rom. 3, 19 ‖ **9–11** cf. Greg. Naz. Or. 29, 11, PG 36, 88 B 13–14 ‖ **13–15** ib. 39, 4, PG 36, 337 B 14–C 1

27 ἑαυτοῖς Wk: -οὺς M

ἐᾶν τῶν βελτιόνων ἡμῖν κατεφάνη ὡς μὴ κενοσπουδίας ἁλῶναι, ἐκεῖνα δὲ μόνα πρὸς εὐθύνας μετακαλεῖν ἃ τὰς τοῦ γεννήτορος οὐκ εὐγενεῖς οἶμαι γονάς, ἀλλά τινας συρφετώδεις καὶ τῶν ἐκ τριόδων ἀποφανεῖ, τοσούτῳ σεμνολο-
5 *γουμένας τῷ εἶναι | ὅσῳ, μᾶλλον δ' οὐδ' ὅσον φάναι πολλῷ* 66r
οἴεσθαι διαπαίζεται. ἔχει δ' ἐπὶ λέξεως ὧδε.

I. Ὅτι τὸ λέγειν τὸν δημιουργὸν τοῦ παντὸς περὶ τοῦ Ἀδὰμ 'ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτὸν' οὐκ ἔστι πλειόνων γάμων ἐπιτροπή, ἀλλὰ μόνου ἑνός· διὰ τοῦτο καὶ
10 μίαν πλάττει γυναῖκα καὶ μίαν ἐξελὼν πλευρὰν τοῦ Ἀδάμ, ἣν καὶ εἰς γυναῖκα διαπλάσας νυμφαγωγεῖ αὐτῷ· ὥστε ἡ παρὰ θεοῦ νυμφαγωγία μίαν οἶδε συνάφειαν, αἱ δὲ παρὰ ταύτην οὐκ ἤρτηνται θείου νόμου, εἰ καὶ ἀνθρωπίνως συγκεχώρηνται.

15 *Τοῦτο καὶ νῦν ἐκεῖνο τὸ τοῦ ἐκκλησιάζοντος Σολομῶντος, 'οὐδὲν καινὸν ὑπὸ τὸν ἥλιον'· παρήγαγε γοῦν ὁ πάντα χρόνος ἀνακυκλῶν καὶ αὖθις ἡμῖν Καρποκράτας καὶ Κέρδωνας, κωλύοντας μὲν ἐννόμως γαμεῖν ἐλευθερίως εἰς ὕπαιθρον, τῇ δούλῃ δ' αἰσχύνῃ κρυφίως καὶ ἀνελευθέρως*
20 *παρακαλοῦντας μιαίνεσθαι, καὶ ἔχοντας μὲν τὴν μόρφωσιν τῆς σεμνότητος ἐν τῷ στόματι, ἐξηρνημένους δὲ τὴν αὐτῆς δύναμιν, εἰ καὶ φαυλοτέρους τούτων εἰς πονηρίαν, καθό γε τό τε περιπτωτικῶς ἑαυτοῖς ὕπεστι προϊέναι καὶ τὸ πολὺ κατόπιν τῆς σφῶν αὐτῶν προάγεσθαι μανίας, φύσεως*
25 *ἀτονίᾳ καὶ λογισμῶν εἰκαίων θρασύτητι· ἢ γὰρ ἂν τῇ*

2 mg. ad *τῶν*] *λείπει ἴσ(ως). Μάξ(ιμος).* || **4** mg. *τὸ ἑξῆς 'τοσούτῳ σεμνολογουμένας τῷ εἶναι ὅσῳ διαπαίζεται, μᾶλλον δὲ οὐδ' ὅσον φάναι οἴεσθαι πολλῷ διαπαίζεται'. καὶ ἔστι τὸ νόημα τοιοῦτο· τοσοῦτον ἐχέτω τὸ σεμνὸν καὶ τοῦ τῶν ἐκ τριόδων ἀπηλλαγμένα*
30 *συρφετῶν, ὅσῳ καὶ τὸ σεμνὸν εἶναι, μᾶλλον δὲ οὐδ' ὅσον ἔχει τις τῶν πολλῶν διαπαίζεται οἴεσθαί τινα ἐρεῖν.*

7—8 Gen. 2, 18 || **15—16** Eccl. 1, 9 || **18** 1 Tim. 4, 3 || **20—22** 2 Tim. 3, 5

2 *ἃ* Wk: *ἂς* **M** || **5** *ὅσῳ*] *ὅσῶν, -ον* ind., **M** || **21** *ἐξηῤημένους* **M** || **23** *τό τε* Kh: *τότε* **M** || **26** mg. ad l. 2 ind. **M** || **28** mg. *ἔστι* Wk: *εἴ τι* **M** || **29** mg. *τοῦ … ἀπηλλαγμένα*] fort. *τὸ … -ον* || **31** mg. *οἴεσθαι* dub. **M**

προθυμίᾳ τῆς γνώμης παρομαρτούσης λήρους ἂν ἐκείνους καὶ παῖδας ἀπέφηναν ταῖς εἰς κακίαν ἐφόδοις ἀποκρυψάμενοι. οἷον γὰρ αὐτῶν τὸ προκείμενον εἰς ἔλεγχον ἀνοίας τε καὶ ἀπονοίας σκοπῶμεν.

Τὸ πλάσαι φησὶ τὸν δημιουργὸν μίαν γυναῖκα τῷ πρώτῳ 5 *ἀνθρώπῳ, τούτῳ τὴν πρωτογαμίαν αὐτὸν εἰσηγήσασθαι μόνην ἀνθρώποις. ἐβούλετο γὰρ οἶμαι ὁ θαυμάσιος οὑτοσὶ γραμματεὺς τὰ τῆς φύσεως πρωτουργὰ σπέρματα εἰς πλῆθος ἐξ ἀρχῆς προαχθῆναι καὶ ἀντὶ μιᾶς πολλὰς πλασθῆναι γυναῖκας, ὡς τῇ τοῦ θελήματος ἐπιδόσει* 10 *τῶν τε ἀλόγων τὴν λογικὴν φύσιν καταδεέστερον ὁρᾶσθαι τῶν εἰς σωφροσύνην χωροῦσαν καὶ μὴ μιᾷ ἕνα συνεῖναι, πολλαῖς δὲ ἕνα, ἤ, ἐπειδὴ μὴ τοῦτο, τῷ ἐνιαίῳ περιωρίσθαι τὰ γαμικά· οὐδὲ τοῦτο συνιεὶς ὁ σοφώτατος, ὡς τῷ γε λόγῳ τούτῳ οὐδὲ γυναικὶ τὸ παράπαν συγχωρηθείη τὸ* 15 *δεύτερον, ἐπεί τοι καὶ ταύτῃ εἷς ὁ Ἀδὰμ πέπλασται. εἰς τί γὰρ γυναικὶ τοῦτο μόνῃ ἐξιδιάζεσθαι; εἰ γάρ τοι φαίη ὡς ἀσθενεστέρᾳ, ἀλλ' οὖν ὁρῶμεν ἀνδρὶ ταύτην ὑπὸ τοῦ πλάστου βοήθειαν, οὐκ ἔμπαλιν δωρηθῆναι· εἰ μή που καὶ τούτου ἑαυτὸν ἡγοῖτο τῷ πλάσματι προμηθέστερον, καὶ* 20 *οὕτως ὁ Καρποκράτης ὢν φωραθείη, τὸν δεύτερον γάμον ἀποπεμπόμενος καὶ νίκην ταύτην νικᾶν μὲν ἀπαυθαδιζόμενος, ἑαυτῷ δ' ὀλεθρίαν, δυσὶν ἤδη παλαίσμασι τῷ θείῳ Παύλῳ ἀντεξαγόμενος, ἑνὶ μὲν ἀνταναιρέσει τῶν γάμων τὸ τῆς πορνείας ἄντικρυς φευκτέον ὑποδυόμενος, ἑτέρῳ* 25 *δὲ ὅτι καὶ ὅν φησι μετ' οὐ πολὺ δεύτερον, εἰ καὶ μὴ οὕτως ἔχει, τὸν Παῦλον συμπεριφερόμενον ἀνθρώποις ἐφεῖναι, νῦν αὐτὸς οὗτος ἀποσκορακίζει μελαγχολῶν.*

Καίτοι τί σοι τὸ μία ἑνὶ συνεπιρρώσει τὸν λόγον; ὅπου γε ὁρῶμεν ὅτι κἀκεῖνα οἷς ἡ φύσις τὸ μετὰ ταῦτα πολυμιγὲς 30 *ἐφῆκεν, ἵπποις φημὶ καὶ προβάτοις καὶ ὅσα τοιαῦτα, |* **66ᵛ** *ἑνὶ τῷ κατ' ἀρχὰς θήλει συνήρμοσται. ἄλλως τε, εἰ τὰ τῆς ἀρχῆς τοῦ κόσμου εἰς νόμον τελεῖν τοῖς μετὰ ταῦτα βιάζῃ, καὶ ἀδελφογαμεῖν ἀξίου καὶ διὰ βίου παραμένειν*

17 ἐξιδιάζεσθαι] -σθαι ex -ται **M** || **22** ἀπαυθαΐζόμενος (δι supra lineam) **M**

ἀνδράσι τὰ γύναια, ὡς τοῖς πρὸ τοῦ κατακλυσμοῦ λόγος ἀνθρώποις, ἐνεξουσίαζε, καὶ χώραν ὑμῖν σχοίη τὰ πρεσβευόμενα. εἰ δὲ μήτε πολλαὶ γυναῖκες ἀρχῆθεν, ἀλλὰ καὶ συμπαρεκτεινόμεναι τῷ τῶν ἀνδρῶν ἀναγκαιότατα βίῳ,
5 *ὅτι μηδ' ἄλλοθεν ἦν τοῦ θήλεος τὴν χρείαν κομίζεσθαι, τί τοῦτο πρὸς νόμον σοὶ παρεισάγειν καὶ τὸ τῇ ἀρχῇ τὴν σπάνιν ἐπαγγελλόμενον εἰς νόμον παρακαλεῖν, τοῦ νόμου πεφυκότος περὶ τὸ τῆς χρήσεως ἄφθονον παρεισδύεσθαι; ἐπεὶ οὕτω γε καὶ γυμνότητα ἐρεῖς τοῖς ἀνθρώποις ἀρχῆθεν*
10 *θεσμοθετηθῆναι καὶ τὰ πρὸς δίαιταν θηριώδη, μήτε πυρὸς εὐπορουμένου τοῖς ἀρχηγέταις, μὴ σκέπης ἐξευρημένης καυμάτων καὶ ὄμβρων τὸ δυσύποιστον ἀποστεγούσης, μὴ τόπων εὐκτηρίων ἀποτετεμενισμένων, ἅπερ εἰς νόμον ἡμῖν ἀπαράγραπτον ἠφωρίσθαι τῶν ἄγαν εὐηθεστάτων*
15 *καὶ ἐννοεῖν, μὴ ὅτι γε καὶ λόγῳ προφέρειν καὶ σύμμαχα παραλαμβάνειν τὸν ἐφεξῆς βίον τούτοις ῥυθμίζοντα πρὸς ἡμερώτερον ἤδη κατάστημα καὶ τεταγμένον προβαίνοντα. εἰ δ' ἄρα, σαυτὸν πρῶτον τῇ καταχρήσει καὶ παραχρήσει τῶν μήπω τοῖς παλαιτάτοις ἐξευρημένων κατεν-*
20 *τρυφῶντα ἐπεγνωκώς, εἶτα τῆς τηλικαύτης παραβάσεως μεμψάμενος ἑαυτῷ καὶ τούτων τέλεον ἀποστὰς καὶ πρὸς τὸ ἐξ ἀρχῆς ἀναδραμὼν ἀπραγμάτευτον, τότε καὶ τοῖς ἄλλοις τὰ νῦν ἐπισκήπτων ἀξιόπιστός τε φανείης καὶ τὸ ἀναντίρρητον ἐπαγόμενος. ἕως δ' ἂν μὴ τοῦτο ᾖ, μηδὲ*
25 *ταῖς σοφαῖς ὑμῶν ἐθελοθρησκείαις συμβαινούσης τῆς πείρας, αὐτός τε ἀδικοδοξίας ἐγκλήματι διωχθείης καὶ μᾶλλον παντὸς ἀσεβείας τὸν Παύλῳ τῷ θείῳ γάμον ἐγκεκριμένον ἀνθρωπίνως συγκεχωρῆσθαι παραληρῶν, μὴ τὸ 'ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν', μὴ τὸ 'κἀγὼ δοκῶ*
30 *πνεῦμα θεοῦ ἔχειν' τοῦ μακαρίου σεμνολογήματα ὑπολογιζόμενος, μὴ τὸ κατ' ἐπιταγὴν πάντα φθέγγεσθαι κυρίου, ἀλλὰ δοκιμὴν ἀποπλήκτως ἔτι ζητεῖν τοῦ ἐν αὐτῷ λαλοῦντος πνεύματος.*

11–12 Aristot. de an. I 1, 403 b 4–5 || **29** 1 Cor. 2, 16 || **29–30** 1 Cor. 7, 40 || **31–32** cf. 1 Cor. 7, 25 || **32** Mt. 10, 20

17 *καὶ τεταγμένον* Wk: *κατεταγμένον* **M**: *κατατεταγμένον* Kh

II. Ὅτι τὸ 'ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτὸν' οὐ τοσοῦτον διὰ τὴν συνάφειαν, εἰ καὶ συμβαίνει διὰ τὴν τοῦ γένους διαδοχήν, ὅσον διὰ τὴν μόνωσιν καὶ τὴν πρὸς τὸν βίον εἴρηται ἀπορίαν, ὅπερ εὖ εἰδὼς ὁ ἀπόστολος ὕστερον τῷ ἀσθενεστέρῳ μέρει καὶ ἀπορωτέρῳ τὸν δεύτερον 5 ἐπιτρέπει γάμον, τουτέστι γυναιξὶ καὶ οὐκ ἀνδράσι τοῖς μᾶλλον μὴ δεομένοις πρὸς τὸ ζῆν βοηθείας.

Τί τῶν παρόντων εἰς γνῶσιν ἐμβροντητότερον συνιδεῖν οὐκ ἔχω. πῆ μὲν γὰρ τὴν γυναῖκα τὸ ἐνδεὲς τῇ μονώσει ἀναπληροῦσαν παρῆχθαι ἀποθρασύνεται καὶ ταύτῃ καὶ 10 *Παῦλον τὸν δεύτερον ἐπιτρέπειν γάμον, ὃν ἄνω ἀνθρωπίνως προβῆναι φησί, κἂν νῦν εἰς ὑπόδειγμα θεῖον αὐτῷ τὸ τελούμενον ἀφορᾷ, πῇ δὲ χηρεύειν διὰ βίου τὸν ἄνδρα ἅτε δὴ βοηθοῦ μὴ δεόμενον μηδὲ τοῦ κατ' ἀρχὰς ὡς ἔοικεν βοηθὸν τὸ θῆλυ τοῦ ἄρρενος παραγαγόντος αἰσίως* 15 *βεβουλευμένου, ἀλλ' ἡττωμένου ὅσον οὐδ' ἔστιν εἰπεῖν τῆς καινῆς αὐτοῦ ταυτησὶ παρευρέσεως.*

67r *Καὶ οὔπω λέγω ὅτι μηδ' ἀριθμῷ | τὸ πρᾶγμα ὁ Παῦλος περιωρίσατο, ὡς οὐδὲ τὸν ἄνδρα μὴ τοῖς τῆς χρείας κατείργεσθαι κατανάγκοις. εἰ γὰρ τὸ 'λέγω δὲ τοῖς* 20 *ἀγάμοις καὶ ταῖς χήραις' ἐξαπατᾷ σε τὴν τοῦ ἀγάμου κλῆσιν ἐπὶ τὸ ἄγευστον γάμου διαλαμβάνειν, οὐ τῷ τυχόντι τοῦ σώφρονος ἁμαρτάνεις· τί γὰρ ἂν φαίης, ἐπειδὰν μικρῷ προϊὼν τῇ περιοχῇ ταύτῃ περιενεχθείης, 'γυναῖκα ἀπὸ τοῦ ἀνδρὸς μὴ χωρίζεσθαι, ἐὰν δὲ χωρισθῇ, μενέτω* 25 *ἄγαμος'; ἰδοὺ γὰρ καὶ μετὰ γνῶσιν ἄγαμον φησὶ τὸν τοῦ λέχους ἀπαλλαγέντα. πόθεν οὖν ὑμῖν τολμηρῶς, εἰ καὶ ἀμαθῶς ἄγαν, τὸ ἄλλως νομοθετεῖν ἐπελθόν, μὴ συνιεῖσι πρὸς οὓς ὁ λόγος μηδ' ὅτι κατὰ πόδας τὸν ἔλεγχον ἕξετε; πόθεν δὲ τὸ καὶ θεὸν μὲν κάλλιστον ἐπιγνόντα* 30 *ἀνδρὶ τὸ θῆλυ βοηθὸν διαπλάσαι, τῷ στερροτέρῳ τὸ ἀσθενές, Παῦλον δὲ τὸ τοῦ δημιουργοῦ ἐπανορθοῦντα*

1 Gen. 2, 18 || **4–6** 1 Cor. 7, 8–9 || **5** cf. 1 Petr. 3, 7 || **11–12** supra p. 129, 12–14 || **20–21** 1 Cor. 7, 8 || **24–26** 1 Cor. 7, 10–11

32 *ἐπανορθοῦντα* Kh: *-οῦν τὰ* M

ἀγνόημα (τὸ δὲ βλάσφημον καθ' ὑμῶν τρέψοιτο) τῷ θήλει μᾶλλον τὸν βοηθὸν ἐπιτρέπειν ὡς ἀσθενεστέρῳ πορίζειν, τῷ δ' ἄρρενι οὔ; ταῦτα γὰρ οὔπω καὶ τήμερον ὅσα γε εἰς ἀκοὰς σώφρονας ἧκεν εἰδέναι. εἰ μή που, ὥσπερ 5 ὑμέτερος τρόπος, συγκρούειν καὶ Παῦλον τῷ δημιουργῷ ἐκβεβάκχευσθε· καίτοι γε καὶ τοῦτο διαρρήδην Παύλου βοῶντος καὶ τῷ ἀνδρὶ γαμεῖν ἐπιτρέποντος ἀπολελυμένῳ τῆς συνοικούσης. τίνι γὰρ τὸ ʽλέλυσαι ἀπὸ γυναικός, μὴ ζήτει γυναῖκα· ἐὰν δὲ καὶ γήμῃς οὐχ ἥμαρτες' πρόσταγμα; 10 ἀλλ' οὕτω τυφλώττειν ὑμῖν περιγέγονεν, ὡς καὶ αὐτῶν ἐν ἀγνοίᾳ τῶν ἀποστολικῶν ῥήσεων διαβιώσκοντας ἀποπωτάτοις γνώμαις ἐγκαλλωπίζεσθαι.

Αἷς καὶ πεποιθότες ὁρᾶτε ὅπως πρὸς τῷ καταγελάστῳ τῆς ἀμαθίας ἔτι καὶ τὸ καθ' ἑαυτῶν ὑμᾶς ἀναφαίνεται 15 τοξεύειν. εἰ γάρ τοι τοῦτο, οὐδὲ ἀρχὴν ὅλως δίκαιον ἄνδρα γυναικὶ ὁμιλεῖν οὐδὲ τὸ δευτερεῦον εἰς χρείαν παραιρεῖσθαι τὰ πρωτεῖα τὸ προὐργιαίτερον. φῂς γὰρ οὐ τοσοῦτον διὰ τὴν διαδοχὴν τοῦ γένους ὅσον διὰ τὴν μόνωσιν τῷ ἄρρενι τὸ θῆλυ δεδόσθαι, ᾧ γε λόγῳ ἑκατέρῳ μέρει 20 θανάτῳ ἤ τινι περιστάσει θατέρου μονουμένῳ καὶ βοηθοῦ ἐπιδεομένῳ ἀδιαλείπτως γαμεῖν ἑκατέρῳ δοθείη, διὰ μὲν τὸν δημιουργὸν ἀνδρὶ τῆς βοηθοῦ προσευπορουμένης, διὰ δὲ Παῦλον (σήν φημι χάριν) τῷ ἀσθενεστέρῳ μέρει τε καὶ ἀπορωτέρῳ τῆς ἀπορίας ἐκλυομένης. καὶ οὕτως, τὸ 25 τοῦ ψάλλοντος, ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν συλληφθείητε, οἷς ἀποκωλύειν πολυγαμίαν προείλεσθε, τούτοις πολυγαμίαν εἰσάγοντες, καὶ μετὰ γενναιοτάτου τοῦ μαρτυρίου.

Ἑνὶ δὲ λόγῳ, εἰ τοῖς ἀγάμοις ὑμῖν συνενεχθῆναι τὸ μὴ 30 γῆμαι θεσμοθετεῖτε, πόθεν γύναια πρὸς δεύτερον ἀφίκοιτο γάμον, τῶν μὲν μετὰ τὸν ἅπαξ ὑμέναιον ἀποσεισαμένων τὸν δεύτερον, τῶν δ' ἀπειράτων ταῖς χηρευ-

8–9 1 Cor. 7, 27–28 || **23** cf. 1 Petr. 3, 7 || **24–26** Ps. 9, 17

14 ἔτι Wk: ἔστι **M** || **17** πρωτεῖα] -ωτ- ex -εσβ- **M**

ούσαις ὁμιλεῖν μὴ βουλομένων, ἤτοι καθαριότητος βίου ἢ καὶ παρ' ὑμῶν ἤδη σεσοφισμένων ὡς οὐκ ἀνάγκη τῷ στερροτέρῳ βοηθοῦ γλίχεσθαι. δυοῖν γάρ που τὸ ἕτερον· ἢ γὰρ τοῖς νῦν ὑμῖν εἰρημένοις πάντων τὸν μονώτην βίον
67ᵛ *ἀνθαιρουμένων λύκους ἐᾶν, τὸ ᾀδόμενον, διακε|νῆς* 5
κεχηνότας τὰ γύναια, καὶ μάλιστα κἀκεῖνο εἰδότας ὡς πρωτοπείροις συναπολήξει καὶ τὰ τῆς χρήσεως καὶ ὡς οὐ δέον οὐδὲ τὸ πρώτως ἐξανυσθῆναι τῷ μὴ τὸ γενναιότερον δεῖσθαι συναντιλήπτορος· καὶ τί τὸ ἐντεῦθεν; ἐκεῖνο πάντως τὸ ἐξάγιστον ὑπεισιέναι τῷ βίῳ καὶ ἀλλήλαις τῶν 10
θηλειῶν ἐπιμαινομένων τὴν φυσικὴν χρῆσιν, ᾗ καὶ Παύλῳ τῷ θείῳ δοκεῖ, μεταλλάττειν καὶ πρὸς ἑταιριστρίας ἀναφέρεσθαι καὶ τριβάδας, αἰσχρὰς καὶ τοῖς ῥήμασι καὶ τοῖς πράγμασιν, ὡς ὄφελον πάλαι τόδε καὶ ἐκλελοίποιτ' ἄν, ἀδολέσχαι, τὸ παράπαν ἀπὸ τῆς γῆς· ἢ πάντας ὑπὸ 15
τὸν γάμον συγκλείειν ὑμᾶς ἐκβιάζεσθαι οὐδὲν τῆς ἐν χείλεσι περισπουδάστου ὑμῖν ἐπαπολαύοντας σωφροσύνης.

III. Ὅτι καὶ τὸ 'ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα' περὶ μονογαμίας εἴρηται· ἢ οὐχὶ πρὸς τὴν πρώτην συνάφειαν ὁρμῶντες ἄνθρωποι καταλιμ- 20
πάνουσι τοὺς οἰκείους γονέας καὶ πρὸς μίαν σάρκα συνάπτονται; πρόδηλον οὖν ὡς ἐκείνη μόνη κυρίως ἂν εἴη γαμετὴ δι' ἣν ἡ κατάλειψις τοῦ πατρὸς καὶ τῆς μητρὸς τῷ πρὸς ταύτην συναπτομένῳ διαπράττεται.

Λίνον, φασί, λίνῳ συνάπτων καὶ πρὸς τὴν σεαυτοῦ 25
γνώμην τὰς ἀλογίστους ἐννοίας ζυγοστατῶν δοκεῖς μὲν τοὺς ἀπ' ἐναντίας δεσμεῖν, οὐ μέντοι γε καὶ κατέχεις, ὅτι μηδὲ ἀράχνου νήματα τῶν περιπιπτόντων τούτοις στερρότερα. τί γάρ σοι καὶ ταῦτα προβαλέσθαι τὰ νῦν, αἰσχύνης δείγματα παντελοῦς καὶ ἀμαθίας τῶν ἐν τῷ βίῳ 30
πραγμάτων; ὡς γὰρ οὐ πρώτως ἀφορμῶντες ἄνδρες πρὸς γάμον καταλείπουσι μὲν τὰ γένη, προσκολλῶνται δὲ ταῖς γαμουμέναις αὐτοῖς – καὶ οὔπω λέγω ὅτι καὶ οἱ ταῖς

4 Aristot. Eth. Nic. I 5, 1097 b 9 || 5–6 CPG I 273; II 121 || 11–12 Rom. 1, 26 || 18–19 Gen. 2, 24 || 25 CPG I 113

1 *καθαριότητος*] -τι Kh || 25 *λίνῳ* Kh: *λῖνον* M

πόρναις συμμιαινόμενοι ταὐτὸ πάσχουσι, τῷ φίλτρῳ πρὸς τὰς ἐρωμένας καθάπαξ μεταγγιζόμενοι, ὃ καὶ Σαμψὼν ἐπὶ Δαλιδὰ πέπονθεν — ἀλλὰ καὶ μετὰ χηρείαν αὖθις ἐπανιέναι πρὸς τοὺς τοκέας, εἰ μή που βίου ῥυπάσμασιν ἠχρειώ-
5 *θησαν, κατεπείγονται, ἔστ' ἂν ἕτερον ἐπανέλωνται γάμον, καὶ τοῦτο πολλάκις οἵ γε ἐπιεικέστεροι διαπράττονται, οὕτω δὴ καὶ γυναῖκες· ἀποιχομένου γὰρ τοῦ πρὸς ὃ τὸ φίλτρον ἐνασχολοῦσι πρὸς τὸ συγγενὲς αὖθις μεταχωρεῖν αὐταῖς περιγίνεται, ὅτι μηδ' οὕτω τῷ τόπῳ ὡς*
10 *σχέσει στοργῆς ἡ ἀπὸ τῶν φυσάντων πρὸς τοὺς συναπτομένους ἀπόκλισις ἐπακολουθεῖ. ἀλλὰ τί σοι τοῦτο εἰς τὸ τὸ βούλημα κατανῦσαι καὶ τὴν τερθρείαν, οὐκ ἔχω εἰπεῖν, πάντων οὕτω καὶ πασῶν σχεδὸν διαγινομένων τῇ ἀποπτώσει τῶν γάμων· τισὶ δέ, ἀκριβέστερον λέξαι, μᾶλλον*
15 *τὸ μὲν εἰς γνῶσιν πρώτως ἧκον οὐκ εὐηρέστηται, τοῖς μετὰ τοῦτο δὲ τὰ τῆς συζυγίας ἐνευδοκίμηται. εἴπερ δὲ καὶ τοῖς πρὸς πόρνας ἐκχεομένοις καὶ τοῖς πολλάκις γαμοῦσιν ἐγγύτατα τοῦ πρώτου χωρεῖν ὁ πρὸς τὸ θῆλυ ἐφελκυσμὸς ἐπιτρέπει, πῶς εἰς ἀπόδειξιν τοῦτο τοῦ ἅπαξ ἐξεῖναι*
20 *γαμεῖν ἀνθρώπους παραλαμβάνεις; τοὐναντίον γὰρ εἰ καὶ τοῖς ἄλλοις οὕτω | συμβαίνειν ὁ λόγος ὑπέστησεν, οὐχ ἅπαξ* 68ʳ *ἀλλὰ πολλάκις γαμικῶς συνάπτεσθαι γυναιξὶ κατεσκεύασας, καὶ διερρύηκέ σοι τὸ σοφόν τε καὶ ἄμαχον εἰς τὴν πίστιν, ἑτερορρεπὲς ἄφνω ἀναφαινόμενον.*

25 *Τὸ δὲ 'εἰς σάρκα μίαν' ζητῶ τί σοι νοεῖ, βέλτιστε, πότερον τὴν ἀπὸ τῆς ἄγαν φιλοστοργίας ἀνδρὶ πρὸς γυναῖκα ἑνότητα ἢ τὴν ἐξ ἀμφοῖν τοῖς τικτομένοις εἰς μίαν προϊοῦσαν σαρκὸς σύστασιν. ἀλλ' ὁποτέρῳ τούτων τὸ 'εἰς μίαν σάρκα' προσνείμοις, οὐδέν τι μᾶλλον εἰς ἀποκλήρω-*
30 *σιν τῶν ἄλλων ᾧ κατεπείγῃ περιποιήσεις. ἐξ ὁμοτίμου γὰρ ἄμφω πᾶσιν ἐνθεωρεῖται, καὶ τοῖς μὴ προσηκόντως ἐφαπτομένοις τοῦ πράγματος. ἀλλ' εἴπερ ταῦτα σχεδὸν*

2—3 Iudic. 16, 4—21 || **25** Gen. 2, 24

13 *πάντων*] *-ων* dub. M

ἁπάσῃ μίξει ἀνδρὸς πρὸς γυναῖκα, νομίμῳ ἀνόμῳ, συμπαραθέει, καθὸ καὶ Παῦλος ὁ μέγας ἀπόστολος τὸν τῇ πόρνῃ κολλώμενον εἰς ἓν σῶμα συντήκεσθαι παριστῶν τοῦτό γε, τὴν ἀπραγμάτευτον ὑμῶν ἀκρόπολιν, τὸ εἰς σάρκα φημὶ μίαν ἔσεσθαι, πρὸς ἀναντίρρητον συνηγορίαν 5 *παραλαμβάνει, πῶς νῦν αὐτὸς τοῦτο μόνῳ δίδως τῷ πρώτῳ, ὡς τῶν λοιπῶν οὐχ οὕτως ἀλλ' ἢ μηδ' ὅλως στοργῇ προσοικειουμένων ἢ καὶ ὑπηνέμια ὡς ἔοικε τικτόντων; ἐχρῆν δὲ κἂν εἰ ἔξω τοῦ καθ' ἡμᾶς κόσμου παρῴκεις, Παύλου γοῦν ἐπακούσαντα τὸ καὶ ταῖς πόρναις* 10 *εἰς μίαν σάρκα τοὺς κολλωμένους συνάπτεσθαι καὶ αὖθις τὰς νέας βούλεσθαι χήρας γαμεῖν τεκνογονεῖν, ἐγκαλύψασθαι πρὸς τοσαύτην καὶ λόγοις καὶ πράγμασιν τὸ ἀναντίρρητον ἐσχηκυῖαν ἐνάργειαν ἀποδύσασθαι, ἐπεὶ καὶ οἱ μετὰ τὸ ἅπαξ, ὡς ἔφθημεν εἰρηκότες, καὶ οἱ πορνικῶς εἰς* 15 *μίαν ἤτοι τῇ οἰκειώσει ἢ τῇ τεκνώσει σάρκα προβαίνουσιν. εἰ μή που καὶ τοῦτο, τὸ μετὰ τὸν πρῶτον λέγω γάμον τὰς ἑτέρως πως καὶ τὰς χηρευούσας τοῖς κοινωνοῦσι προσφύεσθαι ἢ τὸ τεκνογονεῖν, οὐχὶ τῇ φύσει δίδως, ἀλλ' ἀνθρωπίνως διαπληκτίζῃ τὸν Παῦλον τῷ βίῳ παραβύειν· καὶ δή σοι* 20 *τρόπον ἄλλον κατὰ τὸ φορτικὸν καὶ ἀνδραποδῶδες τὸ πρὸς μίαν συντήκεσθαι σάρκα τόδε γελοίως νοεῖ, τὸν πρὸς τὴν γενεσιουργὸν μίξιν τῶν σωμάτων συνδυασμόν, κοινοῦ καὶ τούτου κατειλημμένου, ἀφ' οὗπερ, εἰ καὶ γελοῖον, ἑρμαφρόδιτοι χρηματίσειαν ἄνθρωποι καὶ ἀνδροθήλεις·* 25 *ὃ καὶ καταλείπω ἀνέλεγκτον, τῷ ὑπερβάλλοντι τῆς ἀτοπίας καὶ τοῖς νηπίοις διαγελώμενον.*

IV. Ὅτι εἰ δέον συγχωρεῖν τέταρτον, οὐχ ἑνὶ δέον, ἀλλὰ πᾶσι· τοῦτο δέ ἐστιν ἀπάρνησις τῆς Χριστιανῶν πίστεως.

Τῆς ἐμπληξίας. τῶν ληρημάτων. ὅτι μὲν γὰρ τὸν τέ- 30 *ταρτον γάμον οὐδαμόθεν ἔχεις τοῖς ἱεροῖς λογίοις ἀποσκορακιζόμενον ἀποφῆναι οὐδὲ ῥητῶς οὕτως τόδε προαγα-*

2–3 1 Cor. 6,16 || **11–12** 1 Tim. 5,14 || **14–15** supra p. 135, 25–32

6 *τοῦτο* Wk: *τούτῳ* M || **18** *κοινωνοῦσι*] mg. *γρ. κενω-* M

γεῖν, πολλάκις σοι καὶ προτέταται καὶ τῷ ἀναποδείκτως πλημμελεῖν αἰσχύνην προσώφληκας. παρὸν δὲ καὶ νῦν τοῦτο δεικνύναι, {κἂν τοῦτο} ἡμεῖς, τὸ τοῦ λόγου, χεῖρα ἐπὶ στόματι θείημεν καὶ σὲ τὸν ταῦτα συνετί|ζοντα 68v
5 *εὐλογήσομεν· ἀλλ' οὐκ ἂν ἔχοις, εἰ μή τι καὶ ἀγνοεῖς ὡς ὁ τέσσαρα ἀριθμὸς ὑπὸ τὸ πλῆθος τελεῖ. ἢ γὰρ ἂν τῶν μακαρίων ἐπακούσας πατέρων ʿπερὶ τῶν πλείστοις γάμοις περιπιπτόντων' καὶ Βασιλείου τοῦ θείου ʿπερὶ τριγάμων καὶ πολυγάμων' οὐκ ἂν οὕτω σκοτοδινιῶν τὸ πρὸ τῶν*
10 *ποδῶν μὲν ἠγνόεις καὶ πέρα τῶν τυφλωττόντων ἐξαπορούμενος, αὐτεξουσίῳ δὲ τόλμῃ Χριστιανῶν ἀπήλαυνες τοὺς τὰ τοιαῦτα ἐπεγνωκότας, τὸ μὲν ἀκριβὲς ὑποβαίνοντα τῆς κατὰ βίον συναφείας, οὐ μέντοι καὶ δημοσίαις ὑποβαλλόμενα καταδίκαις ὡς τῆς ἀνειμένης καὶ φίλης σοι*
15 *πορνείας αἱρετώτερα, πρὸς ἣν τοὺς γάμους ἀποκωλύων συνωθεῖς τοὺς ἀνθρώπους.*

Ἀλλ' ὡς ἔοικε φόβῳ τοῦ τέσσαρα διακατέχῃ, τὸ ὑπὸ τούτου διατυπούμενον τοῦ θείου πάθους ᾗ καὶ οἱ δαιμονῶντες σύμβολον εὐλαβούμενος. ἡμεῖς δὲ καὶ πρεσβεύ-
20 *οντες τοῦ πλήθους εἶναι τὸν ἀριθμὸν τοῦτον καὶ σύστοιχον εἰδότες τῆς τοῦ κόσμου γενέσεως ἅτε τοῦ ἀριστοτέχνου θεοῦ τούτῳ τὰ κατ' αἴσθησιν ὄντα διαλαβόντος καὶ τὸ τῆς ἡμετέρας σύμβολον σωτηρίας τούτῳ σαφῶς εἰδότες συμπεραινόμενον, ὃ λύει μὲν τὸ κράτος τοῦ πάλαι βασκή-*
25 *ναντος ἡμῖν ὄφεως, ἀρχὴ δὲ κρείττονος κόσμου καθίσταται, καὶ Χριστιανοῖς συνταττόμεθα, οὐμενουν ὅσον σοῦ βέλτιον παραστῆσαι, κἂν εἰ πάνυ διαρραγείης, καὶ τοῖς περιπίπτουσι τούτῳ τὴν προσήκουσαν θεραπείαν πατρικῇ νέμοντες ψήφῳ οὐδενὶ τῶν μετὰ θερμότητος προσιόντων*
30 *τὰς σωτηρίους ἀποκλείομεν πύλας. οὐδὲ Ναυᾶτον ποιού-*

3 Iob 40, 4 || **4–5** Ps. 15, 7 || **7–8** Can. Neocaes. 3 (Lauchert 35, 13) || **8–9** Bas. Ep. 188, can. 4, PG 32, 673 A 1 || **13–15** Ep. 199, can. 50, PG 32, 732 C 5–7 || **20–22** cf. Hierocl. in carm. aur. 464 a 3–465 b 15 Mullach (Fr. Philos. Gr. I) || **21** cf. Pind. frg. 57 Schr. (= Dio Chrys. 12, 81)

3 *κἂν τοῦτο* del. Wk ut var. lect. ad *καὶ νῦν τοῦτο* || **5** *ἀγνοεῖς* Wk: *-εῖν* **M** || **12** *ὑποβαίνοντα* Wk: *-τας* **M** || **18** *ᾗ* Kh: *ἢ* **M**

μεθα καθηγεμόνα βρύοντα μὲν αὐτὸν ἕλκεσι, τοῖς δ' ἄλλοις τὸ ἀνιάτρευτον ἐπεισάγοντα. εἰ δέ τι δεῖ καὶ πρὸς τὴν ὑμετέραν ἀντεξάγεσθαι μανίαν, οὔτε πρὸς ἕνα τὸ συγγνωστὸν ἀφορίζοντες εἰς πρόκριμα τὸ σύγγνωστον ἐκβιβάζομεν, οὐ διὰ τοῦ ἑνὸς πάλιν τοὺς πάντας προτρέ- 5
πομεν. οὐδὲ γὰρ οὐδὲ Παῦλος Τιμόθεον περιτέμνων ἢ διὰ τὸν ἕνα καταγινώσκεται ἢ διὰ τοῦτον καὶ πάντας πραγματικῶς ἀποθεσπίζει πιστοὺς περιτέμνεσθαι. ὁρᾷς ποῦ σοι τὸ περιδέξιον καὶ ἀμφίκρημνον, ὥς γε ᾠήθης, ἀπετελεύτησεν, εἰς ἀπονοίας τε καὶ ἀνοίας ἀποκατάστασιν. 10

V. Ὅτι καὶ ὁ τοῦ κυρίου λόγος εἰπόντος 'ὃ ὁ θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω' ἐπ' ἐκείνην τὴν πρώτην ἀνάγει μνηστείαν ἣν ὁ πλάστης καὶ νυμφαγωγὸς τῷ Ἀδὰμ ἐμνηστεύσατο, ἀλλ' οὐ περὶ δευτέρου ἢ τρίτου ὁ λόγος αὐτῷ. 15

Πόθεν δῆλον ὡς περὶ πρωτογάμων τοῦτό φησιν ὁ θεάνθρωπος, τοῦ ἱεροῦ λόγου μηδὲν ὑποφαίνοντος τοιοῦτον, ἀνεπισημάντως δὲ τούτου καὶ ἀλλαχοῦ τῷ κρείττονι τοὺς 69r *γαμικοὺς ἀνατιθέντος συνδέσμους καὶ φάσκοντος | ὅτι παρὰ θεοῦ ἁρμόζεται ἀνδρὶ γυνή; τῷ γὰρ ἀδιορίστῳ,* 20 *εἴπερ σοι μέτεστι τούτων τις γνῶσις, τὸ μέτρον οὐκ ἀφωρίσατο. ᾧ δή γε καὶ προφανὲς ὅτι πάντα τὰ γαμικὰ θεοῦ συναρμολογοῦντος προάγεται. τίνα δὲ ταῦτα; ἃ τῆς πανδήμου κατὰ τὸ ἀνελεύθερόν τε καὶ κρύφιον ἀπήλλακται μίξεως. ἄλλως τε εἰ μὲν Ἰουδαίοις ἔθος τῷ πρώτῳ γάμῳ* 25 *ἐναπομένειν, εἶχεν ἂν τὸ τερατευόμενον ὑμῖν ἀφορμὴν εἰς κατάθεσιν· ἐπεὶ δὲ πρὸς οἷς οὐ πρώτῳ ἐπανεπαύοντο γάμῳ οὐδὲ πρὸς μίαν τὰ τῶν παιδοποιῶν περιείργνυσαν ἀλλὰ καὶ πρὸς ἄμετρον τὰς συνοικούσας προήγοντο, πῶς τοῦτο τοῦ στόματος ὀλισθῆσαι ἠνέσχου, καὶ 'νυμφαγωγὸν'* 30 *πάλιν θεὸν 'τῷ Ἀδὰμ' ὀνομάσαι κατὰ τὴν ἄλλην ζῳώδη οὐσίαν καὶ τῷ Ἀδὰμ εἰς πρόοδον τηνικάδε γένους τὸ θῆλυ παραγαγόντα; εἴπερ οὖν νυμφαγωγὸς οὗτος ἀνθρώπῳ*

6 Act. 16, 3 || **11–12** Mt. 19, 6; Mc. 10, 9 || **18–20** Prov. 19, 14 || **20–22** cf. Ammon. de interpr., CAG IV 5, 117, 10–13

διὰ τὴν τοῦ θήλεος προαγωγήν, τί μὴ καὶ τῶν λοιπῶν ζῴων; καὶ τί μὴ κἀκείνοις τὸ πρωτόγαμόν τε διαστέλλῃ καὶ ἐνιαῖον, ἑνὶ κἀκείνων τὸ κατ' ἀρχὰς θήλει συναρμοσθέντων, ὅτι μηδέ τι τούτων ὅσα γε εἰς αὔξησιν
5 *γένους τὸ ἄμεινον ἄνθρωπος ἀποφέρεται; ἀλλὰ τί μηδὲ τοῦτο συνῆκας, πρὸς τί τὰ τῆς ἐρωτήσεως τείνει τῶν θεομάχων; οὐ δήπου γὰρ περὶ ἀριθμοῦ γάμου, ἵν' ἐκεῖθεν εἶχες τὸ ἰσχυρόν σοι πορίσασθαι τῶν δογμάτων, ἀλλὰ περὶ μόνου ἀποστασίου. τὸ δὲ τὸ μὴ κατ' οὐδὲν*
10 *ὅμοιον εἰς συνηγορίαν ἑαυτῷ προκομίζειν οὐδὲν τῆς τῶν ἐρωτησάντων διενήνοχε θεοβλαβείας, ἀλλ' ἐκεῖνο τοῦτο τὸ τοῦ Σταγειρίτου, περὶ τριγώνου παρὸν ἀποδεικνύναι δυσὶν ὀρθαῖς τὰς τρεῖς γωνίας ὡς ἴσας ἔχει, ἐκεῖνο πρὸς ἀπό-*
14 *δειξιν ὑποτιθέναι ὅτι πᾶσα ψυχὴ ἀθάνατος.*

VI. Ὅτι καὶ ἐκ τῆς τοῦ κυρίου σαρκώσεως ἡ μονογαμία νενομοθετημένη παρὰ θεοῦ μόνη γινώσκεται. μιᾶς γὰρ ἐκ τοῦ ἀνδρὸς πλευρᾶς εἰς διάπλασιν ληφθείσης τῆς γυναικὸς καὶ ὀφλήματος ἑνὸς ὄντος τῇ Εὔᾳ πρὸς τὸν Ἀδάμ, μία παρθένος ἐκ τῶν αὐτῆς ἀχράντων αἱμάτων ἑνὶ ὑπὲρ τοῦ
20 Ἀδὰμ σαρκωθέντι υἱῷ ἀντιδοῦσα τὴν ὕλην εἰς διάπλασιν τῆς ἁγίας σαρκὸς ἀνεπλήρωσε τὴν ὀφειλὴν τῆς προμήτορος, ὥστε εἰ ἓν ὄφλημα τὸ τῆς γυναικὸς πρὸς τὸν ἄνδρα καὶ μία ἀνταπόδοσις τοῦ ὀφλήματος, οὐ δύο γυναῖκες ἁρμόσουσι τῷ ἀνδρί, ἀλλὰ μία.

25 *Μία μὲν εἰς διάπλασιν ἡ πλευρά, σύμφημι τοῖς ἱεροῖς λογίοις καὶ σοὶ τὰ περὶ τούτων μέχρι τινὸς ὑγιῶς προϊόντι· τὸ μέντοι τῷ ἑνὶ τῆς γυναικὸς ὀφλήματι τὴν πρωτογαμίαν μόνην ἐμπεδοῦν κατασπεύδειν οὐχ ὑγιοῦς ἐστι φρενός, εἰ μὴ καὶ τῆς ἀποστολικῆς τε καὶ πατρικῆς προμηθείας ἀπ'*
30 *ἐναντίας χωροῦν. ᾧ δὴ καὶ δέος μὴ καὶ τῷ ἀναθέματι παραπεμφθείης | ᾧ Παῦλος τοὺς παρὰ τὰς αὐτοῦ παραδόσεις εὐαγγελιζομένους παρέπεμψε. καὶ τίνες οὗτοι;* 69v

5–9 Mt. 19, 3; Mc. 10, 2 || **11–14** Aristot. Magna mor. I 1, 1183b 1–3 || **30–32** Gal. 1, 8

πολλοὶ μὲν καὶ ἄλλοι, οἷς ἰδιογνωμουμένοις καὶ ἡ διὰ τὴν αὐθάδειαν ὑπεκκαίεται κάμινος, οὐχ ἧττον καὶ οἱ τοῖς ἐσχάτοις καιροῖς πλάνοις προσανέχοντες πνεύμασι καὶ γάμους κωλύοντες· τὸ πρὶν μὲν Νaασηνοὶ ἤτοι γνωστικοὶ ἢ καὶ Νικολαΐται ἢ καὶ ᾧτινί τις ἐθέλοι τούτους καλεῖν 5 *(οὐδὲν γὰρ περὶ τούτου διενεχθείην), νῦν δὲ καὶ καθ' ἡμᾶς οἱ κατ' ἐκείνους, τὸ μὲν σεμνὸν ὁπόσον δὴ τῆς πρὸς συζυγίαν ἀνθρώπων ἑνώσεως ἀτιμάζοντες, τὸ λάθριον δὲ καὶ πορνικὸν τοῖς αἱρουμένοις ἀφιλοσόφως ζῆν ἀντεισ-άγοντες.* 10

Κἀκεῖνοι μὲν οὕτως καὶ ὅσοι τούτους ζηλοῦν ἐπανεί-λοντο· τὸ μέντοι μίαν φάσκειν παρθένον τῇ τοῦ κυρίου ὑπηρετήσασθαι σαρκώσει πολὺ τὸ ἀπεμφαῖνον ὅσον ἐπὶ τῇ λέξει ἀποίσεται. ὡς γὰρ ἐφειμένου καὶ δύο καὶ πλείονας θηλείας τῇ τοῦ ἑνὸς ὑπηρετεῖσθαι γενέσει ὁ λόγος 15 *προενήνεκται, αἰσχρῶς ἅμα καὶ ἀμαθῶς καὶ γενεσιουρ-γικῆς συντελείας εἰς βέβηλον. ἀλλὰ καὶ τὸ μίαν διὰ τὴν πλάσιν καὶ τὸ τῆς πλάσεως ἀνταπόδομα, μὴ δύο ἁρμόττειν τῷ ἑνὶ γυναῖκας ἀνδρί, κατὰ ταὐτὸν μὲν ἔχει λόγον, ἐκλελοιπυίας δὲ τῆς ὁμολέχου ἑτέρας μὴ καθυφεῖσθαι τῷ* 20 *ἀκρατεῖ γαμετῆς, ἑνὶ μιᾶς, ἀλλὰ πορνικῶς ἐᾶν διαφθείρε-σθαι, οὔτε τῆς ἀποστολικῆς διδασκαλίας καὶ προσέτι φευγόντων μὲν τὸ ἑνιαῖον καὶ σωφρονέστερον, ἀσπα-ζομένων δὲ τὸ ἅμα πολύ τε καὶ ἀσελγέστατον. ἢ ἐπειδὴ τὸ ἀνταπόδομα τῷ ἄρρενι παρὰ τοῦ θήλεος ἀπεδόθη, τί μὴ* 25 *καὶ πάντῃ τὸν γάμον ὁ φιλοκαθαριώτατος ἀποκωλύσεις, οὐκέτι περιλειπομένου μετὰ τὴν ἔκτισιν τοῦ παντὸς ἄλλο τι χρέος εἰσπράττεσθαι;*

VII. Ὅτι ⟨εἰ⟩ ἡ τοῦ κυρίου παρουσία βελτίωσις γέγονε καὶ τελείωσις τῷ ἀνθρωπείῳ βίῳ, πῶς ἔχει λόγον τὸν ἐκ 30

2 mg. ad *ὑπεκκαίεται*] *εἴρηται γὰρ τῷ προπάτορι τὸ 'πῦρ κατ-έφλεξεν ἁμαρτωλούς'.*

1–2 Ps. 105, 18 || 2–4 1 Tim. 4, 1–3

27 *παντὸς* Wk: *πάντος* M || 29 *εἰ* add. Wk | *βίῳ* Wk: *λόγῳ* M

τῆς ἀτελοῦς πολιτείας ἀνάγοντα μὴ κωλύειν ἐπὶ πλείονας προέρχεσθαι γάμους; ὁπότε μηδὲ ὁ νόμος τοιοῦτον ἐπιτρέπει, πλὴν ὅσον ἐπ' ἀδελφοῦ ὁμοιότητος ἔγερσιν, κἂν τινες ἐν νόμῳ τελοῦντες διαφόροις ὡμίλησαν γάμοις.

5 *Τίνα ταύτην, βέλτιστε, καλεῖς βελτίωσιν καὶ τελείωσιν εἰς ἣν ἐπανάγειν σε τοὺς ἀνθρώπους σκοπὸς ἀπὸ κυρίου λαβόντα; εἰ μὲν τὴν ἐπὶ γλώσσης ἄκρας, οὐδ' ἂν αὐτὸς ἀρνηθείην μὴ οὐ πολλῷ σοι ταύτης μετεῖναι τῷ περιόντι καὶ τοῖς περὶ ὑμᾶς, τελεστικῶς φάναι, ναρθηκοφόροις·* 10 *καὶ μάλισθ' ὁπηνίκα σεμνῶς ἑαυτοὺς ἐνεσκευακότες ἐκεῖνα τοῦ Ὑμηττίου ἀπορρέητε στόματος, ἃ μικροῦ δέον ἀθανάτους ὑμᾶς δείκνυσι καὶ μηδὲν τῶν γηΐνων ἐφαπτομένους. εἰ δὲ τὴν ἀπὸ τῶν ἔργων ἐνδεικνυμένην δικαιοσύνην, ὦ Δίκη καὶ ἀλαθὲς ὄμμα, οἰχήσεται τοῖς κρυφίοις καὶ* 15 *ἡ σεμνολογουμένη ὑμῖν βελτίωσις καὶ τελείωσις ἐπὶ ψιλῇ τῇ οἰήσει ἀποτελειουμένη· καὶ οὐκ ἐπὶ μόνων τῶν ἄλλων, τροφῆς φημὶ καὶ διαίτης, ἃ προφανῶς τὸ κατεγνῶσθαι πρὸς ἁπάντων ὑμᾶς | ἐμποιεῖ, ἀλλ' ἤδη καὶ ἐπ' αὐτῆς* 70ʳ *ἀφροδίτης, ἣν πολὺν τὸ περιορίζειν τοῦ βίου πεποιηκότες* 20 *λόγον καὶ πᾶσαν περιϊόντες ὑγρὰν καὶ ξηράν, ἕνα ἐκ ταύτης ὑμῖν ποιῆσαι προσήλυτον, ποιεῖτε μὲν ἴσως, υἱὸν δὲ τοῦτον γεέννης χείρονα ὑμῶν, κατὰ τοὺς παλαιοὺς Κύνας ἐκείνους ἐνασχημονοῦντα τῷ πράγματι.*

Τό γε μὴν μηδὲ τὸν παλαιὸν νόμον ἐπιτρέπειν πλείοσι 25 *γάμοις κεχρῆσθαι, ἐπειδὰν τοῦ διὰ τοῦτο ἐμφορηθῶ γέλωτος, τηνικαῦτα καὶ τὴν περὶ τούτου ἀπελέγξω ὑμῶν βαναυσίαν.*

Σὺ μὲν οὖν οὕτως, ὁ ἀναγώγως ἐπανάγων ἐπὶ τὸ κρεῖττον τὴν ἀτελῆ πολιτείαν ἀπὸ τοῦ σταθεροῦ γάμου πρὸς τὸ 30 *ἀστάθμητον τῆς πορνείας καὶ ἀπὸ τοῦ φανεροῦ τῷ ἀκαταγνώστῳ ἐπὶ τὸ ἀφανὲς τῷ κατεγνωσμένῳ· ἡμεῖς δὲ οἱ τούτων ἐκ διαμέτρου τῆς σῆς κατεγνωκότες ἀλαζονείας καὶ τοῦ ἐν ψόφοις κειμένου καὶ λάρυγξι τελείου ἔργῳ*

4 Deut. 25, 5–6; Mt. 22, 24; Mc. 12, 19; Luc. 20, 28 || **10** Plat. Phaed. 69c 8–d 1 || **11** Lucian. Rhet. praec. 11 || **14** unde? || **20–22** Mt. 23, 15

τό τε ἀπροσκοπώτερον μέτιμεν καὶ σὲ τὴν ἄλλως σεμνολογούμενον καταλείπομεν.

VIII. Ὅτι ὁ κύριος τῆς ἐξ ἀρχῆς παρ' αὐτοῦ δεδομένης τῷ πλάσματι διατάξεως ἐλθὼν πρὸς ἡμᾶς ὑψηλοτέραν, ἀλλ' οὐκ ἐλάττονα τὴν διάταξιν δίδωσι. τότε γὰρ τὴν γυναῖκα 5 τῷ ἀνδρὶ συνάψας νῦν φησὶν ἥκειν ἤγουν ἐλθεῖν διαχωρίσαι ἄνδρα τῆς γυναικὸς καὶ υἱὸν καὶ θυγατέρα ἀπὸ πατρὸς καὶ μητρός. τίνα οὖν ἔχει λόγον τὸ νομίζειν μὴ παρὰ τοῦ κυρίου κεκωλῦσθαι πολυγαμίαν;

Καὶ τοῦτο γελάσας ἱκανῶς παρελεύσομαι, τοσοῦτον 10 *ὑπειπὼν ὡς ὁ λῦσαι τὴν ἐξ ἀρχῆς συζυγίαν ἥκων ἡμῖν κύριος γάμῳ δαιτυμὼν γίνεται, καὶ τούτῳ τέως οὐ μόνον ⟨οὐ⟩ λύει τὸν γάμον, ἀλλ' ἤδη καὶ θαύματι δεξιοῦται. εἰ δὲ τὸ ἥκειν διαχωρίσαι ἐπὶ πολυγαμίαν αἰχμαλωτίζει, οὐ συνετῶς ἄγαν· τί γὰρ μὴ μᾶλλον καὶ τὴν πρώτην τούτῳ* 15 *ἀποκωλύσεις, τοῦ λόγου καθάπαξ τὰς συζυγίας διασπᾶν ἐπαγγελλομένου, ἀλλ' οὐ τὸν μὲν γάμον, τὸν δ' οὔ; τί δαὶ μὴ καὶ υἱὸν καὶ νύμφην καὶ θυγατέρα τῶν καθηκόντων ἐμβριθῶς διασπάσεις, ἐπεὶ καὶ τούτων ἡ ἀλλοτρίωσις ἔγκειται τῷ λόγῳ; πλὴν ἀληθεῖ λόγῳ τῆς* 20 *συζυγίας ὑμῖν ἁπάσης καθάπαξ τούτοις τοῖς λόγοις ἀναιρεθείσης τίς ἔτι καὶ συγγένεια ὑπολειφθείη; καὶ οὕτω σχολάσει σοι τὰ τῆς σοφῆς ἑρμηνείας καὶ πραγμάτων ἀπαλλαγείης. ποῦ δὲ καὶ ἡ τοῦ Παύλου θεσμοθεσία τῷ ἀπίστῳ μέρει τῶν γεγαμηκότων τὸ πιστὸν συνεῖναι καὶ* 25 *μὴ διασπᾶσθαι παρεγγυῶσα; ᾧ Παύλῳ διὰ παντὸς ἀπομάχῃ τοῦ λόγου κατ' οὐδὲν μεῖον τῶν ἀπὸ τῆς Ἄγαρ ἐκγόνων, πολλῷ κἀκείνων τῷ θράσει κατὰ τοῦ μάκαρος ῥεόντων. ἢ καὶ ψευδομαρτυρίας τοῦτον κρινεῖς, ἀφ' οὗ σὺ μὲν ἐνταῦθα διαχωρίσαι τὸν κύριον ἥκειν τῷ τοῦ* 30 *κυρίου αὐτοῦ λόγῳ ἐμπεδοῖς τὰς νομίμους συζυγίας, Παῦλος δὲ γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρίζεσθαι τὸν κύριον*

5–8 Mt. 10, 35 ‖ **10–13** Io. 2, 1–11 ‖ **24–26** 1 Cor. 7, 13 u. ad 14 ‖ **32** — p. 143, 1 1 Cor. 7, 10

13 *οὐ* add. Kh

αὐτῷ φησὶν εἰσηγήσασθαι; οὐδὲν γὰρ τοῦτο πρός γε τὴν σὴν ἀπόνοιαν καὶ ἐμβροντησίαν.

IX. Ὅτι ὁ θεὸς τὰ δημιουργήματα ὑποστήσας ἅπαξ ἔδωκεν αὐτοῖς τάξιν καθ' ἣν δεῖ | ῥυθμίζεσθαι καὶ διατελεῖν, 70v
5 οἷον σπόρῳ θέρει, ἔαρι χειμῶνι, νυκτὶ ἡμέρᾳ, ὡσαύτως καὶ τῇ γενέσει τῶν ζῴων. παρεσχέθη οὖν καὶ τῷ ἀνθρώπῳ γυνὴ μία, μεθ' ἧς δεῖ αὐτὸν μέχρις ἂν τὸ βούλημα τοῦ παρασχόντος ἐπιτρέπει συζῆν· οἱ δὲ παρὰ τοῦτον γάμοι ἀνθρωπίνης συγκαταβάσεως, ἀλλ' οὐ θεϊκῆς διατάξεως.

10 *Πολλὰ κἂν τούτῳ ἔχων εἰπεῖν τὴν ἀτοπίαν διακωμῳδοῦντα τῶν προκειμένων, καὶ μάλισθ' ὅτι καὶ τὰ ζῷα μονογαμεῖν ἀξιοῖ τῇ ἐξ ἀρχῆς διατάξει, παρίημι τῷ μὴ τοῖς ἀδολεσχοῦσι συναδολεσχεῖν ἐπ' οὐδενὶ δέοντι, ἄλλως τε καὶ ἐπειδὰν ἱκέτην αὐτὸν καταλαμβάνω τὸν πρὸ τοῦ*
15 *σοβαρόν τε καὶ ἄτεγκτον τοῖς γάμοις πρὸς τὸν τῆς ἀνθρωπίνης συγκαταβάσεως βωμὸν καταφυγόντα καὶ ἡμῖν συναγορεύοντα, ἤδη τὸ σῶφρόν τε καὶ ἐπιεικὲς τοῦ τέως ἀγρίου ἀνταλλαξάμενον. διὸ χωρῶμεν πρὸς τὰ τῶν λήρων ἑξῆς.*

X. Ὅτι καὶ ἡ τοῦ θείου ἀποστόλου περὶ χειροτονίας νομο-
20 θεσία, δι' ὧν ὁρίζει τοὺς μιᾶς γυναικὸς ἄνδρας πρὸς θείαν λειτουργίαν ἀναλαμβάνεσθαι, τί ἄλλο ἢ τοῦτο ἡμᾶς διδάσκει, ὅτι εἷς γάμος ὁ παρὰ θεοῦ ὁρισθεὶς τῇ φύσει; καὶ διὰ τοῦτο ὡς ἀμέμπτου ὄντος οὐκ ἀνάξιοι πρὸς χειροτονίαν οἱ νομίμως αὐτῷ ὑπουργήσαντες, οἱ δὲ παρὰ τοῦτο ὑπὸ
25 μέμψιν· καὶ διὰ τοῦτο οὐδεὶς τῶν ἐκ δευτέρου γάμου τῇ ἱερᾷ προσάγεται ὑπηρεσίᾳ. εἰ δὲ μὴ ὁ δεύτερος ἄμεμπτος ὡς μὴ θεόθεν διδόμενος— ἐποίησε γὰρ ὁ θεὸς πάντα καλὰ λίαν — πῶς ἄν τις εἴποι γ̅ ἢ τέταρτον μὴ παρὰ θεοῦ κωλύεσθαι;

30 *Ἐπεί σοι μὴ διαστείλασθαι δύναμις μεταξὺ ὁσίου τε καὶ βεβήλου, ἀλλὰ κατὰ τὸν Κάϊν ἐξαμαρτάνειν μὴ διαιροῦντι ὀρθῶς καὶ ταύτῃ μηδὲ προσάγοντι, μηδ' αὖ τὸ τοῦ*

3—5 Gen. 8, 22 || **14–15** Leonis VI Nov. 90 (PG 107, 604 A–C) || **19—21** 1 Tim. 3, 2 || **27–28** Gen. 1, 31 || **31—32** Gen. 4, 7 || **32 u. ad p. 144, 2** Mt. 22, 21; Mc. 12, 17; Luc. 20, 25

15 leg. *τοῖς ⟨γ̅⟩ γάμοις*?

θεανθρώπου συνιέντα σέ, ἀποδιδόναι τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ — ἐπεὶ τοίνυν οὕτω τὴν κρίσιν ἐξηχρειώθης καὶ τῇ τῶν ἱερέων περὶ γάμων χρήσει τὴν ἀπηνῆ καὶ μωρὰν ὑμῶν διαβεβαιοῦν ἔκρινας ἔνστασιν, αὐτοῖς σε τούτοις αἱρήσομεν οἷς θαρρῶν 5 τὸν ἀγῶνα ὑπέρχῃ. εἰ γὰρ ὅτι ὁ ἅπαξ γεγαμηκὼς ἱερᾶται, τὸ ἅπαξ μὲν ἐκλέγῃ τοῦ γάμου, τὰ δὲ μετὰ τοῦτο συμβαίνοντα ἀπεκλέγῃ, ὥρα σοι καὶ τὸ ἅπαξ κριθὲν ἤδη παραγκωνίζεσθαι καὶ πρὸς Κυνόσαργες, τὸ πολὺ τοῦτο εἰπεῖν, ἀπορρίπτειν, καὶ τὸ κάλλιστον ἀνευρεθὲν καὶ τῇ 10 τοῦ κρείττονος ὡς φῂς ἐπικρίσει ἐπὶ τὸ χείριστον μετατάττειν. εἰ γὰρ ὅτι κάλλιστον ὁ πρῶτος γάμος, ὡς καὶ τοῖς τοῦτον μόνον ἀσπαζομένοις τὴν περὶ θεὸν λειτουργίαν περιποιεῖν, τί φήσεις, ἐπειδὰν καταλάβοις καὶ τοῦτον ἀπὸ τῆς τῶν ἱεροτελεστῶν ἐνδιαβαλλόμενον χρήσεως καὶ 15 ὡς ἐναγέστατον πάντῃ τοῦτον ἐξαπωθούμενον; ἆρα γὰρ οὐ συνῆκας ὁ σοφός τε καὶ μέγας διδάσκαλος ὡς μετὰ τὴν ἱερὰν τιμὴν ὁ ταύτην ἀνειλημμένος εἰ γάμῳ καὶ πρώτῳ ἐπιχειρήσοι, τῆς λειτουργίας ἐκβάλλεται; βαβαί, τὸ 71ʳ κάλλιστόν τε καὶ καθαρώτατον | δόξαν κάκιστον ἀπο- 20 φαίνει τὸν χρώμενον καὶ ἠλισγημένον; ἀλλ᾽ εἰπὲ πῶς, εἰ ἐπίστασαι σύνεσιν· ἐμοὶ γὰρ οὔ γε σχολὴ τούτοις ὑμᾶς ἐφιστάνειν. πλήν γε τοῦτο μόνον ἐρῶ, ὡς οὐχ οἷς χρησάμενος βασιλεὺς τὸ ἀνάξιον ὑποδύεται τῆς ἀρχῆς, ἤδη καὶ ἰδιώτης· οὐδ᾽ ἀπὸ τοῦ προσήκοντος τῇ ἐξουσίᾳ τὰ τοῖς 25 μετὰ ταύτην ἐμπολιτευόμενα καθυβρίζεται· οὐδ᾽ ὅτι βασιλεῖ περίβλημα ὕφασμα ἁλουργὲς καὶ στέφανος καὶ διάδημα, ἤδη τὴν ἄλλην τῶν ὑπηκόων ἀτιμαστέον ἀναβολήν, ἑκάστῳ δὲ τὸ πρέπον τε καὶ προσῆκον ἀποδοτέον, ὃ μετὰ τοῦ καιροῦ καὶ τῆς τύχης καθ᾽ ἑαυτὸ ἕκαστον τὸ 30 κάλλιστον ἐπηγάγετο, ἀλλ᾽ οὐ τῇ τῶν ὑπερανεστηκότων παραβολῇ, ἐπεὶ τὸ μεῖον πρὸς ταῦτα ἠνέγκατο, ἤδη καὶ πάντῃ τὸ χείριστον ἐκομίσατο. ἐπεὶ οὕτω γε καὶ σὲ καὶ

9—10 CPG I 246; 398; II 381 || **10—11** supra p. 143, 27—28 || **21—22** Iob 38, 4

14 τουτῶν M || **16** τοῦτον] fort. τούτων

πάνθ᾿ ὁντινοῦν, ὅτι τοῖς μονάζουσι τῷ ὄντι κρεωφαγία ἀπείρηται καὶ λουτρῶν ἡ κατάχρησις καὶ πᾶς εὐώδης ἀτμὸς καὶ λειότης τῶν ἐνδυμάτων σὺν τῇ ποικίλῃ τε καὶ τιμιωτάτῃ ὑμῖν ἰχθυΐᾳ, μετρεῖται δὲ καὶ τῆς κατὰ φύσιν τροφῆς
5 *ἡ προσαγωγή – οὐκ ἐπεὶ οὖν ἐκείνοις ἀνάρμοστα ταῦτα, λοιπὸν καὶ ὑμᾶς τοὺς τούτοις ἐνευπαθοῦντας ἐπαινετόν τι πραγματευόμενοι τῆς τῶν Χριστιανῶν ἀποσκυβαλίσομεν ἐκκλησίας, πολλῷ τῷ κατεγνῶσθαι τῇ πρὸς ἐκεῖνα παραβολῇ δολουμένους. εἰ οὖν μὴ τοῦτο, πῶς ἐκεῖνο, ὑμῖν*
10 *καταλείπω κριταῖς.*

Τὰ μὲν οὖν τῆς ἐννοίας τῇδέ πῃ διημαρτημένα κατείληπταί τε καὶ ἀπελήλεγκται· τὰ δὲ τῆς ἀπαγγελίας τε καὶ πλοκῆς, ὅπως τοῖς ἀσυμφύλοις πρὸς τὴν ἀπόδειξιν ἐπαγάλλεται καὶ τὸ ζητούμενον συναρπάζει, τοῖς κρίνειν
15 *λαχοῦσι παραχωρήσομεν, εἰ μικρῷ καὶ ἡμεῖς ἀνωτέρω ὅσον ὑποκροῦσαι τὰ πρὸς τὴν κρίσιν ἐμωμησάμεθα. τό γε μὴν τοὺς πατέρας θεοῦ κατεξανιστᾶν, τοῦ μὲν ἀποκωλύοντος, ὡς διατείνῃ, τοὺς γάμους, τοὺς δὲ τὸ ἐκείνῳ ἀποπεμπόμενον ἐπιτρέποντας, οὐκ οἶμαι τὴν βλασφημίαν*
20 *ὅση παρατιθέναι. καὶ δή γε καὶ σέ, τριτογάμῳ τῷ βασιλεῖ συμπεριφερόμενον τὸ πρὸ τούτου, μηδὲν τῆς νῦν ὑποβλεπόμενον ἐμπληκτοτάτης ἀκριβείας, ὁποίῳ καθυποβληθῆναι ζημιώματι, αὐτῷ σοι τῷ λόγους καὶ †λόγους† ῥυπῶντι παραχωροῦμεν, ὅτι μηδὲ ὅσιον σωφρονοῦντας τοῖς*
25 *παρακόπτουσιν ἐπιτίθεσθαι.*

XI. Ὅτι τὸ τοῦ ἀποστόλου ‘καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι’ τὴν ἀγαμίαν προτιμῶντος εἴρηται· ὁ δὲ τῆς νομίμου συζεύξεως τὴν ἀγαμίαν προκρίνων πῶς ἐπιτρέψει παρανόμως συνάπτεσθαι; σφάλλονται οὖν οἱ λέγοντες τὸν
30 ἀπόστολον διὰ τοῦ λέγειν ‘κρεῖσσον γαμῆσαι ἢ πυροῦσθαι’ πλείοσιν ἐπιτρέπειν ὁμιλεῖν γάμοις, ἀλλ᾿ ἡ παραίνεσις τὸν ἕνα μόνον διδάσκει.

1 mg. *ση(μείωσαι)*.

15–16 supra p. 143, 30–144, 6 || **26–27** 1 Cor. 7, 1 || **30** 1 Cor. 7, 9

4 *ἰχθυείᾳ*, *-ει-* ex *-ι-*, **M** || **22** *καθυποβληθῆναι*] *δεῖ* deest || **23** *λόγους*[2]] fort. *πράξεις*

Ὥσπερ τυφλοῖς τὸ συλλογίζεσθαι περὶ χρωμάτων ἀνέφικτον, οὕτω καὶ σοὶ χεῖρον τυφλῶν διαγενομένῳ πρὸς τὰ προκείμενα. ἦ γὰρ ἂν ὑπόγυον ἔχων τὸν ἔλεγχον οὐχ οὕτως ἀπηυθαδίζου, πρὸς δὲ τὴν ἀποστολικὴν ῥῆσιν κατ- ευθυνόμενος ἐπεῖχες ἂν τὴν ῥύμην τοῦ λόγου καὶ οὐ κατὰ 5 *κρημνῶν ἐχώρεις, ἀεὶ τὸ παρὸν μόνον σκοπῶν καὶ ὅπως τοῦ ὅλου σώματος τοῦ λόγου τι παρασπάσας τοὺς* 71ᵛ *ἀστηρίκ|τους ἀποπλανήσεις καὶ ἀμαθεῖς, ὃ καὶ ἐπὶ τῶν ἱερῶν συνεκάττυσας κανόνων, τοὺς ἀδελφοὺς ἡμῶν μιαι- φονεῖν κεκρικώς.* 10

Εἰπὲ γάρ μοι, τὸ 'κρεῖσσον γαμῆσαι ἢ πυροῦσθαι' τὸν ἕνα μόνον γάμον διδάσκει, καὶ σφάλλονται δήπου οἱ τὸν ἀπόστολον διὰ τούτου πολυγαμίᾳ παραχωρεῖν εἰρηκότες; ἀλλὰ πολλῷ μᾶλλον ὁ τοῦ λόγου, φήσεις, Παῦλος πατήρ, εἰ μή τι κρείττων ἐκείνου σὺ τὰ τούτου ἐξακριβοῦν καὶ 15 *τὴν ἄλλως αὐτὸν ἀπελέγχειν φθεγγόμενον. τί γὰρ ἐκεῖνος ἐν τούτοις φησί; 'λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις· καλόν ἐστιν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν, κρεῖσσον γάρ ἐστι γαμῆσαι ἢ πυροῦσθαι'. εἰ μικρῷ κατόπιν τὸν μὲν ἄγαμον ἐπαμφο-* 20 *τερίζειν ἐδείκνυμεν τῷ σημαινομένῳ, κατά τε γὰρ τοῦ ἀνεπάφου γάμου καὶ τοῦ ἐφαψαμένου, ἀλλὰ καὶ χῆραι ὧν τὸ ῥητὸν διαμνημονεύει οὐκ ἂν εἶεν ἄλλαι ἢ αἱ μετὰ γνῶσιν ἀνδρὸς μονωθεῖσαι τούτων ἐκείνων τῶν ὁμοζύγων, ἃς καὶ μὴ ἐγκρατευομένας ἐπὶ γάμον Παῦλος παρακαλεῖ, πῶς* 25 *σὺ πρὸς τοσαύτην ἐνάργειαν ἀμβλυώττεις, ἄγαμον μόνον παραληρῶν τὸν ἀπόστολον λέγειν τὸν ἄγευστον γάμου, ἕτερον πάντῃ τοῦ ἤδη πεπειραμένου (εἰ καὶ δοθέντι τούτῳ μηδὲν ἂν ὑμῖν συναντῴη τῶν δι' ἐπιθυμίας, ἀμφοῖν ἐφειμένου ἀκράτορσιν ἀφροδισίων τελοῦσιν ἐννόμῳ μίξει* 30 *γυναικὶ συνιέναι), ἀλλ' ἢ πάντως ἤτοι αἰσθήσεως δεόμενος ἢ κολάσεως;*

17–20 1 Cor. 7, 8–9 || **20–22** supra p. 132, 20–27 || **31–32** Aristot. Top. I 10, 105a 3–7

15 *ἐξακριβοῦν*] *-οῦν* ex *-εῖν* **M**

Πλὴν τί τις εἴποι πρὸς τοσαύτην ἀναίδειαν, ἣ τῷ ἰσχυρογνώμονι ἐκδεδομένη οὐδὲ τῆς ἀληθείας ἐπιστρεφῶς ἔσχηκεν; ἀλλ' εἴπερ καὶ περὶ τὰ προφανῆ τοιοῦτος, τίς ἂν εἴη περὶ τὰ βραχεῖ τῷ βάθει κατ' ἔννοιαν ἐπιλυγα-
5 *ζόμενα; ἀφ' οὗ δή, σαφέστερον τὸ μικρῷ πρόσθεν ἐρεῖν, καὶ τὸ 'καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι, διὰ δὲ τὰς πορνείας ἕκαστος καὶ ἑκάστη' εἰς συνηγορίαν τῆς ἑαυτοῦ παρανοίας κεκομικότι κωφεύειν καλόν, τοῦτο μὲν ὅτι καὶ ἀλλαχοῦ πλείονι λόγῳ ἡ τούτου μοι ἀνεπτύχθη*
10 *διάνοια, τοῦτο δ' ὅτι μηδὲ τῶν ἐπαινουμένων τοῖς ἰδιογνωμουμένοις καὶ μὴ κατ' ἐπιστήμην τοῖς ῥητοῖς ἐπιβάλλουσιν, ἀλλ' ἁδρομερῶς καὶ χρόνων ἀσυνέτως καὶ δυνάμεως σημαινομένων ἀνεπιγνώστως, τῇ λογικῇ πάλῃ συμπλέκεσθαι. τί γὰρ ἂν δρῴημεν πρὸς κακουργίαν*
15 *ἀλαζονείας ἢ θύραν, φασί, κωφοῦ κόψομεν καὶ ὕδωρ ὅλμῳ πτίξομεν, τοῦ μὲν μὴ ἐπαισθανομένου τῶν λόγων, τοῦ δὲ μένοντος, ᾗ καὶ πρὸ τοῦ, ὕδατος; οὐδέπω γὰρ ἔχει συνεῖναι ὡς τὸ κἀνταῦθα καλὸν οἷς ἡ ἀνθρωπίνη ἀσθένεια παρευδοκιμεῖ, τούτοις καὶ τὸ ἐν τοῖς ἀγάμοις καὶ ταῖς*
20 *χηρευούσαις ἐξεβιάσατο τοῦ κατὰ τὴν μόνωσιν στασίμου ἐξίστασθαι. τὸ δέ τοι μὴ ἐκ παραθέσεως τῶν ἀμεινόνων ἐνδιαβάλλειν τὰ τὸ ἧττον ἀποφερόμενα, ὃ ἀπὸ τοῦ μὴ ἅπτεσθαι καλοῦ περιποιεῖν βούλεται τῷ ἔχειν ἕκαστον καὶ ἑκάστην, καὶ πρὸ ὀλίγου ἠξίωταί μοι ἐπισκοπῆς· καὶ*
25 *νῦν δὲ τὸ 'πᾶσα δικαιοσύνη ἀνδρὸς ἐνώπιον κυρίου ὡς ῥάκος ἀποκαθημένης' παραγαγόντες εἰς ἀναμφίλεκτον οἶμαι τὸν λόγον καταστησόμεθα. εἰ γὰρ τὸ τῆς ἀνθρωπίνης ἀρετῆς ὑπερβάλλον | τοιούτῳ παρατίθεται μύσει, ᾧ* 72ʳ *καὶ ἀγαμία καὶ πᾶν εἴ τι σεμνὸν περιείργεται, πῶς ἂν*
30 *σωφρονεῖν ἔτι φῶμεν τοὺς ἐκ παραβολῆς τῶν κρειττόνων*

5 supra p. 146, 1–10 || **6–7** 1 Cor. 7, 1–2 || **8–10** cf. supra p. 102, 25–103, 8 || **15** CPG I 370 || **15–16** cf. Lucian. Hermot. 79 || **24** supra p. 144, 6–145, 10 || **25–26** Is. 64, 5

1 *ἣ* Kh: *ἡ* **M** || **3** *καὶ* dub. **M** || **5** *τὸ* Wk: *τῷ* **M** || **16** *ὁλμῷ* **M** || **26** *ἀμαμφίλεκτον* **M** || **28** *μύσει* Wk: *μίσει* **M**

τὸ αἴσχιστον ἐπιμαρτυροῦντας τοῖς τὸ λαμπρότατον ὑποβαίνουσι τῶν ἀμεινόνων; ὅμοιον γὰρ ὡς εἴ τις καὶ τὸν βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον τῇ τῶν χειρίστων ὑπάγοιτο συζυγίᾳ διὰ τὸ ‛ἔλαττον'.

XII. Ὅτι ὁ μέγας ἀπόστολος Παῦλος παραινῶν δεῖν τοὺς ἄνδρας ἀγαπᾶν τὰς γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα, καθὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν, δείκνυσι τηλαυγῶς τοῖς μὴ παντελῶς ἀποτετυφλωμένοις μίαν καὶ μόνην ἀνδρὶ συνάπτεσθαι ὀφείλειν γυναῖκα· οὐδὲ γὰρ δύο τοῦ Χριστοῦ ἐκκλησίαι, ἀλλὰ μία παραδέδοται καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. φησὶ δὲ οὕτως· ‛ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει τε καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ κύριος τὴν ἐκκλησίαν'. καὶ τὸ ἑξῆς δέ, ‛τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν', φανερῶς ἀποτρέπει τὴν ἐπὶ δευτερογαμίαν πρόοδον. εἰ δὲ μὴ χώρα τῷ δευτέρῳ γάμῳ, τίς ἂν ὑπολείποιτο τοῖς πλείοσιν;

Ἀναντιρρήτως ἤδη Καρποκράτης καὶ Κέρδων ὁ τὸν δεύτερον ἀθετῶν γάμον καὶ τῷ συνετίζειν τοὺς τῷ δοκεῖν αὐτῷ τυφλοὺς κατεπείγεσθαι αὐτὸς τῷ ὄντι πολὺ βλέπων ἀναδεικνύμενος. ἀλλ' οὖν οἷς ἀπομάχεται πρὸς τὸν δεύτερον γάμον οὐδὲ πρὸς τοὺς ἑξῆς τὸ πιστὸν ἀποφέρεται· εἰ κἀκεῖ γὰρ τοῖς αἱρετικοῖς ἁμιλλώμενος, σχολῇ γ' ἂν περὶ τὰ ἑξῆς αἱρετικῆς καθαρεύει μανίας. ὃ μέντοι τοῦ γάμου τὴν ἐκκλησίαν παράδειγμα προηνέγκατο, οὐ μᾶλλον πρὸς τούτου ἢ πρὸς ἡμῶν τοῖς σωφρονοῦσι καταληφθήσεται. μία μὲν γὰρ ἡ ἐκκλησία καὶ εἷς ὁ Χριστὸς καὶ διὰ τοῦτο εἷς ἀνὴρ μιᾷ καὶ μία γυνὴ ἑνὶ εἰς ἀεί, συναγορεύω σοι κἀγώ. ἀλλ' ὥσπερ καὶ μία ἡ ἐκκλησία καὶ εἷς ὁ Χριστός, οὐχὶ τῷ σώματι μία οὐδὲ τῇ κεφαλῇ μία – τὸ γὰρ θνητὸν

3 Hebr. 2, 7; Ps. 8, 6 || 11–15 Eph. 5, 28–29 || 15–16 Eph. 5, 32

3 *ἀγγέλους* **Wk:** *-οις* **M**

ἀδιαλείπτως διαμείβει, τὸ τῶν πιστῶν πλήρωμα, ἑτέρους ἀντεισάγον τῶν ἀποιχομένων καὶ τὴν αὐτὴν ἐκκλησίαν ἀποπληροῦν· καὶ ἡ κεφαλὴ πάλιν οὐ μία, τοὺς καθεξῆς φημὶ διαδόχους εἰς τύπον ἀφωμοιωμένους Χριστοῦ, ἀλλὰ
5 *διάφοροι, εἰ καὶ τῷ πνεύματι καὶ τῇ ἐπιστασίᾳ τὸ εἷς εἶναι νενόμισται διὰ πάντων, καὶ δή γε ὁρᾶται ἀεὶ τὸ πλήρωμα ἓν καὶ εἷς ὁ ποιμήν· — οὕτως κἂν ἄνδρας φησὶ τὸ ῥητὸν τὰς ἑαυτῶν ἀγαπᾶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα, οὐ πάντως τοὺς πρωτογάμους μόνους φησίν, ὅτι μηδ'*
10 *ὑποβάλλεται τοῦτο τὸ λόγιον μηδὲ ἡ τῶν πραγμάτων ἐνάργεια τῷ πρώτῳ μόνῳ τοῦτο δίδωσι γάμῳ, ὡς ἄνω παρεστήσαμεν ἀληθέστατα, ἀλλ' ἀγαπᾶν τὸν λαχόντα τὴν κατηγγυημένην ¦ αὐτῷ ἕνα μίαν, ἀλλ' οὐ δύο ἢ μιᾷ ἢ ἑνί.* 72v
τοῦτο γὰρ νοεῖ ὁ ἀνεπηρέαστος νοῦς καὶ τὸ πρὸς τὴν
15 *ἐκκλησίαν μυστήριον ἀφορῶν. καὶ τί τοῦτο; ἡ πρὸς αὐτὴν τοῦ νυμφίου Χριστοῦ κηδεμονία τε καὶ στοργή. ὃ γὰρ ἐποφείλεται ἀνδρὶ πρὸς γυναῖκα, τοῦτό φησι καὶ Χριστῷ πρὸς τὴν ἐκκλησίαν. ὡς οὖν ἐπ' ἐκείνης τὸ εἷς καὶ μία οὐ τὸ ταὐτὸν δύναται τῶν νενυμφευμένων — ἐδείχθη γὰρ*
20 *διὰ τὸ θνητὸν τὸ διάφορον — τῷ δὲ συστήματι καὶ τῷ ἐπιστατοῦντι τὸ μία καὶ εἷς, οὕτως κἀνταῦθα μίαν ἑνὶ συνῆφθαι καλόν, παραχωρουμένου τῷ μονωθέντι τοῦ λείποντος, ἂν ἄρα μὴ ἱκανῶς φέρῃ τὴν ἐγκατάλειψιν μηδὲ σωφροσύνης τὸ λάγνον ἀναχαιτίζοιτο χαλινῷ.*
25 *Εἰ δέ σοι μὴ κατὰ τὸ καίριον δόξωμεν προαχθῆναι τῷ λόγῳ, ἀλλ' ἀξιοῖς ἄγαν διατεινόμενος μίαν εἶναι τὴν ἐκκλησίαν, κἂν εἰ τὸ πλήρωμα μὴ τὸ αὐτὸ τῇ ἐκκλησίᾳ, ἧς ἀεὶ ἀνὴρ εἷς ὁ Χριστὸς διὰ τὸ ἀείζωον, ἐγὼ μὲν οὐκ ἂν πάνυ ἰσχυρισαίμην, ἐπεί σοι μεγίστην τοῦτο προσποριεῖται*
30 *μανίαν καὶ κατὰ σαυτοῦ σοφιζόμενον ἀπελέγξει, ἐπὰν τὰς ἐκκλησίας πρὸς κύριον ἀπελθόντων τῶν ἤδη οἰκονομησάντων αὐτὰς οὐχὶ καταλείπεις χηρεύειν, ἀλλ' ἀντεισάγεις*

11–12 supra p. 134, 25–136, 16

11 *τοῦτο* Wk: *τούτῳ* **M**

ἑτέρους νυμφίους αὐταῖς, οὐ τρίτους οὐδὲ τετάρτους, ἀλλὰ καὶ μυριοστούς, καὶ ὁ τοὺς κατὰ σάρκα γάμους τῇ φειδωλίᾳ κατάγχων τοὺς θείους τε καὶ πνευματικοὺς ἐπὶ τὸ ἄσωτόν τε καὶ ἀφειδὲς παραπέμπεις οὐδὲν τοῦ ὡς βούλει μυστηρίου τοῦ εἰς Χριστὸν καὶ τὴν αὐτοῦ ἐκκλησίαν προσ- 5
ποιούμενος· καὶ τί ἂν λέγοιμι ὡς οὐδὲ ἑνὶ ἀνδρὶ περι-κλείων τὴν τοιαύτην συζυγίαν, ἀλλὰ καὶ δυσὶ κατὰ ταὐτὸν καὶ τρισί, καὶ ἔτι τῶν προτέρων, τὸ ἀτοπώτερον λέξαι, ζώντων ἐπεισάγων τοὺς ἄλλους ἀπ' ἐναντίας τῷ νόμῳ καὶ Παύλῳ τῷ θείῳ, οἵ μὴ συγχωροῦσι τοῦ προτέρου 10
ζῶντος ἀνδρὸς τῇ γυναικὶ ἑτέρῳ τῆς κοίτης παραχωρεῖν; τί δαὶ καὶ εἰ μετὰ βιβλίον ἀποστασίου αὖθις ὁρῷτο ὁ τὸ ἀποστάσιον δοὺς καὶ μετὰ γνῶσιν ἑτέρου πάλιν τὴν ἀπο-πεμφθεῖσαν ἀνεπαισχύντως εἰσοικιζόμενος, μὴ τὸ τοῦ Χριστοῦ λογιζόμενος, ὃς βιβλίον ἀποστασίου μὴ ἐξεῖναι 15
διδόναι Ἰουδαίους ἀποκωλύει, πάντως ὅτι μὴ ὡς Χριστοῦ μαθητὴς τοῦτο ποιῶν, μηδ' αὖ γε Ἱερεμίου τοῦ προφήτου πεφροντικὼς 'γυνὴ' φάσκοντος 'ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ, μιαινομένη μιανθήσεται καὶ οὐκ ἀνακάμψει πρὸς τὸν ἄνδρα αὐτῆς'; εἰ δὲ καὶ αὐτὸς ὁ μετὰ τὸ προαγωγεῦσαι τῇ 20
ἀποστάσει ἤδη ἐπανέλοιτο ταύτην, ἆρ' οὐχὶ ἀσεβὴς καὶ παράνομος ὡς μοιχαλίδα κατέχων; τίς οὐκ ἐρεῖ; σκοπεῖν δέ, εἰ μὴ ταῦτα πάντα ἐφ' ὑμῖν καὶ τοῖς περὶ σὲ συντετέ-λεσται.

73r Ἀλλ' ἐπειδὴ | ταῦτα, καὶ πᾶν ὃ συνηγορεῖν ἐκβιάζῃ κατὰ 25
σοῦ πεπραγματευμένον καταλαμβάνεται τί μὴ καταδύῃ πρὸς χάος, ἀλλ' ἀναιδὴς ἔτι ὑφίστασαι προσώπῳ; καὶ σου καὶ τόδε ὑπερεπαινῶ, ἀεὶ Χριστὸν μόνον τῇ ἑαυτοῦ νυμφίον ὑποβαλλόμενον ἐκκλησίᾳ, τοὺς κατὰ καιρὸν διαδόχους, καὶ πρό γε τούτων σεαυτόν, τῆς τοιαύτης 30
ἀποκρίναντα τιμῆς. καλῶς γὰρ μάλα τόδε διαλαμβάνεις, ὅτι μηδὲ Χριστοῦ τύπον κατείληφας ἑαυτόν, ἴσως

10 1 Cor. 7, 10–11 || **15–16** Mt. 19, 3–9; Mc. 10, 2–12 || **17–20** Ier. 3, 1 || **27** Prov. 21, 29

18 *πεφροντικὼς* Kh: *-κὸς* M || **20** *ὁ* del. Kh

φαυλότητι βίου τὸν τύπον ἀποδιδράσκων, ἐπεὶ μηδὲ τῶν ἀμωμήτων ταῖς συρφετώδεσι τῶν ὑλῶν τοὺς θείους χαρακτῆρας ἐναπομόργνυσθαι.

Τὸ δέ σοι φανερῶς εἰρῆσθαι τοὺς ἐφεξῆς τῷ πρώτῳ
5 *ἀποτρέπειν γάμους τὸν θεῖον ἀπόστολον τῷ κατὰ τὸν γάμον μυστηρίῳ μεγάλῳ τε ἀνυμνουμένῳ καὶ τῇ τοῦ Χριστοῦ ἐναρμόττεσθαι ἀξίῳ ἐκκλησίᾳ, κἂν εἰ αὐτὸς καταγνωστότερον τοῦτο, ὡς ἤδη ἐκτέθειται, καὶ τῆς ἀποστυγουμένης ὑμῖν πολυγαμίας διέθηκας, πρὸς οἷς*
10 *οὐ νενοηκότος ἐστὶ τί τὸ μυστήριον, ὅτι τὸ κατὰ τὴν γαμικήν, ἧπερ ἔφαμεν, φησὶ στοργὴν καὶ διάθεσιν καὶ προμήθειαν ἀνδρὸς πρὸς τὴν ὁμόζυγα ἑαυτοῦ, ἔτι καὶ τῇ ἑαυτοῦ περιπλέκοντος τὸν ἀπόστολον ἀτοπίᾳ. ὡς γὰρ αὐτὸς ἐν ἅπασιν ἑαυτῷ καταλαμβάνῃ μαχόμενος τῷ λόγῳ*
15 *πάντως ἀνεπαισθήτῳ τοῦ κρείττονος γνώμῃ, οὕτω καὶ τὸν Χριστοῦ νοῦν ἔχοντα Παῦλον ᾠήθης. δε νὸν γὰρ τὸ ἀσύνετον καθ' ἑαυτὸ ὑποπτεύειν καὶ τὸ κακίας ἁπάσης καὶ ἀμαθίας ἀμέτοχον. εἰ γὰρ ἀναφανδὸν οὗτος καὶ διαρρήδην τὸ ʽεἰ δ' οὐχὶ ἐγκρατεύονταιʼ βοᾷ ʽγαμησάτωσανʼ, πῶς*
20 *αὐτὸς νῦν διατείνῃ τῷ ἀμεθόδῳ σου ῥήματι καὶ ἀλογίστῳ φανερῶς ἀποτρέπειν τὸν Παῦλον τὸν δεύτερον γάμον; ἢ τῶν ῥητῶν τε καὶ προφανεστάτων τὰ εἰς ὑπόνοιαν τῶν παρακοπτόντων σαφέστερα; πολλοῦ μὲν οὖν τοῦτό γε δεῖ.*

XIII. Ὅτι διὰ τοῦ εἰπεῖν τὸν θεῖον Βασίλειον πορνείαν κεκο-
25 λασμένην τὴν τριγαμίαν κεκώλυται ἡ τετάρτη συνάφεια καὶ μόνως ὀνομαζομένη πολυγαμία, κἂν μηδὲν ἕτερον περὶ ταύτης εἴρητο. ἔφη γὰρ κεκολασμένην πορνείαν τὴν τριγαμίαν, ἵνα σαφῶς εἰδεῖεν οἱ πλέον ἐπεκτεινόμενοι ὡς πρὸς φανερὰν ἐξελαύνουσι πορνείαν, εἰ καὶ ταύτης φησὶ
30 πλέον ἔχειν τὴν πολυγαμίαν ὁ μετὰ ταῦτα ἐντεταγμένος κανών.

8 supra p. 150, 6–24 || **11** supra p. 149, 14–18 || **16** 1 Cor. 2, 16 || **19** 1 Cor. 7, 9 || **24–25** Bas. Ep. 188, can. 4, PG 32, 673 A 6–7 || **29–31** Ep. 217, can. 80, PG 32, 805 B 1–2

1 *ἀποδιδράσκων* Wk: *-ον* M || **21** *ἢ* Wk: *ἤ* M || **23** *σαφεστέρα* M

Εὔκαιρον ἡμᾶς τοῦτο νῦν φθέγξασθαι, ʽὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶνʼ. ὃ γὰρ ἂν ὑποβάληται τούτοις ἡ ἀφροσύνη, τοῦτο καὶ οἴονται ὀρθόν τε καὶ ἀδιάστροφον. ὅθεν καὶ ὁ σοφὸς οὑτοσὶ τῶν ἀνεξευρέτων αὐτῷ ἑρμηνεύς, οὔπω συνιεὶς ὡς τοῖς τοῦ τρίτου ζημιώμασι καὶ τὰ λοιπὰ 5 *προστιμᾶται τοῦ βίου ὁ θεῖος Βασίλειος, τὸ πᾶν οἰηθεὶς τοῦ ἑαυτοῦ κατανύσαι βουλήματος, κροτεῖ καὶ ἐπιχαίρει* 73ᵛ *ἑαυτῷ διώκων ἀκίχητα καὶ συμ|περαίνων ἀπέραντα. ἀφʼ οὗ γὰρ οὗτος ἀπισχυρίζεσθαι κέκρικε κανόνος, ἐν τούτῳ Βασίλειος παρακρουόμενος ὁρᾶται τοὺς ἀνοήτους. οὐδὲ* 10 *γὰρ ὑποστέλλει τριγαμίαν πολυγαμίας ἐνταῦθα, ὡς τῷ σοφῷ τούτῳ δοκεῖ, καὶ τοῦτο πολλοῖς τοῖς μαρτυρίοις σαφές. πρώτῳ τῷ προσκεῖσθαι τῷ λόγῳ τὸν αὐτὸν ὡρίσθαι κανόνα τριγάμοις κατὰ τὸ ἀνάλογον τοῦ βαθμοῦ. δευτέρῳ καὶ ἀπαραλογίστῳ τῷ εἰρηκέναι καλεῖσθαι τὸ τοιοῦτον* 15 *οὐκέτι γάμον, ἀλλὰ πολυγαμίαν· τῷ γὰρ ὁμοιωματικῷ λόγῳ πρὸς ἓν εἶδος τριγάμους καὶ πολυγάμους συνήλασεν· ἢ τί μὴ ʽτοῦτοʼ ἀλλὰ ʽτὸ τοιοῦτοʼ προστέθεικε; τρίτῳ καὶ ἀναντιρρητοτέρῳ τῷ προσειλημμένῳ πράγματι καὶ ὑποδείγματι. ἐπὶ τούτοις τῷ ἐπιφορικῷ, ὃ μετὰ τοῦ καθόλου* 20 *προσδιορισμοῦ τὸ κράτος ἠνέγκατο. εἰ γὰρ εἰς παράστασιν τοῦ μηκέτι λέγεσθαι γάμον τὸν τρίτον ἀλλὰ κεκολασμένην πορνείαν τὸ τῆς Σαμαρείτιδος ὑπὸ τοῦ θείου πατρὸς παρενήνεκται κατὰ λήμματος χρείαν, ᾗ πέμπτῳ μὲν χρήσασθαι μεθεῖται γάμῳ ὑπὸ τοῦ κυρίου, μόνῳ δὲ τῷ* 25 *ἕκτῳ ἅτε κρυφίῳ καὶ ἀπαρρησίαστον τὴν κοίτην ἔχοντι ἀποσκορακίζεται, εἴ τί γε δεῖ μετὰ τοῦ θείου εὐαγγελίου καὶ τῷ χρυσῷ τὸν λόγον πείθεσθαι Ἰωάννῃ· καὶ ἡ ἐπιφορὰ δὲ τῷ ἄρθρῳ ὡς καθόλου κατωχύρωται προσδιορισμῷ, ʽτῶν ὑπερεκπεσόντωνʼ τοῦ αὐτοῦ φάσκοντος* 30 *Βασιλείου ʽτὸ μέτρον τῆς διγαμίας οὐκέτι ἀξίων ὄντων*

1–2 Prov. 12, 15 || **8** Hom. *P* 75 (CPG I 345) || **13–14** Bas. Ep. 188, can. 4, PG 32, 673 A 1–3 || **14–16** ib. A 5–6 || **18–20** ib. A 7–9 || **20–21** ib. A 9–11 || **23–27** Io. 4, 17–18 || **27–28** Chrys. in Io. hom. 32, PG 59, 186, 24–25

24 *ᾗ* Wk: *ἣ* **M** || **26** *ἀπαρρησίαστον* Wk: *-ιάστῳ* **M**

τῷ τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς καλεῖσθαι προσρήματι' —
οὐ δήπου γὰρ ὁ τρίτος ὑπερεκπέπτωκε, τοῖς δ' ὑπερεκ-
πεσοῦσι καὶ οὗτος ὑπάγεται, καθότι καὶ τούτου δῆθεν
χάριν, τοῦ τρίτου λέγω, καὶ ἡ τῆς ἀποδείξεως ἀνάγκη
5 παρείληπται, κατασκευάζεται δὲ τὰ τοῦ τρίτου ἀπὸ τοῦ
ἕκτου, οὕτω δοκοῦν τῷ θείῳ πατρί, ὡς ἐνὶ πάντως τῶν
ἀπὸ τοῦ δευτέρου μώμῳ ὑπεκκειμένων, ἑτέρως γάρ πως
οὐκ ἂν σχοίη τοῦτο χώραν· οὐδὲ τῷ τρίτῳ ὁ ἕκτος, καὶ
ταῦτα μηδὲ γάμος ὡς ἔφθημεν εἰρηκότες μόνος τῶν πρὸ
10 αὐτοῦ ὑπὸ τοῦ κυρίου διὰ τὸ κρύφιον νενομισμένος, τὴν
ἀπόδειξιν πραγματεύσαιτο, εἰ μὴ πρὸς μίαν μετὰ τῶν πρὸ
αὐτοῦ κατεσύρετο δίκην. καὶ ὅτι τούτῳ καὶ περιεκτικω-
τέρῳ καὶ τῶν μετὰ τὸν τρίτον γάμον τῷ λόγῳ κέχρηται
ἀπὸ τῆς ἐπαναλήψεως δείκνυται· καὶ γὰρ ἐπαναλαμβάνων
15 τὸν λόγον ἐπὶ τὸν τρίτον ῥητῶς ἐπανέδραμεν τῷ μετα-
βατικῷ χρησάμενος συνδέσμῳ, 'συνήθειαν δὲ κατελά-
βομεν' φάσκων 'ἐπὶ τῶν τριγάμων', οὐκ ἂν οὕτω ῥητῶς
ἐπανειλημμένου τοῦ τρίτου, εἰ περὶ τούτου μόνου ὁ πᾶς
προενήνεκτο λόγος· νῦν δὲ τῷ ἀδιαφόρῳ τοῦ κατ' αὐτὸν
20 πράγματος καὶ πρὸς τοὺς μετ' αὐτὸν τοῦ λόγου ἐκβεβη-
κότος, εἶτα δεῆσαν | τούτων μὲν ἀποστῆναι, πρὸς δὲ τὸ 74r
ἐξ ἀρχῆς αὖθις τραπέσθαι, ἀνάγκη συνεῖχε τὸ εὐκρινὲς
προμηθούμενον τῷ λόγῳ ῥητῶς τούτου ἐπιμνησθῆναι. εἰ
γὰρ μὴ τοῦτο, πλημμέλεια προφανὴς χωρίς τινος ἀντιδια-
25 στελλομένου ῥητῶς τι τῷ λόγῳ παραγαγεῖν. καὶ αὖθις
δ' ἐπ' ἐκείνου τοῦ κανόνος ὃς τὸν τρίτον νόμῳ μὴ ἄγεσθαι
ἀποφαίνεται τορώτερον σάλπιγγος τοῦ αὐτοῦ Βασιλείου
βοῶντος τὰ τοιαῦτα ὡς ῥυπάσματα μὲν τῇ ἐκκλησίᾳ
ὁρᾶσθαι, οὐ μέντοι καὶ δίκῃ διαζυγίου ὑπάγεσθαι ὡς τῆς
30 ἀνειμένης πορνείας αἱρετώτερα, καὶ δήλου γε ὄντος κἂν

9 mg. τὸ ἑξῆς 'μηδὲ γάμος νενομισμένος'.

9 supra p. 152, 25–28 || 14–17 Bas. l. l. A 12 || 25–30 Bas. Ep. 199, can. 50, PG 32, 732 C 3–7

12 καὶ[2]] fort. ὡς

τούτοις ὡς ἐξ ὁμοτίμου τὸν μῶμον τοῖς ἀπὸ τοῦ δευτέρου ἐξαρτύεται πᾶσι· — τοσούτων οὖν καταισχυνόντων ῥητῶν τὴν ἀλόγιστον ταύτην διάληψιν, πόθεν οὗτος ἀποδιαστέλλειν τὸν τρίτον τῶν μετ᾿ αὐτὸν ἔγνωκε καὶ τίσι λόγοις ἐνεξουσιάζει νομοθετῶν τὰ ἀμήχανα θαυμάζοιμ᾿ ἄν. ἢ τὸ 5
'τὰ τοιαῦτα' ἐπὶ μόνου τοῦ τρίτου παραλαμβάνει; παραλαμβάνει μὲν οἶμαι, ἀλλ᾿ ἀμαθῶς τε καὶ ἀσυνέτως τοῦ φάσκοντος οὑτωσὶ θεολογικοῦ ῥητοῦ 'ὁ δὲ ἀμνὸς καὶ μαργαρίτης καὶ σταγὼν καὶ τὰ τοιαῦτα κατονομάζεται'.

Ἀλλ᾿ οὕτω μὲν καὶ ταυτηνὶ τὴν πυργόβαριν ὑμῶν ἐκμο- 10
χλεύσαντες χωρῶμεν ἤδη καὶ ταῖς λοιπαῖς προσβαλεῖν, αἳ εἰρηνεύειν ταῖς θείαις δυνάμεσι τρόπων σκαιότητι ἀπηγόρευσαν· διὸ καὶ τῆς τῶν ἀγαθῶν σπανίζουσαι εὐθηνίας λιμῷ τῆς κατὰ κύριον ἀγάπης διόλλυνται.

XIV. Ὅτι 'πλέον πορνείας' ἡ πολυγαμία, διότι ὁ πόρνος, εἰ 15
καὶ πράττει τὸ παράνομον, μεταδιώκει τὸ κρύφιον· ἡ δὲ πολυγαμία δημοσιευομένην εἰσάγει καὶ παρρησίᾳ πολιτευομένην τὴν παρανομίαν.

Τί ἂν ἄλλο πλέον εἰς παράκλησιν πορνείας ὁ τῆς τῶν ἀνθρώπων βάσκανος ἀπερρεύξατο σωτηρίας ὁ νῦν ἐν τοῖς 20
υἱοῖς αὐτοῦ τούτοις ὡς ἔοικεν ἐνεργῶν, οὐκ ἂν εἰπεῖν ἔχοιμι. εἰ γὰρ τοῦ Παύλου βοῶντος 'φεύγετε τὴν πορνείαν' καὶ φόβον ἐπισείοντος οὐ φορητὸν διὰ τῶν ἑπομένων τοῦ λόγου, ἀλλὰ δὴ καὶ πολυγαμίαν διὰ τοῦτο ἐφιέντος ἀνθρώποις μικρῷ ἐλαττώματι μεγίστην ἀποικονομεῖσθαι 25
ἀσέλγειαν προμηθούμενος· — εἰ ταῦτα Παύλου τοῦ σοφοῦ ἐπισκήπτοντος καὶ μόγις τινὰς πείθοντος, πρὸς γὰρ τὸ τῆς ἀρετῆς ἄναντες παρακαλεῖ, οὗτος δ᾿ ἀπ᾿ ἐναντίας ἐρχόμενος Παύλῳ ἐπὶ τὴν τοῦ βίου ῥαστώνην καὶ τὸ τῆς ἀκολασίας ἡδὺ κατασπᾷ, οὐκ ἂν φθάνοιεν ἅπαντες τὸ 30
προσηνὲς καὶ γλυκὺ ἑαυτοῖς τοῦ σκληροῦ τε καὶ πικροῦ

12 mg. τὸ 'γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου' λέγει.

2 Bas. Ep. 199, can. 50, PG 32, 732C 4 || **8—9** locum non inveni || **12—14** Ps. 121, 7 || **15** Bas. Ep. 217, can. 80, PG 32, 805B 1–2 || **20—21** cf. Eph. 2, 2 || **22—24** 1 Cor. 6, 18 || **24—26** 1 Cor. 7, 9

ἀλλαττόμενοι. πλὴν ὅτι μὴ τὸ 'πλέον' οὕτω βαναύσως τε καὶ βεβήλως ὥσπερ ὑμέτερος τρόπος ἐνταῦθα παρείληπται, ἑτέρως δέ, ἀλλὰ δὴ καὶ τὸ στιγμῇ τὸ ἀμφίβολον ἔχουσιν ἡμῖν λύειν, ὃ κατὰ τὸ περιέχειν καὶ τοῖς λοιποῖς
5 τοῦ κανόνος ῥητοῖς συνομολογεῖν τεχνικοὶ καταδέονται λόγοι (καθότι καὶ τῷ ἀληθεῖ, κατὰ καιρὸν τοῦ Ἀριστοτέλους ἐκεῖνο εἰπεῖν πάντα συνᾴδει τὰ ὑπάρχοντα, | τῷ δὲ ψευδεῖ 74ᵛ διαφωνεῖ), ὡς πρώην ἐκτεθειμένοι νυνὶ τούτων βραχέα φροντιοῦμεν. ἐκεῖνο δέ μοι θαυμάζειν ὑμῶν ἔπεισι, πῶς
10 ἀπηρυθριακότως ἐπὶ τοῦτο κεχώρηκας, καὶ πορνείαν διὰ τὸ κρύφιον μὲν ἐσεμνολόγησας, πολυγαμίαν δὲ τῷ πεπαρρησιασμένως τελεῖσθαι αἰσχροτέραν πορνείας ἀπέφηνας, καίτοι Παύλου τοῖς κρυφίοις μᾶλλον αἰσχρότητα παρακολουθεῖν φάσκοντος ὡς ἔμπαλιν τοῖς φανερουμένοις τὸ
15 ἀδιέλεγκτον φῶς· ᾧ λόγῳ καὶ Ἰωάννης τῷ χρυσῷ αὐτοῦ στόματι τὴν Σαμαρεῖτίν φησι τὸν κύριον ἀπελέγξαι μὴ ἔχουσαν ἄνδρα ὅτι κρυφίως αὐτῇ ὁ μετὰ τὸν πέμπτον συνὼν προσεφθείρετο. ἐπεὶ καὶ οὕτως ἔχει· οὐδὲν γὰρ τῶν καταγνώσεως ἀξίων ἐλευθερίως εἰς ὕπαιθρον ἄνθρωποι
20 πραγματεύονται. δέδοικα γοῦν μὴ τοιοῦτοι οἱ τούτων διδάσκαλοι, τῷ κρυφίῳ τὴν ἑαυτῶν περιστέλλοντες ἀκαθαρσίαν καὶ οὕτω γε δὴ καὶ τοὺς ἄλλους εἰς τὸ ἀνέλεγκτον προβιβάζοντες. ἄλλως τε εἰ τὸ ὁπωσοῦν οἰκεῖον τῇ ἐλευθεριότητι οὐκ ἀνεύθυνον, τί ἂν τὸ ἀλλότριον εἴη τῇ
25 κρυφιότητι; καὶ ἵνα τοῦτο τὸ τῆς θεολογούσης εἴπωμεν γλώσσης, πῶς ἂν σώσῃ ῥᾳδίως ἡ ἀλλοτρία ὃν ἀπόλλυσιν ἡ ἰδία; ἀλλὰ καὶ τὸ τοῦ κυρίου, εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα, τί ἔτι ἔσται ἐν τῷ ξηρῷ;

XV. Ὅτι μὴ διότι τινὲς πολλάκις τῶν κατεχόντων τοὺς
30 νόμους παρορῶσι τὴν παράβασιν αὐτῶν, διὰ τοῦτο δεῖ καὶ ἄλλους ἀτιμάζειν τὸν νόμον καὶ ποιεῖσθαι τύπον τὰ παραβαθέντα καὶ παράδειγμα.

1–9 supra p. 98, 2–100, 22 || **6–8** Aristot. Eth. Nic. I 8, 1098b 11–12 || **13–15** Eph. 5, 12–13 || **15–18** Chrys. l. c. (ad p. 152, 27–28) || **25–27** Greg. Naz. ubi? || **27–28** Luc. 23, 31

23 *ἐλευθεριότητι* Kh: *ἐλευθερότητι* **M**

Διὰ ταῦτα μὲν οὖν ἀντιστρέψαντες καὶ ἡμεῖς ἐροῦμεν ὑμῖν ὅτι μὴ διότι ἀγνοήσας αὐτὸς τοὺς θείους νόμους ἀλόγιστον ἔνστασιν ἐπεδείξω, διὰ τοῦτο δεῖ καὶ ἡμᾶς τοῖς ἀπὸ κοιλίας ὑμῖν ἐρευγομένοις ὑπέχειν τὴν ἀκοὴν μηδὲ τὰς ἐξ ἀπονοίας ὑμῶν ἀναφανείσας γονὰς τιθηνεῖσθαι ὑπολαβόντας καὶ πρὸς μέτρον ἀνάγειν ἡλικίας καὶ τοῦτό σε ποιεῖν τὸ Ὁμηρικόν, ‘δυσμενέσι μὲν χάρμα, κατηφείην δέ σοι αὐτῷ’. καὶ γὰρ προαχθεῖεν ἂν οὗτοι ‘καγχαλόωντες, φάντες ἀριστῆα πρόμον ἔμμεναι, οὕνεκα καλὸν εἶδος ἔπ’, ἀλλ’ οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή’. διὰ ταῦτα μὲν οὖν εἴ τις καὶ παρ’ ἡμῶν ἀπαντήσεταί σοι χάρις, οὐκ ἐφ’ ὕβρει τῇ σῇ τὰ ἠγνοημένα σοι πρὸς δόγματα λογιούμεθα οὐδὲ παραδεξόμεθα φρενὸς ἀλαζόνος ἀμβλώματα.

XVI. Ὅτι ἡ οἰκονομία οὐκ ἐπὶ βεβαιώσει τῶν ἁμαρτανομένων γίνεται, ἀλλ’ ἐπὶ ἀπαλλαγῇ τῆς ἁμαρτίας καὶ σωτηρίᾳ τοῦ ἁμαρτάνοντος· ὅτι ἡ οἰκονομία ἐπὶ καταγνώσει τοῦ σφάλματος γίνεται ἐφ’ ὃ ἀξιοῦνται τῆς οἰκονομίας διὰ φιλανθρωπίαν οἱ ἐχόμενοι τῷ ἁμαρτήματι· ὅτι ἡ οἰκονομία κοινή τίς ἐστι καὶ διάδοσις ἐπὶ πάντας τοὺς ἐφ’ 75r ὧν ἐπὶ εὐεργεσίᾳ καὶ σωτηρίᾳ τελεῖται, | ἀλλ’ οὐκ ἰδία τις καὶ ἀποτεταγμένη τοῖς λαμβάνουσι χάρις.

Ἀλλὰ καὶ τὰς ἀνοικονομήτως ὑμῖν ἐνταυθοῖ προτεθειμένας οἰκονομίας ὡς παρακοπὴν ἤδη παραδραμόντες ἀφ’ ἑαυτῶν ἐλεγχομένας, ἐκεῖνο τούτων μόνον διαμεμωκημένος ἐπὶ τὰ ἐχόμενα μετελεύσομαι· πῶς γὰρ ὁ ἀκριβέστατος τῶν θείων καὶ ἀνθρωπίνων ὑφηγητής, ὥσπερ ἀσυνέτως ἔχων ὅτι τὸ κοινὸν οὐκ ἄτοπον εἶναι καὶ ἴδιον, ἔσθ’ ὅτε μὲν κοινὴν τὴν εὐεργεσίαν τοῖς ἁμαρτάνουσιν ἀποφαίνῃ, αὖθις δὲ μηδ’ ὀστράκου, τὸ παροιμιῶδες, μεταπεσόντος ἀνάρρους χωρεῖς τῶν ἑαυτοῦ λόγων οὐκ ἰδιάζουσαν φάσκων αὐτὴν καὶ ἀποτεταγμένην τοῖς ἁμαρτάνουσι

4 Is. 8, 19 ‖ **6** Eph. 4, 13 ‖ **7–8** Hom. *Γ* 51 ‖ **8–10** ib. 43–45 ‖ **30** CPG I 285; II 45; 84; 570

8 *σοι αὐτῷ* ex *σεαυτῷ* **M** ‖ **10** *ἐπ’* **M** ‖ **18** *δ*] *ᾧ* Kh

χάριν; σύνες γάρ, εἰ τοῖς ὑπὸ τὴν εὐεργεσίαν κοινὴν ἔφης διάδοσιν τῆς οἰκονομίας, οἱ δ' ὑπὸ τὴν εὐεργεσίαν τῶν οὐχ ὑπ' αὐτὴν διακέκρινται, τί πάλιν οὐκ ἰδιάζουσαν οὐδ' ἀποταττομένην τὴν χάριν παραληρεῖς τοῖς λαμβά-
5 *νουσιν; ὅμοιον γὰρ ὡς εἴ τις ἔφασκεν κοινὸν ἄκοινον καὶ ἰδιάζον ἀνιδιαζόμενον. ἀλλ' οὖν ἔστι τι κοινόν τε καὶ ἴδιον, κοινὸν μὲν ὡς τοῖς ὑπ' αὐτό, ἴδιον δὲ ὡς τοῖς παρὰ τοὺς ἄλλους.*

XVII. Ὅτι τὴν διάζευξιν εἰ καὶ μὴ λόγῳ, ἀλλὰ πράγματι, ὅπερ
10 ἐστὶ τρανότερον τῆς ἐκ λόγων παρακελεύσεως, παρακελεύεται ὁ κανών. τί γὰρ ἕτερόν ἐστιν ἐκ τῶν ἱερῶν περιβόλων ἀφορισμός, τουτέστιν ἡ τοῦ σώματος τῆς ἐκκλησίας ἐκτομή, ἢ πρόσταξις διαζεύξεως; ἐπεὶ γὰρ ἡ ἁμαρτία ἐπισπασαμένη ἥνωσεν ἑαυτῇ, ἀνάγκη τῆς
15 ἐκκλησίας τουτέστι τοῦ σώματος τῶν πιστῶν ἐκτέμνεσθαι τὸν ἡνωμένον τῇ ἁμαρτίᾳ, καὶ οὐκ ἄν ποτε συναφθείη τῷ ἐξ οὗ διετμήθη σώματι μὴ τῆς πρὸς τὴν ἁμαρτίαν ἑνώσεως διαστάς. ὥσπερ γὰρ ὁ ταύτῃ ἑνωθεὶς τὴν ἀρχὴν ἀπέστη τῆς ἐκκλησίας, οὕτω πάλιν ὁ μέλλων συναφθῆναι τῷ
20 πληρώματι τῆς ἐκκλησίας, ἀνάγκη τῆς ἁμαρτίας τοῦτον διΐστασθαι. ἀμήχανον δὲ ἀμφότερα συνδραμεῖν, τό τε τῇ ἁμαρτίᾳ ἡνῶσθαι καὶ τὸ μὴ τοῦ σώματος τῶν πιστῶν κεχωρισμένον γνωρίζεσθαι.

Ὅπερ οἶδά ποτε περὶ τούτων τῷ ἀπ' ἐναντίας τῷ θείῳ
25 *Παύλῳ διαγινομένῳ σοφῷ τὴν εἰς χρήματα συλλογὴν καὶ τἄλλα τὰ περὶ τὸ κατεγνωσμένον πᾶν ἐνθεωρούμενον ἐνησκημένῳ ὑμῶν Παύλῳ, φημὶ δὴ τῷ Δωραλήτῃ· ὃ τοίνυν ἐκείνῳ ἀποκρινάμενος κορύζης αὐτὸν ἀπήλλαξα περιπληθεστέρας πελάγους, τοῦτο καὶ πρὸς ὑμᾶς ἐξαρκέσει*
30 *μοι. τί γὰρ λέγεις, εἰπέ μοι, σὺ τὸ τιμιώτατόν τε καὶ περισπούδαστον χρῆμα καὶ τὴν τῶν ἱερῶν γνῶσιν ἠκριβωκώς·*

24 – p. 158, 15 cf. supra p. 100, 23–101, 13

14 *ἑαυτῇ* Kh: *-ήν* **M** || **22** *τὸ* Kh: *τοῦ* **M** || **25** *χρήματα*] fort. *χρημάτων* (ut sit *σοφῷ τὴν εἰς χρ. συλλ.*, scil. *σοφίαν*) || **26** *κατεγνωσμένον* Kh: *κατεγνωμένον* **M** || **27** *δὴ*] an *δὲ* **M**? | *Δωραλήτῃ*] *-λ-* aut *-χ-* **M** || **31** *ἠκριβωκώς*] *ἠκριβ* **M**, et mg. *βωκὼς*

75ᵛ *ὁ τὴν τῶν προσκλαιόντων | χώραν τῇ ὑποτιμήσει λαχὼν ἀποδιΐσταται τοῦ πρὸς ὃ τὸ ἁμάρτημα συντετέλεσται; δριμεῖα μὲν ἡ ἐπιβολὴ καὶ ἄγαν ἐπισυρομένη τὸ ἀναμφίλεκτον, εἰ μὴ τὸν ἱερὸν ἀγνοήσας Βασιλείου θεσμὸν τοῖς προκειμένοις ἀπεματαίαζες· ὃς τοῖς κατὰ πορνείαν συναπτο- 5 μένοις τὸ διαζύγιον εἰσηγούμενος πρῶτον, αὖθις τοῖς ἐκ παντὸς τὸ τοιοῦτο στέργουσι συνοικέσιον συμπεριφερόμενος τὸ μὲν ἐπὶ τῇ πορνείᾳ φησὶν ἐπιτίμιον τούτοις γνωρίζειν, ἐᾶσθαι δὲ συνοικεῖν χειρόνων ὀλισθημάτων φειδοῖ. ἀλλ' εἰ μὲν τοῖς πόρνοις μὴ θυραυλεῖν τοῦ θείου 10 σηκοῦ κέκρικας ἢ τῷ θυραυλεῖν ἤδη διέστησας κατακεκριμένους, σοφώτερον τοῦ ταῦτα διατάξαντος τῷ πράγματι ἐπιστήσας, κατευοδοῦ ταύτην τὴν καινὴν γνώμην· εἰ δ' οὐ τοῦτο, κἀνταῦθα τὸ ἧττον ἀπενεγκάμενος πέπαυσο πολυγαμίας, ἀφ' ἧς οὐδ' ἁμαρτίαν ἀποφυγγάνων ἑάλωκας. 15*

XVIII. Ὅτι οἱ ληροῦντες ὡς τὸ 'πλέον πορνείας' εἶναι τὸ ἁμάρτημα οὐκ ἔστι πλέον τῆς ἀνειμένης ἀλλὰ τῆς κεκολασμένης, τουτέστι τῆς τριγαμίας, εἰπάτωσαν τί τὸ πλέον λογίζονται πρὸς τὴν ἀνειμένην. εἰ γὰρ μὴ πλέον ἐκείνης, πάντως ἕξει τὸ ἴσον πρὸς αὐτὴν ἢ τὸ ἔλαττον. τί δή ποτ' 20 οὖν ἡ μείζων, τουτέστιν ἡ ἀνειμένη, ἀνθρώπινον λογίζεται ἁμάρτημα καὶ μνήμης τυγχάνει παρὰ τῶν πνευματικῶν ἰατρῶν καὶ θεραπείας ἀξιοῦται· τέθεινται γὰρ περὶ ταύτης κανόνες καὶ μέθοδοι σωτηρίας καὶ οὐδεὶς αὐτὴν εἴρηκεν οὔτε 'ἀλλότριον φύσεως ἀνθρωπίνης' οὔτε 'κτηνῶδες', 25 ἀλλ' οὐδὲ 'βίον χοιρώδη', ἀνθρώπινον δὲ τὸ παράπτωμα ἴσασι καὶ τῆς ὀφειλομένης ἀξιοῦσι μεθοδείας· ταύτην δὲ τὴν νομιζομένην ἐλάττω παρὰ τοῖς σοφοῖς τούτοις, μᾶλλον δὲ ἀνοήτοις, οὔτε τις τῶν θείων πατέρων μνήμης ἠξίωσεν οὔτε τρόπος θεραπείας περὶ αὐτῆς ἐγνώρισται, ἀλλ' οἷα 30

10 mg. *ἀλλ' οὐδὲ πᾶς ὁ ἐπιτιμηθεὶς ἐκβάλλεται τῶν ἱερῶν θυρῶν, ὡς οὐδὲ ἡ μοιχευθεῖσα ἔτι τῷ ἀνδρὶ συζῶσα.*

4–10 Bas. Ep. 199, can. 26, PG 32, 724 B 14–C 4 || **16** Ep. 217, can. 80, PG 32, 805 B 1–2 || **25** ib. A 15–B 1 || **26** Greg. Naz. Or. 37, 8, PG 36, 292 B 9–10

30 *οἷα* ex corr., dub. **M**

ἀλλότριον τοῦ ἀνθρωπίνου γένους καὶ πρὸς τὸν βίον τῶν κτηνῶν ἀπερριμμένον παντελῶς ὀπίσω μνήμης καὶ συνόδοις ἁπάσαις καὶ ἰδίᾳ τοῖς πατράσι μέχρι τοῦ θείου καταλέλειπται Βασιλείου; ἀλλ' εἰ μὲν ἔλαττον, τί δή ποτε
5 τούτων οὐ τυγχάνει ὧν τὰ μείζω; εἰ δὲ ἴσα, πάλιν ἁρμόσει ταῦτα δὴ τὰ εἰρημένα καὶ ἐπὶ τούτοις ἔλεγχος ἕτερος.

Εἶτά σοι τίς ἐξουσία τὰ ἔτι ἀμφιβαλλόμενα πρὸς πίστιν εἰς ἀπόδειξιν λαμβάνειν καὶ τὸ ζητούμενον ἀμαθῶς συναρπάζειν, οὐδ' ἐκεῖνο συνιέντι ὡς ἐν ἀγνοίας σκότῳ
10 διαπορεύῃ; εἰρημένου γάρ μοί ποτε περὶ τούτου καὶ λογικαῖς ἐφόδοις κατηναγκασμένου τοῦ λόγου τῷ ἀπροσδιορίστῳ ἐπὶ μερικὴν ἀποκλίνειν πορνείαν, αἳ πολλαὶ τοιαῦται τῷ θείῳ Βασιλείῳ τοῖς ἑαυτοῦ ἔγκεινται κανόσιν, αὐτὸς κενότερος ὢν λεβηρίδος ἐν τούτοις ἅρπαγμα παρευθὺς ἀστη-
15 ρίκτως ἐποιήσω τὸν ἔτι τῷ ἀμφιβόλῳ σκάζοντα λόγον καὶ τοῖς ἐκ διαιρέσεως ἐλέγχοις καθυποβάλλεις, οὔπω τῷ ἀορίστῳ τε καὶ μὴ ἀτρεμεῖν διαιρεῖσθαι δυνάμενον. ἡδὺς εἶ τὰ μήπω κεκυρωμένα ὡς κύρια κατεπείγων καὶ τὰ μετέωρα καὶ ἀμφίβολα ὥσπερ πεπηγότα καὶ ἀναμφί-
20 λεκτα, καὶ τούτοις ἑδράζων τὰ μηδαμόθεν τὸ στάσιμον προσλαμβάνοντα.

Ἀλλὰ δὴ καὶ ὑποβαλὼν ἐπὶ τοῖς | ἀγνωστοτέροις εὐθύνεις. τίς γάρ σοι τὸ βέβαιον ἐξυφήνατο ὡς ἐκείνην ἀπεσιώπησαν οἱ πατέρες τὴν πολυγαμίαν ἧς ὑμεῖς ἀμα- 76r
25 θέστατα πάντων ἀμφισβητεῖτε, μὴ τῶν ἐν Νεοκαισαρείᾳ πατέρων τὸ 'πλεῖστον' αἰδούμενοι (πολλοῦ γὰρ ἂν ἦτε ἄξιοι) μήθ' οὗ δοκεῖτε ἐξέχεσθαι Βασιλείου τὸ 'περὶ τριγάμων καὶ πολυγάμων' σωφρονέστερον ἐπαΐοντες; εἰ

17 mg. *τὸ ἑξῆς οὕτως· 'οὔπω δυνάμενον διαιρεῖσθαι τῷ ἀορίστῳ*
30 τε καὶ μὴ ἀτρεμεῖν δυνάμενον', ἤτοι διὰ τὸ ἀόριστόν τε καὶ ἀνέδραστον.

10–12 supra p. 99,6–100,6 || **12–13** cf. Bas. Ep. 217, PG 32, 798 B 12–15 || **14** CPG I 228 || **25–26** Can. Neocaes. 3 (Lauchert 35, 13) || **27–28** Bas. Ep. 188, can. 4, PG 32, 673 A 1–B 5

3 *ἁπάσαις* Kh: *-σας* **M** || **9** *ἐκεῖνο* Wk: *ἐκείνου* (sic) **M** || **15** *σκάζοντα* Wk: *σκιάζοντα* **M**

δέ σε τὸ ʽ κτηνῶδες καὶ ἀλλότριον τοῦ γένους τῶν ἀνθρώπων᾿ ἀναιδεῖν κατεπείγει, διὸ καὶ ἀποσεσιωπῆσθαι ἀξιοῖς, ἀλλὰ πρῶτον μὲν οὐ κανονικὴ τοῦτο κρίσις ἀλλ᾿ ἠθικὴ ἐπανόρθωσις, ὁποία καὶ ἡ φιλαργυρία εἰς εἰδωλολατρείαν κωμῳδουμένη· καὶ οὐ δήπου τὸν φιλάργυρον τοῖς εἰδωλολάτραις συντάττεις οὐδὲ (πολλοῦ δεῖ) τοὺς σοὺς θιασώτας τούτου διώκεις πολλῷ τούτῳ τῷ πάθει κατεχομένους, ὅτι μηδὲ κανόνος ψῆφος τοῦτό σοι κρατύνεται· μακρῷ δὲ διενήνοχεν, εἰ μή που μεθύομεν, ἠθικὴ παράκλησις κανονικῆς ἐπισκήψεως. τὸ μὲν γὰρ εἰς ἐπανάληψιν τῶν κρειττόνων, τὸ δ᾿ εἰς τιμωρίαν ἀποτελευτᾷ· καὶ τὸ μὲν ἔν τισιν ἔτι δοκιμάζεται, τὸ δὲ πρὸς δόγμα συντάττεται. ἔπειτα δέ, εἰ διὰ τὸ κτηνῶδες ἀποσεσιώπηται, ἐχρῆν καὶ τοὺς τἆλλα κτηνώδεις τῷ αὐτῷ ὑποβεβλῆσθαι· οὗτοι δ᾿ ἂν εἶεν οἵ τε θηλυμανῶς, ὡς τῷ θείῳ διαγορεύεται προφήτῃ, ταῖς τῶν πλησίον γυναιξὶ χρεμετίζοντες καὶ οἱ ταῖς ἑαυτῶν κτήσεσι τὸ ἀπ᾿ αὐτῶν καλεῖσθαι κεχαρισμένοι, οὓς ἀπαρακαλύπτως ὁ μέγας Δαυὶδ τοῖς ἀνοήτοις παραβέβληκε κτήνεσι. καὶ τί ἂν εἰ λέγοιμι τὸν αὐτὸν μέγαν Βασίλειον χοιρείαν μὲν ἔχειν ψυχὴν ἐπικερτομοῦντα τὸν εἰς ἀπόλαυσιν ὑπογάστριον τὴν τῶν καρπῶν εὐετηρίαν ταμιευόμενον, λιθίνῃ δὲ παραβάλλοντα καρδίᾳ τὸν ἀνεπαισθήτως πρὸς τὰ φρικτὰ καὶ φαιδρὰ τῶν εἰς ὕστερον ἀποκειμένων ἡμῖν διακείμενον;

Οὔκουν οὐδὲ ἣν ὑμεῖς βούλεσθε πολυγαμίαν οἱ πατέρες ἀπεσιώπησαν· πολλῆς γὰρ ἂν ἦν αὐτῶν ἄξιον ἐνοχῆς τοῦτο μὴ διαστειλαμένων τούτοις ὡς κἂν τοῖς ἄλλοις τὸ διαζύγιον, εἶτα τῷ πολυπτύχῳ τούτους τῆς πνευματικῆς θεραπείας ἐναυλισάντων ἰατρείῳ, ἀλλ᾿ οὕτως καταλιπόντων ἀτημελῶς. ἀλλὰ περὶ μὲν τούτου καὶ ἐπιστολίδιόν τι ἡμῖν ἑτέρωθι συντεταγμένον πλατύτερον τῶν

4–5 Col. 3, 5 || **15–16** Ier. 5, 8 || **16–19** Ps. 48, 12–13 || **19–24** Bas. ubi? || **25–26** Bas. Ep. 217, can. 80, PG 32, 805A 14 || **30**—p. 161, **1** cf. infra Op. 18

26 ἐνοχῆς Wk: ἀνοχῆς M

προκειμένων τὰ νῦν ἐγκολπίζεται. ἀλλ' οὕτω τούτων ἐχόντων ὑμῖν καὶ μηδὲ εἰδότων περὶ ὧν διαβεβαιοῦσθε (οὔτε γάρ τίς ἡ ἀποσεσιωπημένη ἐπίστασθε πολυγαμία οὔτε τί τὸ ʽπλέονʼ τῇ στιγμῇ διαιρούμενον, ὡς ἄνω μικρὸν
5 *προὐστησάμεθα) ἢ παρέχοιτε λόγον, καὶ νενικήκατε, ** τίς ἄξιος ἄνοιαν ἐγκαλεῖσθαι καὶ ἀμαθίαν, πότερον οἱ λόγῳ καὶ σὺν λόγῳ τὰς ἑαυτῶν δόξας κρατύνοντες ἢ οἱ αὐτεξουσιότητι καὶ κράτει πρὸς τὴν Βοιωτίαν ὗν παρισούμενοι.*

XIX. Ὅτι πρὸς τὴν ἀπόνοιαν τῶν λεγόντων δεδυνῆσθαι
11 οἰκονομεῖν, ὃ ἀδύνατον ἡμῖν εἴρηται, ῥητέον πόθεν αὐτοῖς ἐπῆλθε τῆς οἰκονομίας ἡ δύναμις. τῷ γὰρ εἰπόντι | μὴ 76v δύνασθαι οἰκονομεῖν τοῦτο εἴρηται διὰ τὸ μὴ εἶναι τῆς ἐκκλησιαστικῆς θεσμοθεσίας τοιαύτην λαμβάνειν ἐπι-
15 τροπήν. πόθεν οὖν ἐκείνοις τῆς οἰκονομίας ἡ παρουσία; εἰ μὲν ἀπὸ τῆς ἐκκλησίας, δῆλον ἀπὸ τῶν θεσμῶν τοῦ πνεύματος ὃ ἐν τῇ ἐκκλησίᾳ θεσπίζει· καὶ δεικνύτωσαν ποῦ τοῦτο τεθεσπισμένον εὑρήκασιν. εἰ δὲ ἡ δεῖξις ἀμήχανος (πῶς γὰρ δείξουσι τὸ μὴ ὄν;) πρόδηλον ὡς ἐκ τοῦ ἐναντίου
20 πνεύματος καὶ ἡ δύναμις αὐτοῖς καὶ τὸ οἰκονόμημα. ἐφ' ᾧ δέον αὐτοὺς οἰμώζειν ὡς κατακρίτους, ἀλλ' οὐχ ὡς ἀθῴους θρασύνεσθαι.

Ζητεῖς, κακοδαιμονέστατε πάντων ἀνθρώπων, πόθεν οἰκονομεῖν δεδυνήμεθα. αὐτόθεν ἀφ' ὧν αὐτὸς ἀσύνετος
25 *ὢν οὐ συνῆκας· ἢ μᾶλλον συνῆκας μέν, ἐπεὶ καὶ οἱ νομικοὶ ἀρχιερεῖς τὸν κύριον ὅτι ὁ Χριστός· ἀγνωμονέστερον δὲ φερόμενος σεαυτοῦ καὶ φθόνῳ τῶν βελτιόνων τῇ ἑαυτοῦ ἐνιδρυθεὶς βασκανίᾳ, ὧν ἐφικέσθαι διήμαρτες τούτων εἰς ἐγκράτειαν προβάλλῃ τὸ σεμνολόγημα κατὰ τὴν Αἰσώπου*
30 *ἀλώπεκα, ἣ τῆς σταφυλῆς μὴ ἐφικνουμένη εἰς ἄωρον τὴν ἀποτυχίαν δεινῶς παρεκρούετο. εἰ γὰρ μὴ τοῦτο, πόθεν*

4—5 supra p. 155, 1–9 || **8** CPG I 223; II 151 || **25—26** Mt. 26, 63; Mc. 14, 61; Luc. 22, 67; Io. 10, 24 || **30—31** Fab. Aesop. 15a Hausrath

5 lac. indic. Wk; ex. gr. ⟨*ἢ ἀποκρίναισθε*⟩ || **17** *ὃ* Kh: *ὁ* **M** || **30** *ἐφικνουμένη*] *ἐφ-* ex *ἀφ-* **M**

αὐτὸς ἐπαιρόμενος βασιλέα τοῖς θείοις ἀνακτόροις ἐναυλίσασθαι παρεκάλεις; εἰ καὶ μὴ οὗτος ὑπεῖκέν σοι, θεοσεβέστερον τὰ περὶ τοῦ πράγματος διαχειριζόμενος. οἷς οὖν αὐτὸς ἀρχὴν συνιεὶς βεβούλευσαι μέν, σύνδρομον δὲ τῇ γνώμῃ τὸν παρακαλούμενον μὴ ἀνευρηκὼς ἂψ εἰς ἔθνος 5 ἀνεχάζου ἑταίρων καὶ βασκανίᾳ φαυλότητος κέκρικας μὲν ἀμαυροῦν τὰ καλά, οὐ δεδύνησαι δέ, τούτοις ἡμῖν ἐμφρονέστερον ἐξεγένετο χρήσασθαι, εἴθ' ὡς πολυγαμίαν τῶν κατὰ Νεοκαισάρειαν τῷ ἐμπλάστρῳ τὸ ἕλκος ἐξακουμένοις, εἴθ' ὡς ἐκ πορνείας τῆς συζυγίας καθισταμένης, 10 ἐπεὶ καὶ πρώτως ἑαυτὸν οὕτω βασιλεὺς χρήσασθαι τῷ τοιούτῳ συνοικεσίῳ ἀνωμολόγει, παρὰ τοῦ ἱεροῦ Βασιλείου βοηθουμένοις, ταύτῃ τὸ τοῦ πάθους κακόηθες θεραπεύειν εἰσηγουμένου. ἀνθ' ὧν καὶ στερροὶ μὲν γεγόναμεν τὸν χωρισμὸν αὐτῷ κατανῦσαι, στερροτέρῳ δὲ 15 περιτυχόντες καὶ ἡττηθέντες δευτέρῳ φασὶ πλῷ τὴν πρὸς τὸ αἰσιώτερον εὐθὺ τείνουσαν ἀνηγόμεθα.

Τί δὴ πρὸς ταῦτα σύ; τί φῄς; ἆρα συνῆκας ὁπόσον διήμαρτες καὶ ἐγκαλύψῃ μὴ οὕτως οἰκονομήσας; ἢ τοῦτο ἐκεῖνο τὸ τῶν πορνῶν πείσῃ, εἰς δρόσον λογιζομένων τὸ 20 ἀπὸ τοῦ στόματος αὐταῖς ἐπαφειμένον περίττωμα; ὥστε ἡμεῖς μὲν τὸ ὂν δεδείχαμεν, ἐπεὶ βλέπομεν· οὐ γὰρ τῷ ἐναντίῳ κατεχόμεθα πνεύματι· σὺ δὲ τὸ ἐμποδὼν ἀγνοήσας τυφλώττων τε ἀναφαίνῃ ἀλαζονείᾳ, ᾗ καὶ πάμπαν κατακρατούμενος ἀμαθέστατα κέχρησαι τῇ τοῦ λόγου 25 προαγωγῇ, καὶ μᾶλλον αὐτὸς τῷ ἐναντίῳ ἐνεργούμενος πνεύματι, φιλοῦντι ταῖς τῶν ἀνθρώπων ἐμφιλοχωρεῖν ἀπονοίαις, ἅτε δὴ οἰκεῖον τόπον τοῦτον ἐπιγινώσκοντι ᾧ καὶ αὐτὸ κατὰ κυρίου ἐτραχηλίασε παντοκράτορος. |

11 mg. τὸ 'εἰ δὲ ἐκ παντὸς τρόπου τὸ συνοικέσιον στέργουσιν, 30 ἐάσθωσαν, ἵνα μὴ χεῖρόν τι γένηται'.

5–6 Hom. *Π* 817 || **8–10** Can. Neocaes. 3 (Lauchert 35, 13–15) || **12–14** Bas. Ep. 199, can. 26, PG 32, 724 B 14–C 4 || **16** CPG I 359; II 24 || **29** Iob 15, 25

9 *ἐξακουμένοις*] -οις ex -ους **M**

XX. Ὅτι πρὸς τὴν ἀπονενοημένην αὐτῶν προβολὴν τῆς 77r
συμφωνίας (φασὶ γὰρ ὅτι συμφώνῳ ψήφῳ αὐτῶν τε καὶ
ἄλλων δή τινων, οἷς τὸ κράτος τῆς συμφωνίας αὐτῶν
ἐγχειρίζουσι, τὴν παραδοχὴν πεποιῆσθαι τοῦ ἀλλοτρίου
5 γάμου τοῦ τῶν ἀνθρώπων γένους) ἀποκριτέον ὡς οὐ δεῖ
συμφωνίᾳ πείθεσθαι πονηρᾷ, ἀλλὰ μᾶλλον ἀκολουθεῖν
διαφωνίᾳ τῆς πονηρίας ἀμετόχῳ. ἐξ ἀρχῆς γὰρ καὶ μέχρι
τοῦ νῦν οἱ συμφωνήσαντες ἐπὶ κακῷ οὐδεμίαν εὑρήσουσιν
ἐκ τῆς συμφωνίας παραίτησιν τῆς κατακρίσεως. συνεφώ-
10 νησε γὰρ πρῶτος ὁ ὄφις καὶ ἡ Εὔα, καὶ διὰ βίου πᾶσι
ζωῆς δέδοται ἡ κληρονομία· συνεφώνησαν ἐπὶ τῇ τοῦ
πύργου οἰκοδομῇ, ἀλλὰ θεομαχία ἦν ἡ συμφωνία· συνεφώ-
νησαν ἐπὶ τῇ τοῦ Ἰωσὴφ ἐπιβουλῇ οἱ ἀδελφοί, ἀλλ'
ἀδελφοκτόνος ἡ συμφωνία. τί λέγω ταῦτα; συνεφωνήθη
15 πάσῃ σαρκὶ τὸ ἀσεβεῖν, διεφώνει δὲ μόνος Ἀβραὰμ τῇ
θεομάχῳ συμφωνίᾳ, ἀλλ' ὅμως εἷς ὢν διὰ τὴν εὐσεβῆ δια-
φωνίαν θεοῦ φίλος ἐκλήθη καὶ ἔστιν, οἱ δὲ ἀλλότριοι καὶ
τοῦ θεοῦ καὶ τῆς αὐτῶν σωτηρίας. οὐ τοίνυν πρὸς τὴν
συμφωνίαν ἁπλῶς δεῖ ὁρᾶν, ἀλλὰ πρὸς τὸ ἔργον δι' ὃ
20 ἡ συμφωνία. συνεφώνησε πᾶς ὁ λαός, ναὶ δὴ καὶ Ἀαρὼν ὁ
τοῦ θεοῦ ἱερεὺς ἐπὶ τῷ μόσχῳ, ἀλλ' οὔτ' Ἀαρὼν διὰ τοῦτο
ἀνέγκλητος καὶ ὁ λαὸς ἀπώλετο πεσόντων ἐν μιᾷ ἡμέρᾳ
χιλιάδων εἴκοσι καὶ τριῶν. συνεφωνήθη προσκυνῆσαι τῇ
εἰκόνι πᾶσιν οἷς ἐθέσπιζε Ναβουχοδονόσορ, μόνοι δὲ οἱ
25 τρεῖς διεφώνησαν παῖδες, ἀλλ' οἱ μὲν ὑπὸ θεῷ μάρτυρι
διὰ τῆς παραδόξου σωτηρίας ἔτυχον θείας ἀποδοχῆς, τῶν
δὲ ἀσεβῶν ἡ ὁμοφωνία στηλὶς ἀκατάλυτος καὶ σωρὸς
καταγνώσεως.

Ἐφ' ἑαυτὸν τὴν σελήνην ὁ σοφὸς οὑτοσί, τὸ τοῦ λόγου,
30 *καθαιρῶν οὐκ αἰσθάνεται. οἷς γὰρ ἄλλους ἐλέγχειν πει-*
ρᾶται αὐτὸς πολὺ πρότερον εἰς ἐνοχὴν πρόεισι καὶ οὕτω

9–11 Gen. 3, 1–6 ‖ **11–12** Gen. 11, 1–4 ‖ **12–14** Gen. 37, 18–20 ‖ **17** Iac. 2, 23 ‖ **20–21** Ex. 32, 1–6 ‖ **21–22** Ex. 32, 21 ‖ **22–23** Ex. 32, 28 ‖ **23–26** Dan. 3 ‖ **26–28** cf. Ios. 7, 26 ‖ **29** CPG I 83; II 417

12 *θεομαχία ἦν* Kh: *θεομαχίᾳ, ἦν* **M**

καθ' ἑαυτοῦ τοξεύων ἁλίσκεται. εἰπὲ γάρ μοι· τίς συμφωνία τὸ ἐπίμωμον κέκτηται, πότερον ἡ λόγῳ σώφρονι βοηθουμένη καὶ παραδόσει τῶν πρεσβυτέρων ἢ ἡ αὐτοθελὴς καὶ μανιώδης καὶ εἰς τὴν ἀπόπληκτον γνώμην τὸ πᾶν ἀναφέρουσα καὶ τοῦτο ἐκεῖνο τὸ Πυθαγορικὸν 5 *'αὐτὸς ἔφα' τῷ βίῳ ἡμῶν παρεισφθείρουσα; ἀλλ' ὅτι κανονικαῖς ψήφοις συμπεφωνήκαμεν, πολὺς ὁ λόγος ὑπέστησεν· ὑμεῖς δὲ τί; τοσοῦτον τῇ μανιώδει τεθαρρήκατε συμφωνίᾳ ὑμῶν, ὡς καὶ ὅρκῳ καταδήσασθαι ταύτην, εἴ γε πιστέον ἄλλοις πολλοῖς καὶ Πλωτίνῳ τῷ Θεσσαλονί-* 10 *κης ἀπὸ τῆς ἄγαν ἀπονοίας τε καὶ ἀναισθησίας ἀπαρακαλύπτως τοῦτο διαγορεύοντι· διὸ καὶ ἀπέστη ὑμῶν, ὅτι μὴ τὰ ὀμωμοσμένα ἐπιτετέλεσται. τοσοῦτον ἡ συμφωνία τὸ ἰσχυρὸν ὑμῖν ἐπιμαρτυρεῖ ὡς καὶ εὐθύνῃ τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου ταύτην ὑμᾶς ὑπαγαγεῖν, τὰς συν-* 15 77v *ωμοσίας καὶ φατρίας αὐστηρῶς ἄγαν ἐξεταζούσης. | εἶτα οὐχ ἱκανοὶ ἑξακόσιοι καὶ τριάκοντα συμφώνως ὑμῶν καταβάλλοντες τὴν συνωμοσίαν τε καὶ φατρίαν, ἀλλ' ἔτι καὶ ἀναιδεύσοισθε τῷ ἑαυτῶν ἐπικλήματι τοὺς ἀνευθύνους ἡμᾶς χρᾶναι; τῆς ἰταμωτάτης ψυχῆς καὶ* 20 *φρενός.*

Ἀλλ' οἷος καὶ τοῖς σοφοῖς ὑποδείγμασιν ἀναφαίνῃ, τὸν ὄφιν, τὴν Εὔαν, τὸν πρῶτον ἄνθρωπον συμφωνῆσαι εἰσηγησάμενος, μὴ εἰδὼς τί ὅλως ἀποθρασύνῃ μηδ' ὅτι πρὸς λῆρον μακρὸν ἀπολήγει σοι τὸ τὴν ἀπόδειξιν καταδού- 25 *μενον. ἀφ' οὗ γε δῆλον ὡς πᾶν ὃ ἂν ἐπέλθῃ σοι φθέγξασθαι παρακοπῇ καὶ παραφροσύνῃ καταλαμβάνεται. ἢ γὰρ οὐχὶ ἀπάτη καὶ δόλος ὀλέθριος τὸ ἐπὶ τῶν πρωτοπλάστων τοῦ ὄφεως, ἀλλ' οὐ συμφωνία; πᾶς τις ἀπάτην ἐρεῖ, οὐχὶ δὲ συμφωνίαν. χωρὶς γάρ, τὸ παροιμιῶδες, τὰ τῆς ἀπάτης* 30 *καὶ συμφωνίας ὁρίσματα· ἀπάτη μὲν γὰρ λανθάνοντα τὸν δόλον ἐνεσκευάσατο, συμφωνία δὲ πεπαρρησιασμένον τι*

5–6 CPG I 216; II 16 || **14–16** Can. Chalced. 18 (Lauchert 93, 28–94, 2) || **30–31** CPG II 130

19 *ἐπικλήματι* Wk: *ἐπιβλήματι* **M** || **25** *ἀπολήγει* ex *ἀποτείνει* **M**

καὶ λυσιτελὲς τοῖς συμφωνοῦσι διῳκήσατο. τοιοῦτος κἂν τοῖς λοιποῖς σου πεφωραμένος καταγέλαστος ἀπαλλάττεις τὴν παραδειγματικὴν πίστιν. τίς γὰρ Ἀαρὼν περὶ τοῦ μοσχοποιῆσαι συμφωνία; οὐ συμφωνία γὰρ τοῦτο τὸν
5 Ἀαρὼν δρᾶν, ἀλλ' ἀνάγκη ἐξεβιάσατο, μᾶλλον δ' οἰκονομία, εἴ τι τοῖς θείοις πατράσι πιστέον ταύτῃ τὸν τούτου τοῦ ῥητοῦ τόπον ἀναπτύσσουσι. τίνος δὲ καὶ ἀπέλαυσε διὰ τοῦτο κακοῦ Ἀαρών; μὴ τῆς ἀρχιερωσύνης ἐλήλαται; μὴ ὡς ἡ Μαρία λελέπρωται τοῦ ἐξ ὕβρεως καὶ γογγυσμοῦ
10 οἷς εἰς τὸ Αἰθιοπικὸν λέχος Μωϋσέως ἀπέσκωψε τίνουσα δίκην; ἐῶ λέγειν τὰς ἄλλας ὑμῶν ἀσυμφώνους τῇ ἀληθείᾳ συμφωνίας, τὴν προσκύνησιν τῆς εἰκόνος καὶ εἴ τι τοιοῦτον ἀνάγκῃ, οὐ συμφωνίᾳ κατείργασται, ὡς ἂν μὴ πλέον γελῷο ἀνεπιστάτως τῇ τῶν γραφῶν χρώμενος ἀνα-
15 γνώσει καὶ εἰς κενὸν τὸν διδασκαλικὸν θρόνον κληρούμενος.

Καὶ τὰ μὲν τῆς συμφωνίας ἐχέτω ταύτῃ· ἀλλ' ἵνα σὲ καὶ ἄλλοθεν ἀπελέγξω ἀφρόνως τῇ συμφωνίᾳ ἐπιφυόμενον· – καὶ γὰρ διατείνῃ τὴν ἐπὶ κακῷ συμφωνίαν
20 μηδαμῶς ἀπηλλάχθαι προκρίματος, κανόνων δὲ παραβάσεως τί ἂν ἄλλο κάκιον; – ἐρωτήσω μέν σε, σὺ δέ μοι ἀπόκριναι· ἔστι σοί τις λόγος τῶν ἐν τῇ ἕκτῃ συνόδῳ πατέρων ἢ οὔ; καὶ τίνας τούτους ὑπείληφας; ἆρά γε σοφοὺς τὰ θεῖα καὶ μεγαλόφρονας ἢ τούτων τινὰς οἳ
25 κιβδηλεύειν τὰ θεῖα νομίζονται καὶ χάριτι ἀνθρωπίνῃ τὸ σεμνὸν καπηλεύοντας; ἀλλ' εἰ ταῦτα μηδ' ὁ σπορεὺς τῶν ζιζανίων ἀποθρασύνοιτο, τί φήσεις ἐπειδὰν αὐτοὺς συμφώνως καταλάβοις δευτερογαμοῦσιν ἱερεῦσιν ἐπιεικέστερον τοῦ κανόνος χρωμένους καὶ τοῖς μετὰ χειρο-
30 τονίαν γεγαμηκόσι συγγνωμονοῦντας τοῦ παραπτώματος; πρὸς ποίαν γὰρ οὗτοι δικαιολογίαν ὥς γε ἡμεῖς τοῦτο

6–7 Cyrill. Glaph. in Ex. PG 69, 528 B 6–D 12 || **9–11** Num. 12 || **22–30** Can. Trull. 3 (Lauchert 102, 24–104, 7) || **26–27** Mt. 13, 25; cf. Greg. Naz. Or. 21, 21, PG 35, 1105 B 8–9

9 ὕβρεος **M** || **21** ἐρωτήσωμέν σε **M**

78r *ποιοῦντες κατέφυγον; | ἀλλ' οὐ πρὸς μίαν ἄλλην ἢ τὴν ἀπηγορευμένην ὑμῖν μανιωδῶς μάλα συμπάθειαν, ἥτις οὐδ' αὐτοῖς ἀναίτιος πάμπαν καὶ ἄλογος* (*εἰρήσεται γάρ*) *ἀλλ' ἔχουσα ταύτην τὴν θείαν εἰς ἐχέγγυον τοῦ κυρίου φωνὴν ἥτις τοῖς ἐπὶ γῆς δυσὶν ἢ τρισὶ συμφωνοῦσι περί* 5 *τινος καὶ αἰτουμένοις δοθῆναι περὶ παντὸς ὑπισχνεῖται οὗ ἐὰν οὗτοι αἰτήσωνται. εἰ δὲ δύο καὶ τριῶν ἐπὶ τῷ Χριστοῦ ὀνόματι συνηγμένων ἔντευξις οὐκ ἀποδοκιμάζεται, ἧ πού γ' ἂν διακοσίων ὅσοι τὸν ἱερὸν τοῦτον ἀνεπλήρωσαν σύλλογον;* 10

Ἀλλὰ καὶ οὗτοι μὲν οὕτως· ὑμεῖς δὲ πῶς; ἐπὶ ματαιότητας καὶ μανίας ψευδεῖς ἐρειδόμενοι ἀνέμους ποιμαίνετε, κατὰ τὴν ἱερὰν παροιμίαν, καὶ πετόμενα διώκετε ὄρνεα, παντὶ μᾶλλον ἢ ἀληθείᾳ ἐοικέναι σπουδάζοντες. ὁρᾷς ὅσον τὸ αἶσχος τοῖς ἀπροβούλως καὶ ἀνεπιστάτως τὸ ἐπελθὸν 15 *δογματίζουσι. καὶ τούτων μὲν ἅδην, μέτιμεν δέ σου καὶ τὰ λοιπά.*

XXI. Ὅτι τοὺς λέγοντας συμπαθῶς διατεθῆναι καὶ διὰ τοῦτο συνελθεῖν τῷ βουλήματι τῶν γεγαμηκότων ἐρωτητέον τίνος ἕνεκεν συνεπάθησαν· εἰ μὲν διὰ θεόν, δέον καὶ τοῖς λοιποῖς 20 συγχωρεῖν πρὸς τοιοῦτον γάμον βουλομένοις μεθίστασθαι καὶ μᾶλλον τὸ συμπαθὲς ἐπιδείκνυσθαι πρὸς τοὺς ἀσθενεστέρους καὶ ὧν ἴσως ἡ ἀπορία τοῦ βίου ἔχει τινὰ πρὸς τὴν συμπάθειαν προσιόντα λόγον. εἰ δὲ οὔ (καὶ γὰρ οὐκ ἂν τοῦτο φαῖεν) πῶς οὐ κατάκριτος καὶ ἡ συμπάθεια 25 καὶ οἱ συμπαθοῦντες;

Τίς οὐκ ἂν ἐλεήσειε τὸν αὐθαιρέτως ἀγνοίας δαίμονι παθαινόμενον; καὶ μοι δοκῶ μὴ τοσοῦτον λογισμοῦ ἔμφρονος ἁμαρτάνειν, εἰ μὴ κενῶς τοῦτο δοκῶ. καὶ γὰρ ἀγνοεῖ, τί τὸ τῆς συμπαθείας ὄνομα, οὐχὶ πρὸς θεὸν ἀλλὰ 30 *πρὸς ἡμᾶς τεῖνον. ἐπὶ συμπάθειαν γὰρ ἀφορᾷ ὅσα τῆς ὁμοιοπαθείας χάριν τοῖς ὁμοδούλοις ἀφίεται, ἐξ ὧν καὶ*

4–7 Mt. 18, 19–20 || 12–13 Prov. 9, 12a

8–9 *ἧ πού* Wk: *ἢ ποῦ* M

αὐτοὶ ἀλλοιουμένῃ φύσει κατεκληρώθησαν τῶν οὕτω χρηστευομένων καὶ τὸ περὶ τοὺς ἄλλους εὐτρεπιζόντων ἐνδόσιμον. εἰ οὖν ταῦθ᾽ οὕτως ἔχει, τίς ὁ παράληρος οὑτοσὶ λόγος ὁ διὰ θεὸν πυνθανόμενος, οὐ διὰ τὴν κοινὴν
5 *φύσιν νέμεσθαι τὴν συμπάθειαν; ἢ τίς ὁ τὸ οὕτως ὡς αὐτὸς βούλεται θεομισὲς πρᾶγμα ἢ συμπαθείας ἀξιῶν ἢ διὰ θεὸν ἀφιείς; παρoργίζοντος γάρ, ἀλλ᾽ οὐκ εὐφραίνοντος τοῦτο θεόν. πῶς οὖν αὐτὸς ἃ παροξύνειν θεὸν βούλεται, διὰ θεὸν ἡμᾶς ταῦτα πράσσειν ἀνερωτᾷ; ἢ οὐ συνῆκεν ὡς*
10 *ἃ μὴ κεχαρισμένα θεῷ οὐδὲ ἀνθρώποις τοῖς τούτῳ ἀνακειμένοις εὐλόγως διαπραχθήσεται;*

Καὶ οὕτως μὲν τὸ διὰ θεὸν αὐτῷ συμπαθεῖν ἐξημάρτηται· ἐπεὶ δὲ πολλαχοῦ παρεστήσαμεν τὸ ἀποπνῖγον αὐτὸν ὡς κανονικῇ ψήφῳ διεπραξάμεθα, τίς αὖθις ὁ τοσοῦτος
15 *παράλογος, ἀποδιορίζειν βασιλέων ἰδιώτας καὶ μὴ ἅπαντας ἀνυποστόλως τοὺς τύχης, ἵν᾽ οὕτως εἴπω, ἀγνωμοσύνῃ τὰ συνοικέσια δυστυχοῦντας τῆς αὐτῆς | πνευματικῆς ἀξιοῦσθαι μοτώσεως, ἀλλὰ προσώποις καὶ* 78v
τύχαις ἀποκληροῦσθαι τὴν θεραπείαν καὶ τὸ κοινὸν ἅπασι
20 *κατακερματίζειν κακεντρεχείᾳ γνώμης ὡραϊζόμενον;*

Ἀλλὰ τὸ πρὸς ἄμετρον ἐκχέειν ἡμᾶς οὕτως τὰ συνοικέσια προβαλῇ καὶ τούτοις δόξεις ἡμᾶς διακωμῳδεῖν, ἐπεὶ καὶ τοῦτο μικρὸν ὕστερον εἰς πρότασιν ὑμῖν ἄλυτον τῷ δοκεῖν ἐναπόκειται. ἀλλ᾽ εὖ ἴστε, σοφιστῶν τοῦτο μανίας
25 *καὶ ἐμπληξίας, μᾶλλον δὲ ἀμαθῶν καὶ ἀνεπιστημόνων, οἳ μηδὲ τῇ δυνάμει τῶν ὑποκειμένων παραμετρεῖν οἷοί τέ εἰσι τὴν ἐξέτασιν τούτων, ἀλλὰ τοῖς παχυλῶς, κατὰ τὸν Ἀριστοτέλην φάναι, καὶ ὑποτυπωτικῶς τὴν ἔρευναν ἐπιδεχομένοις. οὐδὲ γὰρ ἱκνουμένως καὶ νῦν ἐπὶ τῶν προ-*
30 *κειμένων ταῦτα μεταλαμβάνειν δι᾽ ἀκριβείας πάσης ἐπιχειροῦσι καὶ μηδὲ τῷ ὅτι στοιχοῦντες ἀλλὰ καὶ τὸ διότι φιλοπραγμονοῦντες. πρὸς δὲ καὶ ὡς οὐκ ἄλλο ἢ κατ᾽*

22–24 infra p. 169, 30–170, 16 || **27–28** Aristot. Eth. Nic. I 1, 1094 b 20

11 *εὐλόγως* Wk: *ἀλόγως* **M** || **12** *τὸ* Wk: *τὰ* **M** || **24** *ἴστε* Kh: *ἴσθε* **M** || **26** *ἀναμετρεῖν* (supra *παρα*), *ἀνα-* exp., **M**

οὐδὲν ὑπαλλάττον τοῦτο τῆς Ἰουλιανοῦ θεοβλαβείας καὶ τῆς Ναυατιανῶν ἀπονοίας. Ἰουλιανὸς μὲν γὰρ διασύρων τὸ 'πώλησόν σου τὰ ὑπάρχοντα' καὶ εἰς τὸ ἀδύνατον περιϊστάνειν τερατευόμενος, 'εἰ πάντες' ἔλεγε 'πωλήσουσι, τίς ὁ ὠνούμενος;' καὶ Ναυατιανοὶ τῷ τῶν ψυχῶν ἰατρῷ 5 *Ἰωάννῃ τῷ Χρυσοστόμῳ 'ὁσάκις πέσῃς, ἔγειραι καὶ σωθήσῃ' παρεγγυῶντι χλευαστικῶς ἀντεφθέγγοντο παράκλησιν εἶναι τοῦτο διηνεκοῦς ἁμαρτίας, τῷ ἀνενδότῳ δῆθεν τῆς μετανοίας πρὸς τὸ ἀεὶ ἁμαρτάνειν προτρέποντι. τούτοις τοίνυν καὶ ἡμεῖς συναγελάζεσθαι κατα-* 10 *λιπόντες ὑμᾶς τῇδε καταπαύσομεν τὸν λόγον, μηδὲν τοσοῦτον τῶν ἐφεξῆς διὰ φροντίδος τιθέμενοι, ὡς τῶν μὲν ἤδη καὶ προελη λεγμένων, τῶν δὲ καὶ τῷ καταγελάστῳ καὶ ἑαυτοῖς περιπτωτικῷ καθυβριζομένων καὶ μὴ δεομένων εἰς ἅπαν ἐλέγχου, ὅσον εἰς σύνεσιν ἀνδρὸς ἔμφρονος ἧκε* 15 *καὶ τοῖς ἀτιμοτάτοις ἀπαξιοῦντος συγχραίνεσθαι.*

XXII. Ὅτι ὁ περὶ τῆς ἀνθρωπίνης ζωῆς ὅρος οὐκ εἰς ἀνάγκην περιγράφεται, ὡς ἡ τῶν Ἑλλήνων εἱμαρμένη, ἀλλ' εἴς τε τὸν πλάστην ὁρᾷ καὶ τὴν ἑκάστου ἡμῶν προαίρεσιν, ὡς ἐξ ἀρχῆς ἐπὶ τῶν πρωτοπλάστων γέγονε. καὶ γὰρ ἐπὶ ἐκείνων 20 ὅρος ἐτέθη ἀθανασίας καὶ θνητότητος οὐκ ἐκ μόνου τοῦ θείου κελεύσματος, ἀλλ' ἐξ ἀμφοτέρων, τῆς θείας ἐντολῆς καὶ τῆς αὐτῶν προαιρέσεως. ὅπῃ οὖν ὑπῆρξε τότε, καὶ νῦν τοῦτο ἐπὶ τῇ ἑκάστου γενέσει, κἂν μὴ τοῦ προστάγματος ἡ φανέρωσις γίνηται· ὁρίζεται μὲν τὰ τῆς ζωῆς 25 ἡμῶν παρὰ τῷ θεῷ καθὼς πρὸς τὸ συμφέρον ἐστίν, ἡμῶν δὲ τῇ αὐτεξουσίῳ ῥοπῇ πρὸς τοῦτο ἢ τὸ χεῖρον φερομένων κατὰ τὴν ἑκάστου προαίρεσιν καὶ ἡ θεϊκὴ συνένδοσις οὐχ ἁπλῶς ἀλλὰ δικαίως συνεπιρρέπει.

Τί τοῦτο ἐνταῦθα κατακεχώρισται θαυμάζω, ὅτι μηδὲν 30 *πρὸς τοὺς προκειμένους αὐτῷ λήρους συναγωνίζεται, εἰ*

2–5 Iulian. contra Christ. p. 237 N. || 5–8 cf. Socr. Hist. eccl. 6, 21; Chrys. de poenit. hom. 8, 1, PG 49, 337, 16–17

6 *ἔγειραι* Wk: *-ε* M || 10 *ἡμεῖς* Wk: *ὑμεῖς* M || 16 *ἀπαξιοῦντος* Wk: *ἀπαξιῶ αὐτὸς* M || 19 *καὶ* Wk: *ἢ* M

μὴ καὶ πολλὴν εἰκαιολογίαν κατασκεδάζει | τοῦ ταῦτα 79[r]
προτείνοντος· ὃς τοῖς προχειροτάτοις τοσοῦτον διαμαρ-
τάνων βαθυτάτων οὕτω δογμάτων τῷ τῆς διανοίας ἐπι-
πολαίῳ ἐπικεχείρηκεν.

XXIII. Ὅτι τοῖς λέγουσι τὸ ʻπλέον τῆς πορνείαςʼ πρὸς τὴν
6 τριγαμίαν εἰρῆσθαι τῷ κανόνι οὐ μόνον συμβαίνει τὸ
λῆρον, ἀλλὰ καὶ κατηγορεῖν τοῦ τὸν κανόνα ἐκτεθεικότος
πατρός. εἰ γὰρ καί, ὡς αὐτοί φασι, τὸν ἐπέκεινα τοῦ γ̅
γάμου πλέον ἔχειν εἰς πορνείαν φησὶν ὁ κανών, πῶς οὐχὶ
10 ἑκόντες καὶ ἄκοντες τὴν κατηγορίαν ταύτην κατὰ τοῦ
θείου παρέξονται Βασιλείου; τίς γὰρ τῶν πάντων ἀνθρώ-
πων ἠγνόηκεν ὡς τὰ τέσσαρα τοῦ τρίτου πλέον καὶ ὅτι ὁ
τετράκις ἁμαρτήσας τοῦ τρίτον ἁμαρτόντος ἐπὶ τὸ πλέον
ἐξήμαρτε, καὶ τότε τοῦ αὐτοῦ ἁμαρτήματος τὴν πρᾶξιν
15 ἔχοντος; οὐ τοίνυν ἔχει λόγον πρὸς τὴν τριγαμίαν ὁρῶντα
τὸ ʻπλέον τῆς πορνείαςʼ εἰπεῖν τὸν μέγαν ἀρχιερέα·
τοῦτο γὰρ παντὶ γνώριμον καὶ οὐδεὶς οὐδὲ τῶν μεμη-
νότων εἰς χρείαν τοιαύτην καθέστηκε διδασκαλίας· ἀλλ᾽
εἰς τὴν ἀπόλυτον καὶ ἀνειμένην πορνείαν ἔχει τὴν ἀναφορὰν
20 ἡ τοῦ κανόνος ἐξήγησις, εἰ καὶ μὴ οὕτως δοκεῖ, οὐχ ὡς
ἀγνοοῦσιν, ἀλλ᾽ ὡς κακούργοις τοῖς πλέον εἰς ἀναισθη-
σίαν τῶν μεμηνότων ἀποφερομένοις, δι᾽ ὧν ποιοῦνται
τὴν περὶ τοῦ κανόνος ἐξήγησιν.

Τοῦτο ἐπεὶ μή τις ἡμῶν εἰς τὴν παροῦσαν πεφρόνηκε,
25 *πρὸς ὀνειροπόλον ἀποπεμπόμεθα ματαιότητα καὶ μανίαν*
ψευδῆ, οἵοις πολλοῖς αὐτὸς ὅσαι ἡμέραι ἐνευπαθεῖς, ὅτι
μηδ᾽ ἐν τῇ ἀληθείᾳ ἑστάναι σοι ἥδιον, ἀλλὰ τῷ ψεύδει
συνεῖναι καὶ ἐπαγάλλεσθαι. ὅμως προείρηται καὶ περὶ
τούτου ἀποχρώντως ἡμῖν.

XXIV. Ὅτι πρὸς ὅ φασιν οὗτοι, ἀλλ᾽ οὐχ ὁ ἀπόστολος,
31 ʻκρεῖσσον γαμῆσαι ἢ πυροῦσθαιʼ (εἰ γὰρ καὶ τὰ αὐτὰ
φθέγγονται, ἀλλ᾽ ἑτέρα μὲν ἡ τοῦ ἀποστόλου τῆς ἀλη-

5 Bas. Ep. 217, can. 80, PG 32, 805 B 1–2 || **27** Io. 8, 44 ||
28–29 supra p. 155, 1–9; 159, 7–21 || **30–31** 1 Cor. 7, 9

2 *τοσοῦτον* Kh: *τοσούτων* **M** || **18** *τοιαύτην*] fort. -*ης*

θείας φθογγή, ἑτέρα δὲ ἡ τῶν ἀπὸ τοῦ ψεύδους), φατέον ὡς εἰ παραμύθιον τοῦ πυροῦσθαι διδόατε τὴν πρὸς τετάρτην γυναῖκα συνάφειαν, δώσετε πάντως καὶ ἐπὶ πέμπτην καὶ ἕκτην καὶ ἐφεξῆς, μέχρις ἂν ἡ πύρωσις ἡ παρενοχλοῦσα στήσεται. οἱ δὲ οὐ μέχρι ** πάντως, μιᾷ 5 κατὰ διαφόρους γάμους συνάπτεσθαι γυναικί, ἀλλὰ τὴν παραμυθίαν ταύτην πάντως καὶ γυναικὸς προσούσης διὰ τὴν πύρωσιν συγχωρήσουσιν, ὑπομένοντες οὐ μιᾷ γυναικί, ἀλλὰ κατὰ τὸ αὐτὸ δυσὶ καὶ τρισὶ καὶ πλείοσιν, ἂν οὕτω τύχοι. πολλοὶ γὰρ γαμεταῖς συνοικοῦντες πρὸς μὲν τὰς 10 ἰδίας ἔχουσιν ἀηδῶς, πρὸς δὲ τὰς ἀλλοτρίας πυροῦνται σφοδρῶς. τί οὖν κωλύει τοὺς φιλανθρώπους τούτους νομοθέτας πλείοσι γυναιξὶ κατὰ τὸ αὐτὸ συναρμόζειν τοὺς πυρουμένους, καὶ ἀποπηδᾶν, ἂν οὕτως ἡ πύρωσις βιάζηται, τοῦ ἰδίου γαμέτου τὴν γυναῖκα, συνοικίζειν δὲ τῷ πυρου- 15 μένῳ;

Οὐδὲν ὁμοιότερον τῶν νῦν φρενοβλαβῶς προβεβλημένων 79ᵛ *ταῖς ἀπὸ τῶν χαμαι|τυπείων διαπληκτιζομέναις ἀλλήλαις καὶ τὰ προσόντα ἑαυταῖς ὀνείδη προληπτικῶς ταῖς πρὸς αὐτὰς ἀντεξαγομέναις ἐπιβαλλούσαις. μηδὲ γὰρ οὗτος* 20 *νοῶν τὸ ῥητόν, καὶ τί τὸ πυροῦσθαι, ἡμῖν ἄγνοιαν ἐπιμαρτυρεῖ τούτου. προσέτι δὲ καὶ διασύρειν ἡμᾶς ταῖς ἀτοπωτάτοις αὐτοῦ ὑπονοίαις ἐπιχειρεῖ καὶ πᾶσιν ἐφεῖναι ἡμᾶς ἐπὶ ταῖς ἀλογίστοις ἐπιθυμίαις τὸ καταθύμιον συκοφαντεῖ, οὐκ εἰδώς, ὡς ἔφθημεν εἰρηκότες, τί τὸ* 25 *πυροῦσθαι νοεῖ. πλὴν ταῖς τούτου συντρέχοντες ἀπονοίαις ἐροῦμεν ὡς εἰ μετὰ γυναικὸς νομίμης συζῶντες ἄνθρωποι οὐδὲν παύονται πρὸς ἑτέρας μετοχετεύειν τὸ φίλτρον, τίνες ἂν εἶεν εἰ μηδὲ ταύτας ἔχοιεν καταμαραινούσας ὅσον δή τι τὸν οἶστρον τῶν ἀναγώγων μηδὲ τῇ* 30 *πρὸς ἐκείνας αἰδοῖ τὸ τῆς ἀφροδισίου μανίας φλεγμαῖνον καταστελλόμενοι; ἀλλὰ σὺ τί φῄς; τοῦ μὲν θείου Παύλου διὰ τὴν πύρωσιν γαμεῖν παρακελευομένου, ὅτι μηδ'*

5 lac. indic. Wk; ex. gr. ⟨*τούτου στήσονται*⟩ || **20** *ἀντιβαλλούσαις*, *ἀντι-* exp. (*ἐπι* suprascr.), **M** || **27** *ὡς εἰ* **Kh**: *ὡσεὶ* **M**

ἄλλως ἦν βέλτιον περὶ τούτου σκοπῆσαι – οὐδὲ γάρ, ὡς αὐτὸς καθάπαξ ἀμαθαίνων ἠγνόηκας ὡς οὐδαμῶς ὥρισται τὸ ἐν τοῖς πρακτοῖς, ἀλλ' ἀγαπητὸν βουλευσαμένους περὶ αὐτῶν, οὗ ἂν τὸ μὴ χεῖρον, ἐκεῖ τὸ βέλτιον
5 *ἐπιγνῶναι, ἤδη καὶ Παῦλος ὁ τῆς ἐπιγείου σοφίας οὔμενουν ὅσον εἰπεῖν καθυπερτερῶν – ἐκείνου τοίνυν ταῦτα παρεγγυῶντος, σοῦ δὲ τὸν γάμον κωλύοντος, πρὸς τί σοι τὰ τῆς πυρώσεως εἰς ἔκλυσιν ἀπολήξει; ἆρ' οὐχὶ πρὸς τὸ χείριστόν τε καὶ πορνικόν; τῆς μιαρίας. καὶ τί ἂν ἄλλο*
10 *τοῖς πορνοβοσκοῖς ἢ τοῖς ἀσώτως βιοῦσι καὶ ἀκολάστως καταπράξαιο κεχαρισμένον;*

XXV. Ὅτι πρὸς τοὺς λέγοντας 'ἐπὶ μόνου τοῦ βασιλέως συγκεχώρηται ἡ τετάρτη γαμετή, ἐπὶ δὲ τῶν λοιπῶν ἀπείρηται προσώπων καὶ νόμος φοβερὰν τὴν ἀπειλὴν
15 ἔχων ἐκτέθειται' ἁρμόσει τὸ τοῦ ἀποστόλου 'λογίζῃ τοῦτο, ὦ ἄνθρωπε κενέ, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ;' ἔτι δὲ καὶ τὸ τοῦ κυρίου 'ἰατρὲ θεράπευσον ἑαυτόν' καὶ 'ἔξελε τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου καὶ
20 τότε βλέψεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου'. εἰ δὲ ὅσα ὁ νόμος λέγει τοῖς ἐν τῷ νόμῳ λαλεῖ, εἰ μὲν ὁ τὸν νόμον τιθεὶς τῆς τοῦ νόμου πεφρόντικε φυλακῆς, ἔσται καὶ αὐτὸς ὑπὸ τὸν νόμον καὶ ἀνάγκη ἀκούειν αὐτοῦ· εἰ δὲ πρῶτος αὐτὸς λῆρον τὸ τοῦ οἰκείου νόμου ἐπίταγμα
25 ποιεῖται δι' ὧν παρὰ φαῦλον ἔρριψε τὴν παραγγελίαν, πῶς οὐχὶ μᾶλλον πρὸς παράβασιν ἢ πρὸς συντήρησιν τοῦ νόμου προτρέπεται τοὺς ἀκροατάς;

Σεαυτῷ ταῦτα πρότερον ὑπαναγινώσκων, εἰ μὴ τῇ δοκῷ τῆς οἰήσεως τυφλώττεις (διὸ καὶ τὸ μὲν ἐκτὸς τοῦ
30 *ποτηρίου καὶ τῆς παροψίδος ἀποκαθαίρεις, τὸ δὲ ἐντὸς παντὸς καναλίου φέρεις ἀκαθαρτότερον), τότε καὶ τοὺς ἄλλους περισκόπει καὶ τὸ τῶν ὀφθαλμῶν περικάθαιρε κάρφος. εἰ δὲ μὴ τοῦτο, τοῖς Φαρισαίοις συντετάξῃ ἀπρο-*

13–15 Leonis VI Nov. 90 (PG 107, 604 A–C) || **15–18** Rom. 2, 3; cf. Iac. 2, 20 || **18–19** Luc. 4, 23 || **19–21** Mt. 7, 5 || **21** Rom. 2, 19 || **28–29, 31–32** Mt. 7, 3–5; Luc. 6, 41–42 || **29–31** Mt. 23, 25

φασίστως, βαρέα μὲν τοῖς ἄλλοις ἀνατιθεὶς ἄχθη, αὐτὸς δὲ τούτων μηδ' ἄκρῳ δακτύλῳ προσαπτόμενος. πλὴν εἰ
80r παρα|βάσεως κρίνεις τὸν πρώτως ἐκτεθεικότα τὸν νόμον, τότε κρινεῖς, ἡνίκα καὶ Παῦλον, σφοδρῶς μὲν τὴν περιτομὴν καὶ τοὺς ταύτην ἐπαναιρουμένους μετὰ τὸ πρὸς 5
Χριστὸν ἐπιστρέψαι κατακρίνοντα, Τιμόθεον δὲ μετὰ ταῦτα ἁγνιζόμενόν τε καὶ περιτέμνοντα. ἀλλὰ περὶ τούτων καὶ ἀλλαχοῦ πλατύτερον ἡμῖν ἐλέχθη καὶ ἀποδεικτικώτερον· ἀνθ' ὧν τό γε νῦν τοῖς κατεπείγουσιν ἀγαπήσομεν.

Πλὴν ἵνα μή σοι τῇ ἀπορίᾳ δόξωμεν κατακρατούμενοι 10
ταῦτα προφέρειν, ὅσον κἀνταῦθα τὸ τῆς πονηρίας ὑμῶν καταστεῖλαι φλεγμαῖνον ἐκεῖνα ἐροῦμεν, ὡς ἤδη μετὰ τῶν ἄλλων ἀξιολόγων ἔτι καὶ τόδε ἠγνόησας ὅτι τῶν νόμων ἔσθ' ὅτε ἀρχή τε καὶ γένεσις οὐκ ἄλλο οὐδὲν ἀλλ' ἢ πραγμάτων περίστασις, τὸ μὴ προσῆκον ὑποδυομένη τῆς 15
κατ' ἀνθρώπους βιώσεως. ἐκ γὰρ τοῦ πράττεσθαί τι ὧν οὐ προσῆκεν (ὁ εἰπών που) οἱ νόμοι ἐτέθησαν, φυλάττεσθαι δηλαδὴ τὸ ἀπὸ τοῦδε τοῖς πολιτευομένοις διαστελλόμενοι τὸ ἀπαίσιον, ἀλλ' οὐχὶ καὶ τὸ φθάσαν ἐξαφανίζοντες. οὕτω δυσὶν ἀδελφαῖς κατὰ ταὐτὸν γαμεταῖς χρῆσθαι 20
ἀδιαφορουμένως Μωϋσῆς ἀπηγόρευσεν ὁ νομοθέτης, ἐξ Ἰακὼβ τοῦ πατριάρχου εἰς τὸ κατ' ἐκεῖνο καιροῦ τείνοντος· καὶ οὐ δήπου τῶν πρὸ τοῦ νόμου τις κατειλημμένων οἷς ὁ νόμος ἐκώλυεν ἤδη τῶν διαστελλομένων ἀπείχετο, ὅτι μηδὲ αὐτὸς ὁ νομοθέτης τῆς ἐκ Μαδιὰμ αὐτῷ 25
συνοικησάσης πολλῷ τῷ λόγῳ τῶν ἐθνικῶν ἐπισκήψας γυναίων ἀπέχεσθαι. οὕτω χθὲς καὶ πρώην οἱ κατὰ τὴν ἕκτην ἁγίαν σύνοδον πατέρες τοῖς τῶν ἱερῶν ἀποσκιρτήσασι κανόνων ἐχρήσαντο ἱερεῦσι, μᾶλλον δὲ καινότερον, τῶν νενομισμένων καὶ λύσαντες καὶ τοῖς μετ' αὐτοὺς 30

1–2 Luc. 11, 46 ‖ **2** CPG I 24; II 5 ‖ **4–6** ex. gr. Gal. 5, 2–6 ‖ **6–7** Act. 16, 3 ‖ **7–9** cf. supra p. 116, 8–12 ‖ **16–17** Gal. 3, 19 ? ‖ **20–21** Lev. 18, 18 ‖ **21–23** Gen. 29, 15–30 ‖ **25–26** Ex. 2, 21–22; 18, 2–4; Num. 12, 1 ‖ **26–27** Deut. 7, 3 ‖ **27** — p. 173, 3 Can. Trull. 3 (Lauchert 102, 24–104, 7)

21 ἀδιαφορουμένως] -ως ex -ου (?) **M** ‖ **22** τείνοντος] fort. τεῖνον ‖ **26** συνοικισάσης **M**

ἐπισκήψαντες αὖθις τῶν ἐξ ἀρχῆς ἔχεσθαι μηδὲν ὑποδειγματιζομένοις τοῖς τὸ τηνικάδε κατὰ χρηστότητα προβεβηκόσιν. ἀλλ' ἐπειδὴ ταῦτα, πρὸς τίνα μέμψιν εἰ σωφρονοίης ἐναπολάβοις καὶ βασιλέα, εἰ τὸ πρὸ τοῦ μὴ
5 *δόξαν τοῖς φαύλοις ὑπάγεσθαι αὐτὸς μὲν ἀγνοίᾳ τοῦ δέοντος ἐπανείλετο, τῷ δ' ὑπηκόῳ διὰ τοῦ νόμου τὸ ταὐτὸν ἀπετείχισεν;*

Ἐῶ γὰρ λέγειν ὅτι σοὶ ταῦτα τὰ ἐν ἀγνοίᾳ πειθόμενος διεπράξατο, κακῷ συμβούλῳ καὶ φίλῳ· ἴσασιν οἱ κατὰ
10 *καιρὸν ταῦτα θεοῦ διδόντος ἐλέγξοντες. καὶ ὅτι μὲν κακῷ σοι ἐκέχρητο συμβούλῳ ἔδειξε τὸ μετὰ τοῦτο, ἀφ' οὗ πρὸς ἀντίπαλον αὐτῷ μοῖραν ἀποκριθείς (οἶσθα τὸν τρόπον) ὁ τέως ἴσα ψυχῇ πεφιλημένος ἐχθρὸς ἀναπέφηνας καὶ ἐκδικητής· ἐχθρὸς μὲν οὗπερ ἐχρῆν ἥκιστα, ἐκδικητὴς*
15 *δὲ ἐκείνων ὧν αὐτὸς καὶ σπορεὺς καὶ φυτουργός τε καὶ φυτοκόμος καὶ πᾶν εἴ τι τῆς φθονερᾶς ταύτης καὶ ἀλλοκότου γεωργίας καὶ πρᾶγμα καὶ ὄνομα. τίς οὖν μῶμος αὐτῷ ὑπολείπεται, ἀλλ' οὐχὶ μέγιστος ἔπαινος, εἰ μετὰ γνῶσιν οἷς αὐτὸς ἑάλω ταῖς σαῖς δηλαδὴ πρότερον ὑπο-*
20 *θήκαις, νόμῳ φυλάξασθαι τὸ ὑπήκοον ἀπείργει μὴ τοῖς ὁμοίοις εὐθύνεσθαι;*

Εἶεν· ἀλλὰ καὶ ἔτι φρυάξῃ κατὰ τοῦ εὐεργέτου καὶ τοῖς αὐτοῦ ἐντρυφῶν ἀγαθοῖς καὶ ὑπὲρ τὴν χρείαν διαμωκήσῃ τοῦτον | ὡς μὴ τοῦ ἐφαμάρτου δῆθεν ἀπηλλαγμένον, ἀλλ' 80v
25 *ἐκ τῆς κώπης, ὅ φασι, καὶ τῆς ἀσβόλου νομοθέτην γινόμενον; ἀλλ' εὖ ἴσθι, εἰ τοῖς σοῖς ἐναπεκάθητο λόγοις μηδὲν πλέον τούτων ἀνευρηκὼς παρὰ τῶν σοῦ σοφώτερον ἠκριβωκότων ἐν οἷς αὐτὸς πλημμελῶν εἰς τὴν παροῦσαν καταλαμβάνῃ, οὐδὲν ἂν πρᾶγμα καὶ τοῦτο προβῆναι· νῦν δὲ*
30 *συνέσει τοῖς λόγοις ἐπιβαλὼν ἑκατέρων καὶ τὸ μὲν σὸν ἀμάρτυρον ἀπηνὲς μυσαχθείς, τὸ δὲ τῶν ἄλλων ἐπιεικὲς μετὰ τοῦ τῇ ἀληθείᾳ συνᾴδειν καὶ τοῖς πατράσιν ὑπεραγάμενος, μέσος χωρεῖ τῶν πραγμάτων τὸ ἐξ ἑκατέρου δεξιώτερον ἀσπασάμενος. καὶ τὸ μὲν κῆδος οὐκ ἀπωθεῖται, ὅτι μηδέ*

13 Deut. 13, 7 || **25** CPG I 195; II 12

τις τῶν καθεστηκότων τοῦτο κατηνάγκαζε λόγος· ἐπεὶ δέ τισι τῶν δοξοκόπων σκάνδαλον ἐνεποίει, φιλούντων ἀεὶ ταῖς διακένοις καινολογίαις προσφύεσθαι, γράφει τοῖς ὑπὸ χεῖρα τὸν νόμον, ὡς ἂν καὶ τούτοις χαρίσαιτο τὴν ὀλιγωρίαν αὐτῶν ἐκθεραπεύων, ἀλλὰ μὴ τῷ ἀδιακρίτῳ 5 *γογγυσμῷ τῷ παντὶ ἀποπνίγοιντο, καὶ οὕτως νόμῳ καὶ πράγματι τὸ κατάλληλον διαιτῷτο, τοῖς φιλαιτίοις λέγω καὶ τοῖς ἀκρατεστέροις. ἆρα συνῆκας ὅσον ἀνώτερος τῶν ὑμετέρων βασιλεὺς αἰτιαμάτων; ἐξ οὗ γε τῇ ἐπαινουμένῃ δεισιθεΐᾳ καταναγκάζων εἰς φθονεροὺς ὑμᾶς καὶ* 10 *μεμψιμοίρους ἀποπέμπεται καὶ βασκάνους. ἃ γὰρ οὐδ' ἂν τῷ Μώμῳ, φασί, παράσχοι πρόφασιν, αὐτὸς ἀβουλίᾳ καὶ ἰταμότητι γνώμης πρὸς μέμψιν παρήγαγες. ἀλλ' οὖν οὐκ ἐπιτεύξεται δόλιος θήρας.*

XXVI. Ἔτι δὲ εἰ συγχωρεῖται τῷ βασιλεῖ ὁ γάμος, πάντως 15 ἔσται καὶ τοῖς λοιποῖς βασιλεῦσι συγκεχωρημένος. οὐ γὰρ δὴ τῷ μὲν διὰ τὴν βασιλείαν συγχωρηθήσεται, τοῖς δὲ οὐχί, ἀλλ' ὥσπερ ἔχουσι τὸ ἴσον τοῦ ἀξιώματος, οὕτω κληρονομήσουσι καὶ τῆς ἴσης ἐξουσίας περιστάσεως ὁμοίας συμπιπτούσης· τοῦτο δὲ πῶς ἂν ᾖ περιγραφόμενον ἐφ' 20 ἑνὶ προσώπῳ καὶ οὐκ εἰς πλείονας διαβαῖνον; ἀφ' ὧν ἀνάγκη ὥσπερ ἀπό τινων μετεώρων καὶ ὑψηλῶν χωρίων ῥεῦσαι ῥαδίως τὸ κακὸν ἐπὶ τοὺς ταπεινοτέρους. καὶ ἄλλως δὲ τίς οὗτος ἕτοιμος πείθεσθαι νομοθεσίᾳ ἣν ὁρᾷ ὑπὸ τοῦ νομοθετοῦντος ὑβριζομένην, ὅπου γε μᾶλλον πέφυκε τὸ τῶν 25 ἀνθρώπων ἀνάγωγον μηδὲ λίαν τιμωμένης ἐντολῆς ὑπὸ τοῦ ταύτην ἐντειλαμένου ἀσφαλῶς πρὸς αὐτὴν διατίθεσθαι; καὶ ὅρα μοι τὰ θεῖα νομοθετήματα, τὰ τῶν θείων ἀποστόλων, τὰ τῶν πατέρων, ἃ πράξεσιν αὐτῶν μᾶλλον ἢ λόγοις νενομοθετημένα παραμελεῖται ὑπὸ τῆς ἐπὶ τὰ 30 χείρω τῶν ἀνθρώπων ῥοπῆς.

11–12 cf. Plat. Reip. VI 487a 6; Lucian. Hist. conscr. 33 || **14** Prov. 12, 27

1 *τοῦτο* Wk: *τούτων* (comp.) **M** || **2** *δοξοκόπων* **Kh**: *-κότων* **M** || **9** *ὑμετέρων*] *ὑ-* ex *ἡ-* **M** || **19** *περιστάσεως* **Kh**: *περὶ στάσεως* **M** || **24** *οὗτος*] fort. *οὕτως*

῾Υπὸ σοῦ πρώτου μάλιστα παραμελεῖται τοῖς καθ' ἡμέραν λουτροῖς, ταῖς ὀψοφαγίαις, τῇ ἄλλῃ πάσῃ ἀσωφρονίστῳ ζωῇ. τὰ δὲ λοιπὰ τῆς εἰκαιολογίας ὡς πολλάκις εὐθύνας δεδωκότα παρήσομεν. |

XXVII. ῞Οτι πρὸς τοὺς λέγοντας μὴ χρῆναι δι' ἕνα σφαλλόμενον 81r
6 ἀκριβολογεῖσθαι ῥητέον· δι' ἑνὸς ἀνθρώπου ἁμαρτίαν θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν καὶ οὐκ ἐφείσατο δὲ διὰ πταῖσμα ἑνὸς ὁ πλάστης καίτοι πταίσαντος ἅπαξ, ἀλλ' εἰς θάνατον παραδέδωκε.

10 *Τοῦτο μὲν οὐδεὶς εἴρηκε τῶν σπουδαίων εἰς τὴν παροῦσαν. εἰ δ' ἄρα, τί καὶ ἀπαντήσει ἐκ τούτου δεινόν; οὐδὲν οἶμαι, ἀλλ' ὃ καὶ ἀπὸ τοῦ δύο κατὰ ταὐτὸν γυναῖκας ἐσχηκότος Οὐαλεντινιανοῦ ἀπήντησεν· ᾧ οὐδὲ Βασίλειος, οὐ πολλῷ μᾶλλον ὁ τὸν ζῆλον τῷ Θεσβίτῃ Ἀμβρό-
15 σιος παρισούμενος περὶ τούτου τι παρηγγύησαν (εὖ γὰρ ᾔδεσαν τὸ παροιμιῶδες, ὡς μία χελιδὼν ἔαρ οὐ ποιεῖ) καίτοι καὶ νομοθεσίᾳ τοῦτο τοῦ παραπεπτωκότος κατοχυρώσαντος, κατέλιπον δὲ τὸ πρᾶγμα αὐτὸ ἑαυτὸ δαπανῆσαι τῇ ἀτοπίᾳ. τὰ γὰρ τοιαῦτα, τὸ τοῦ Παιανιέως, εἰς
20 ὅσον μὲν δή τι ἀνθεῖ, τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὑτὰ καταρρεῖ.*

XXVIII. ῎Ετι δέ, τὸ τοῦ ἀποστόλου, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ· ἐνταῦθα δὲ οὐ μικρὰ ζύμη, ἀλλ' ἡλίκον τὸ μέγεθος. καὶ εἰ μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ, τί ποιήσει
25 τῆς τοιαύτης ζύμης ὁ ὄγκος;

*῝Ο καὶ ἡ ὑμετέρα Φαρισαϊκὴ ζύμη ποιήσει. οὐ γὰρ εἰ καὶ πολλῇ τῇ μανίᾳ τὴν οἰκουμένην τῷ παραλόγῳ τε καὶ τῇ καινοφωνίᾳ ἔσπευσεν ἀναζυμῶσαι, ἤδη καὶ διογκουμένη κατείληπται, τῷ χόρτῳ δὲ τῷ ἀπὸ τῶν δωμάτων
30 ταὐτόν τι παθοῦσα πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη, μήτε*

6–7 Rom. 5, 12 || **12–19** cf. Socr. Hist. eccl. **4**, 31 || **15–16** CPG I 120; II 79 || **19–21** Dem. 2, 10 || **22–23** 1 Cor. 5, 6 || **26** Mt. 16, 6 || **29** – p. 176, **4** Ps. 128, 6–8

3 *εἰκαιολογίας*] *-ογί-* ex *-αλί-* (?) **M** || **12** *ταὐτὸν* ex *τούτων* **M** || **17** *νομοθεσία* **M** || **20** *αὑτὰ* Kh: *αὐτὰ* **M**

τὴν χεῖρα τοῦ ὀλεθρίως θερίζοντος πληρώσασα, μὴ τὸν κόλπον τοῦ ἀμαλλοδετῆρος μεστώσασα, ὅτι μηδὲ τοὺς παράγοντας σωφρονεῖν βουλομένους εἰς εὐλογίαν ἐξεκαλέσατο.

XXIX. Ὅτι τὸ ‘διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἐκλεκτῶν αὐτοῦ ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος’ πῶς οὐκ ἔστι φρικτὸν ἀκοῦσαι, μὴ ὅτι γε πρᾶξαι τὴν λεγομένην τοῖς ἀθλίοις νυμφοστόλοις οἰκονομίαν; 5

Καὶ τίς, ὦ πάντων ἀθλιώτατε τῶν ἀπεγνωσμένων, περὶ γάμων ἀριθμοῦ ὁ λόγος ἐνταῦθα τῷ θείῳ πρὸς Τιμόθεον Παύλῳ; ἢ ὅτι οὐκέτι μετὰ τὸν πρῶτον ὑπολείπεται γάμον, ὡς λυσσᾶτε ὑμεῖς τοῖς εὐσεβοῦσι τῶν αὐτῶν ἔχεσθαι; οὐδὲν ἐνταῦθα τοιοῦτον, πᾶν δὲ τοὐναντίον τὰ περὶ τούτων τῆς ὑμετέρας κακοδαιμονίας Παῦλος βοᾷ, τὰς νέας χήρας ἀνυποστόλως γαμίζων· καὶ μετὰ τὸ μετριώτερον περὶ τούτων διαλεχθῆναι ἤδη τὸ πᾶν τοῦ λόγου περὶ πίστεώς τε κατατείνει καὶ χειροτονιῶν ἱερέων δοκιμασίας. ὧν πολὺν λόγον αὐτὸς ἐν τῷ παρόντι ποιῇ, ναὶ τοσοῦτον ὄναιο καὶ ὥρασιν ἵκοιο, ὃς πολλοὺς ἀπὸ τῶν βαλανείων καὶ τῶν τριόδων συλλέγεις | καὶ τῶν φραγμῶν, ἀνάγεις δὲ καὶ ἀπὸ τρώγλης ἀσπίδας πολλῇ τῇ ἀτοπίᾳ τοῦ βίου ἐνταῦθα ἠφανισμένους, οὐχ ἵνα τούτῳ τῷ ἐπὶ βασιλίσκον ἐπιβαίνοντι καὶ ἀσπίδα παρισοῖο, πολλοῦ γὰρ τούτου γε δεῖς, ἀσπίδος κωφότερος πρὸς θείας τελῶν ἐπῳδὰς καὶ βασιλίσκου φρικτοῦ βλαπτικώτερος· ἀλλ' ὅπως τῷ συγγενεῖ φατριάζων κακῷ κοινωνοὺς ἔχῃς τῶν ἐπιρρήτων ὑμῖν, τῷ πλήθει οὐχὶ τῇ ἀληθείᾳ τοῦ πράγματος ἑδραζόμενος. ἐντεῦθεν οὐδὲν τῶν σωφρονούντων πραγματευόμενος ἀμαθέστατα μὲν τῶν θείων φέρῃ γραφῶν ἀσυνετώτατα δὲ 10 15 20 [81v] 25 30

2 Hom. Σ 554 || 5–7 1 Tim. 5, 21 || 15–16 ib. 5, 14 || 20–21 Luc. 14, 23 || 22 cf. Is. 11, 8 || 23–24 Ps. 90, 13 || 25 Ps. 57, 5–6

15 *χήρας* Kh: *χεῖρας* M || 20 *ἵκοιο* Kh: *ἥκοιο* M || 27 *ὑμῖν*] *ὑ-* ex *ἡ-* (?) M

τοῦ ἐν αὐταῖς θείου νοῦ ἐναποκεκρυμμένου, ἢ παντάπασι καὶ αὐτῶν τῶν ἐδαφίων ἀνήκοος, ἤ τινα τούτων ἔχων γνῶσιν, κατὰ τὸ ὁλοσχερέστερον μέντοι καὶ χυδαῖον καὶ οἷς οἱ φλυαρίαν συγκροτοῦντες μακρὰν ἐξυβρίζουσιν. οὐδὲ
5 *γὰρ ἐᾷ σε τούτοις προσανέχειν τὸν νοῦν τὸ περὶ τὰ μάταια καὶ ἀπηγορευμένα ἐπιμανὲς καὶ ἐπιμελές· καὶ ἀδιάφορος μέν, ἀλλ' ἀδιαφορώτερος ἑαυτοῦ, τὴν ἱερὰν τελετήν τε καὶ τάξιν μεταχειρίζῃ κατ' οὐδὲν τῶν ἀνοσίως τὰς κοσμικὰς ἀρχὰς διατιθεῖσιν τὰ ἱερὰ διοικούμενος.*

8 *τῶν*] leg. *τοῖς*?

15

Θωμᾷ πατρικίῳ περὶ ἡμῶν δῆθεν ἐπαποροῦντι, πῶς φημὶ κατὰ ἄγνοιαν τὰ πρὶν περὶ τῶν προκειμένων δόξαντα ποιῆσαι, ἄνθρωπος σοφὸς καὶ ἀρχιερεὺς ὤν

Miranti Thomae patricio, quomodo priorem suam severitatem ignorantiae imputare potuerit, respondet humanum esse id vitium et quo ne Dominus quidem caruerit; Meletium, Cyrillum, Anatolium, alios sententiam mutasse. se vero Basilii monitu usum, cum disiungere peccantes non contigisset, indulgere statuisse. si qui ob haec dicant se matrimoniorum nullum numerum finire, similes esse Iuliano et Porphyrio, qui evangelicae simplicitati suis captionibus illuserint. sibi quidem potius videri si quis vel quintam uxorem ducat quam si in fornicationem effusus intra paucos dies viginti excedat; hoc tamen non esse legem ferentis, sed indulgentis. istam enim asperitatem Novatianorum et Carpocratianorum propriam esse, se Chrysostomum sequi malle, qui paenitentiae nullum modum imponebat. quicumque prioribus suis rationibus adsensus has novas refellere non potest, ad has accedat. quattuor genera ignorantiae veteres sapientes percepisse, quarum utinam sua levissima sit.

Haud multo post m. Febr. a. 907 scriptam esse dixerim.

Λέγεις, περιφανέστατε, οὐκ ἐξ ἀγνοίας ἀναφρονή- σαντας ἡμᾶς μεταμαθεῖν τὰ νῦν πρεσβευόμενα. καίτοι τί τοσοῦτον εἰς ἀπορίαν, ἄνθρωπον ὄντα με καὶ φύσεως οὐ πάνυ γενναίας ἀγνοίᾳ περικατάληπτον ὀφθῆναι; ὁπότε καὶ ὁ θεάνθρωπος Ἰησοῦς τοῖς ἀνθρωπίνοις ἅπασι κοινωνῶν ἀγνοίας ἑαυτὸν ὑποτιμᾶσθαι οὐκ ἀπαναίνεται 5 … 10

9 – p. 179,2 Mt. 24, 36

πάθει ἐν οἷς ἀγνοεῖν ἑαυτὸν ὑποτίθεται τὴν τῆς συντελείας ἡμέραν, ἄλλοι τε θεῖοι καὶ θαυμαστοὶ ἄνδρες, οἳ καὶ μετεβάλοντο μὲν τῶν πρὶν διεσφαλμένων, τῶν δὲ μετὰ τοῦτο κρειττόνων ἀντεποιήσαντο, Μελέτιος ὁ μέγας, 5 Κύριλλος ὁ Ἱεροσολύμων, Ἀνατόλιος ὁ Βυζαντίου, ἄλλοι τε πλείονες· οἳ καὶ δόξαν αὐτὸ τὸ μεταβεβλῆσθαι ἐσχήκασιν, ἀλλ' οὐ τοῖς φιλαιτίοις παρέσχον καταδρομήν, ὃ πολλοὶ τῶν ἀμαθῶν τὰ νῦν πάσχουσιν, ἢ μὴ τῶν προτέρων κακῶς δοξάντων αὐτοὶ βουλόμενοι μετανίστασθαι, ἀλλὰ 10 τῇ ἅπαξ ἐναποθνήσκοντες ἀγνοίᾳ, κακῶς εἰδότες καὶ ἑαυτοῖς ὀλεθρίως, ἢ τοῖς μεταθεμένοις φθονερῶς ἐπιφέροντες αἰτίας. ἢ σὺ μὴ ἐβούλου τούτους μεταθεμένους ἑαυτοῖς σωτηρίως διαγενέσθαι, ὑπερηφάνῳ δὲ γνώμῃ τῶν πρὶν ἐχομένους πρὸς τὸ τοῦ διαβόλου ἐναποκαθῆσθαι 15 κρίμα, ἀνήλατον καθάπαξ ὡς ἄκμονα τὴν καρδίαν διατηροῦντας; Παῦλον γὰρ ἐῶ καὶ Κυπριανόν· εἰκὸς γάρ τινας καὶ ἀντιπεσεῖσθαι τῷ πρὸ τοῦ βαπτίσματος αὐτοῖς τὰ τῆς πλάνης καὶ τῆς ἀπάτης ὑπάρξαι.

Ἀλλ' ἐρομένῳ πάρεχε λόγον· πότερον ἐκεῖνα ὧν ἀντει- 20 χόμεθα πρώην ἐξείχετο | τῶν κρειττόνων, τὰ δὲ νῦν περὶ 82r ἐλάττονος ποιεῖται τὸ δίκαιον; καὶ μὴν εἰ τοῦτο, ἐλέγχειν παρόν, παύσει με κορύζης καὶ φιλαυτίας, κἀγὼ χάριν εἴσομαι τῷ παύσοντι τὴν μεγίστην καὶ εἰς ἀείμνηστον καταθῶμαι τὴν χάριν μηδὲν αἰσχυνθείς. οὐ γὰρ τὸ μετα- 25 τίθεσθαί τινος τῶν αἰσχρῶν, ἀλλὰ τὸ μεταθέμενον μεταγινώσκειν. ἐμοὶ δὲ οὐδὲ μεταθεμένῳ περιγίνεται μετανοεῖν, οὐ μᾶλλον ἢ τοῖς νενοσηκόσι τοῦ πάθους ῥαῖσαι. εἰ δὲ μὴ τοῦτο, μηδὲ τὸ κράτος τὰ τέως ἡμῖν ἀποφέρεται κεκομψευμένα, οὐκ ἔχω τι τούτου δραστικώτερον ἂν 30 εὑρεῖν οὐδὲ τὴν ὑπὲρ ἡμῶν ἀπολογίαν δικαιότερον ἐνσκευάσασθαι. ἐγράφετο δὲ ἐκεῖνα (δεῖ γὰρ εἰπεῖν τὸ ἐνόν) οὔπω τὰ νῦν ἡμῖν κατειληφόσιν, ἃ μόγις ὀψέ ποτε μα-

13–15 1 Tim. 3, 6 || **15** Iob 41, 16 || **16** Act. 9, 1–18

12 ἢ Wk: ἢ **M** || **23** leg. παύσαντι? || **29** τί **M** || **29–30** ἂν εὑρεῖν] fort. scr. ἀνευρεῖν

στεύοντες θεοῦ φιλανθρώποις ἀνεύρομεν ὑποθήκαις, αἳ τοῖς
ζητοῦσιν εὑρίσκειν ὑποτείνονται ἐλπίδας, φόβον ἐπισείοντα
καὶ ταύτῃ τὸν ἐπαΐοντα ἕλξειν ἀποπειρώμενα, ὅσπερ
σκοπὸς ἄριστος διδασκάλων.

Οὐδὲ γὰρ πάντῃ τὸ πρᾶγμα τῶν ἀκαταγνώστων 5
ποιούμεθα, πορνείας δὲ τὴν συνάφειαν μεσολαβούσης τὴν
πρὸς τὸν σύνδεσμον σπουδὴν ἀπεσπεύδομεν. οὕτω γὰρ
καὶ Βασιλείῳ γνώμη τῷ θειοτάτῳ· τί δαὶ οὗτος φησί;
'τοὺς κατὰ πορνείαν συναπτομένους εἰ δυνατὸν χωρί-
ζεσθαι, τοῦτο κράτιστον'. ἐπεὶ δὲ πᾶν τὸ παρ' ἡμῶν 10
προαγόμενον ἡττᾶτο τῆς προλήψεως τοῦ νουθετουμένου
καὶ μᾶλλον στραγότερος οὗτος ἀπὸ τῶν νουθετημάτων
κατελαμβάνετο, κύβος ἡμῖν ἀνερριπτεῖτο τὸ ἀπὸ τοῦδε,
οὐ μέντοι καὶ καθ' ἡμῶν τὸ κεκινδυνευμένον ἀποφερό-
μενος, ἀλλ' ὃ τοῦ λοιποῦ τῆς τοῦ προειρημένου Βασιλείου 15
ἱερᾶς εἵλομεν θεσμοθεσίας, τούτῳ τὸν κύβον ἀνερριπτοῦ-
μεν· τοὺς ἐκ παντὸς γὰρ τῶν τοιούτων τὸ συνοικέσιον
στέργοντας τὸ ἐπὶ τῇ πορνείᾳ ἐπιτίμιον ἐγνωκότας
ἀφίεσθαί φησι μειζόνων ἕνεκεν ὀλισθημάτων ** τὸ
ἔλαττον προὐργιαίτερον ἄγοντος, διὸ καὶ Παῦλος τὸ 20
'ἕκαστος' παρατίθεται 'καὶ ἑκάστη', ὡς ἐπὶ τὸ ἄμε-
τρον ἐκχέοντος τοῦ ταῦτα προτείνοντος τὰ τῶν γάμων,
τοῦτο μὲν οὐκέτι εὐγνώμονος ἴσμεν ἀκροατοῦ, σοφιστικῇ
δὲ μανίᾳ τοῖς ἀνεπηρεάστοις ἐπηρεάζοντος καὶ ἀνθολκῇ
μηδὲν σῶφρον ἐχούσῃ τὰ μετὰ τῆς ἐπαινουμένης ἁπλό- 25
τητος διαστρέφοντος, ὥσπερ ἐτόλμα καὶ Ἰουλιανὸς καὶ
Πορφύριος. οἶσθα τίνας φημὶ τούτους, οἳ κατὰ τῆς
ἁπλότητος τοῦ εὐαγγελίου λυσσῶντες διασύρειν καὶ ἄλλα
μέν τινα ἠϋθαδίσαντο, μάλιστα δὲ τῷ 'πώλησόν σου
τὰ ὑπάρχοντα' μυρίαν ὡς ἐνόμισαν προσένειμαν τὴν κατ- 30

1 mg. '*ζητεῖτε καὶ εὑρήσετε*'.

1–2 Mt. 7, 7 || **8–21** Bas. Ep. 199, can. 26, PG 32, 724 B 14–C 4 || **13** CPG I 383; II 144 || **20–21** 1 Cor. 7, 2 || **29** – p. 181, 2 Iulian. contra Christ. p. 237 N.

8 *γνώμη* Wk: *-ῃ* M || **16** *εἵλομεν*] leg. *εἴχομεν*? || **19** lac. statuit Wk; suppl. fere ⟨*τὸ τοίνυν κατηγορεῖν τοῦ*⟩

αισχύνην, ʽεἰ πάντες᾽ φήσαντες ʽπωλήσωσι, τίς ἔσται ὁ ἀγοράζων;᾽ ἀλλὰ τὰ μὲν εἰς τὸν αἰῶνα μένει ἀνεπηρέαστα καὶ διαμενεῖ, οἱ δὲ καπνοῦ δίκην ἐξέλιπον. ὡσαύτως οἶμαι καὶ ἐπὶ τοῦ παρόντος οἱ ἀδεῶς τοῖς ἑαυτῶν κατα-
5 χρᾶσθαι βουλόμενοι ἐπιθυμίαις καὶ μὴ μιᾷ πεπαρρησιασμένῃ γυναικὶ τὸ ἀκρατὲς τῆς ὁρμῆς περισφίγγειν σωφρονικῇ δῆθεν | αἰτίᾳ τὸ ἄφετον ἑαυτοῖς περιποιοῦνται 82ᵛ τῆς ἀσελγείας. οὓς ἀντερήσομαι, ʽεἰ μὴ σωφρονεῖν ἕλοιτο ὁ τὴν νομίμην ἀποβαλών, χαρίζεσθαι δὲ ταῖς
10 ἑαυτοῦ ἀφροδισίοις ὁρμαῖς, τί σοι δοκεῖ βέλτιον; ἆρά γε μιᾷ κατάγχειν τὴν ἀκρασίαν, κἂν ἐπὶ πέμπτον ἢ καὶ περαιτέρω δυστυχεῖ τὰ τοῦ γάμου, ἢ ἐν ἡμέραις ὀλίγαις καὶ τὸν εἰκοστὸν ὑπερβαλεῖν ἀριθμὸν πορνικῶς ἀπολλύμενον;᾽ ἐγὼ μὲν οἶμαι, ὡς ἐν κακοῖς τὸ κουφότερον αἱρεῖσθαι. καὶ
15 οὐ νομοθετοῦντες ταῦτα φαμέν (τίς γὰρ ἂν ἄξιον ἐμὲ θῆται τὸν ἅπαντα τοῦ κυρίου λαὸν ἁγνεύοντα κατιδεῖν, μηδὲ τῷ πρώτῳ γάμῳ ἐνασχολούμενον;) συμβαίνουσι δὲ τὴν θεραπείαν ἐκ τῶν ἐνόντων περισκοπῶν καὶ ταῦτα λέγειν προάγομαι.

20 Ἐπεὶ εἰ διασύρεις τὸ ʽἕκαστος καὶ ἑκάστη᾽ διὰ τὴν σεσοφισμένην σοι ἀμετρίαν, ὥρα σοὶ καὶ Ναυατιανοὺς μὲν ἀποδέχεσθαι, οἳ τοῖς μετὰ τὸ βάπτισμα ἅπαξ ἡμαρτηκόσι τὸ ἀσύγγνωστον νέμουσι, καὶ Καρποκρατιανοὺς ἑνὶ γάμῳ τοὺς ἀνθρώπους κατείργοντας, τῇ ἀκριβείᾳ δῆθεν
25 τοῦ βίου τὸ ἀναμάρτητον περιποιουμένους· τὸν δὲ τῆς μετανοίας διδάσκαλον καὶ μετά γε θεὸν εἰσηγητὴν Ἰωάννην, ᾧ τὸ χρυσοῦν εἰς ἐπώνυμον, μυρίαις βλασφημίαις καθυποβάλλειν, ὃς τῷ φιλανθρώπῳ τούτῳ λόγῳ τῷ ʽὁσάκις πέσῃς, ἔγειραι καὶ σωθήσῃ᾽ πολλοῖς ἔδοξε
30 τῶν τότε Ναυατιανῶν παράκλησιν ἀνθρώποις γράφειν εἰς ἁμαρτίαν τῷ ἀνενδότῳ δήπου τῆς συγχωρήσεως ἐπὶ τὸ ἀνενδότως ἁμαρτάνειν προτρέπων. οὐ μέντοι καὶ οὕτως

2 Is. 40, 8 || 3 Ps. 67, 3 || 25–32 cf. Socr. Hist. eccl. 6, 21; Chrys. de poenit. hom. 8, 1, PG 49, 337, 16–17

32 τὸ Wk: τῷ M

εἶχε, τῇ τοῦ θεοῦ δὲ πολυποικίλῳ σοφίᾳ τὸ πρόσφορον διοικούμενος ἑκάστῳ πᾶσι τὴν σωτηρίαν εὐηγγελίζετο, τοῖς σωφρονοῦσι τὰ γέρα νέμων τῆς σωφροσύνης, τοῖς ἀμελέστερον διαζῶσι τὴν διὰ μετανοίας συγγνώμην ἐπαγγελλόμενος καὶ τὸ εὐέμπτωτον τῆς γνώμης τῷ 5 *φιλοικτίρμονι τρόπῳ ἐπανορθούμενος. οὔκουν ἐπίψογος διὰ ταῦτα, ἐπεὶ μηδὲ ἰατρὸς ἐπαγγελλόμενος πάντα θεραπεύειν νοσήματα τοῖς καταλλήλοις ἐμπλάστροις ἤδη καὶ πάντας νοσεῖν ἀνθρώπους ὑποπτευθείη προτρέπεσθαι· ὡσαύτως δὲ καὶ ἡμεῖς τῆς ὁπωσοῦν ἀντεχόμενοι σωφρο-* 10 *σύνης ἐκτρέχομεν τὰς τῶν φιλαιτίων λαβάς.*

Ἀλλὰ τὰ μὲν ἐπεισόδιον ἄλλως καὶ πέρα τῶν προτεθέντων, πλὴν μετὰ τούτων ἔχεις κἀκείνων ὧν ἐπιμέμφῃ μοι τὸν ἀπολογισμόν. εἰ μὲν οἷός τε ἦσθα, μετάβαλλε τοῖς κρείττοσι λογισμοῖς, τὸν φίλον ἐπ᾽ αὐτῶν ἐπιδεικνύμενος 15 *τῶν πραγμάτων καὶ τοσαῦτα προνοούμενος τοῖς φιλουμένοις ὅσα καὶ ἑαυτῷ. εἰ δὲ μὴ τοῦτο, ἀλλ᾽ ἔτι φιλονείκως ἐνίστασθε, ἀπὸ τῆς ἡμετέρας φάσκοντες γνώμης τηνικαῦτα κρείττω μαθεῖν, οἷς καὶ στέργειν εἰς τόδε ἀπὸ κρείττονος κεχορηγημένοις, ἁπλοῦς ὁ λόγος. τί γὰρ εἰς* 20 *ἐμπόδιον ὑμῖν ἀντικαθιστάμενον, μὴ σχόντας ἐλέγχειν τὰ* 83r *μετὰ χεῖρας | ὡς ἐπὶ τὸ φαυλότερον προβεβηκότα καὶ αὖθις τῷ κρείττονι γνώμην ἀκολουθεῖν, ἀλλὰ μὴ ματαίῳ προλήψει βιάζεσθαι τὸ ἀβίαστον; ἢ ὅ τισι μὴ κατὰ γνώμην, τοῦτο καὶ ἀνεύθετον κρίνεται; τῆς ἀβελτερίας.* 25 *διὸ δὴ φυλάσσου μή σε τὸ μάτην τῆς μέμψεως τῶν φιλουμένων ἐπὶ τὸ μεμψίμοιρον ἀποπέμψεται καὶ φιλαίτιον. ἐῶ γὰρ λέγειν πρὸς Ἰουδαίους, οἳ μὴ δυνάμενοι τῇ διὰ Παύλου κηρυσσομένῃ ἀπομάχεσθαι ἀληθείᾳ Παύλῳ μόνῳ ἐπέφερον τὴν αἰτίαν ὡς ἐναντίως τοῖς πρὶν πρεσ-* 30 *βευομένοις αὐτῷ τῷ κατὰ Χριστὸν πολιτευομένῳ κηρύγματι καὶ τελευτῶντες συνωμοσίαν συνίστασαν, μὴ πρὶν ἄρτου μεταλαβεῖν μέχρις ἂν τὸ Παύλου ἐκχέωσιν αἷμα, εἰ*

28 — p. 183, 2 Act. 23, 12–35

10 *τῆς* Wk: *τοῖς* M

καὶ διαμαρτεῖν τῆς μιαιφόνου γνώμης θεόθεν τούτοις ἀπήντησεν.

Καὶ ἡ μὲν ἡμετέρα ἄγνοια τοιαύτη τε καὶ τοσαύτη. εἰ δέ τι δεῖ καὶ τοῖς περὶ ταῦτα δεινοῖς ἀποχρώμενον τὸν ἀπό-
5 *λογον διαπλέκειν, οὕτω προαγάγωμεν τὸν λόγον. τετραχῇ τῆς ἀγνοίας παρὰ τοῖς ταῦτα φιλοσοφοῦσι φημιζομένης, καὶ τῆς μὲν πρώτης συγγνώμης ἀξιουμένης ἅτε τὸ ἑαυτῆς ἥττημα ἐπιγινωσκούσης, ἐπεὶ καὶ οἷα τε τυχεῖν αὕτη βοηθείας τοῦ ἐπανάγοντος εὐμοιρήσασα· τῆς δὲ*
10 *δευτέρας πρὸς οἷς τὸ ἀγνοεῖν ἐπιφέρεται ἔτι καὶ τοῦ ἡττήματος αὐτῆς ἀνεπαισθήτως ἐχούσης, καθὸ καὶ τὸ πρὸς τὴν θεραπείαν ἀπηλγηκέναι ταύτῃ συμβαίνει· καὶ τρίτης πάλιν λεγομένης ἀγνοίας τῆς ἀγνοούσης μὲν τὸ δέον, οἰήσει δὲ τὴν ἄγνοιαν ἐπὶ τὸ εἰδέναι ἀλαζονικῶς*
15 *ἐξαμειβούσης· οὔσης δὲ καὶ τετάρτης ἀγνοίας, ἣ καὶ ἀγνοοῦσα καὶ τὴν ἄγνοιαν εἰδυῖα ὅμως σοφιστικῇ ἐμπληξίᾳ τὸ οἴεσθαι εἰδέναι οὐδ' ὅλως ἀπέγνωκεν· τῆς πρώτης μὲν εἶναί με οὐκ ἂν ἀπευξαίμην, ὅτι καὶ εὐϊατότερον ἔχειν βουλοίμην, ἐλέει κυρίου ζητῶν τε καὶ ἀνευρίσκων λόγον*
20 *ὅς με τοῖς σωφρονοῦσι συντάττοι· τῶν δ' ἄλλων εἴησαν οὗτοι οἳ μήτε τῆς ἑαυτῶν συνιᾶσιν ἀμαθίας, οἱ μὲν καὶ πάντῃ, οἱ δὲ τῇ οἰήσει ἐξαχρειούμενοι, μήτ' αὖ συνιέντες οὐκ ἀπαγορεύουσι τὸ ἐπίστασθαι, οἷς ἥ τε συγγνώμη πρὸς τὸ ἀπροσπαθέστερον ἀπονένευκε καὶ τὸ πρὸς διόρθωσιν*
25 *ἀποκλίνειν οὔποτε φροντισθείη ψυχῆς ἀμαθίᾳ καὶ τρόπων κατακρατουμένοις σκαιότητι.*

Ταῦτα, περίβλεπτε, ἡμεῖς, πειθόμενοι τούτῳ ὃς μὴ ὀλιγώρως ἔχειν φίλου αἰτιωμένου παρεγγυᾷ, κἂν εἰ τύχοι ἀλογίστως αἰτιώμενος οὗτος. εἰ γὰρ μὴ τοῦτο, τί
30 *τὸ κωλῦον καὶ νῦν κωφεύειν, καὶ μάλιστα πρὸς ἐκείνους οἳ πρωτοπαθείαις δουλεύοντες οὐδὲν ἐπίστανται βελτιοῦσθαι, κἂν εἰ θεὸς αὐτοῖς ἐμβοᾷ καὶ ἡλίου φανότερον αἱ ἀποδείξεις προβαίνοιεν;*

5—17 Proleg. philos. Plat. 16, 19–27 || **27—29** Prov. 25, 8–10?

6 *τοῖς* Wk: *τῆς* **M** || **15** *μεταμειβούσης* (*ἐξ* supra lin.), *μετ-* ind., **M**

16

Ἀρέθᾳ ἀρχιεπισκόπῳ Θωμᾶς πατρίκιος

Rescribit Thomas se de tali re cum optimo amico rixari nolle; quae dixerit, ex persona adversariorum Arethae dixisse. utrum Arethas mentem mutaverit necne, se minime curare, qui Dei beneficio huius sacri certaminis non particeps sed spectator sit.

Ὡς εἰς ἀγῶνας ἔοικας, ὦ σεβασμία μοι κεφαλή, προκαλεῖσθαι ἡμᾶς παντοδαπὰς τῶν πάλαι δεδογμένων ὑμῖν καὶ νῦν ὑπέχων ἀπολογίας. ἡμῖν δὲ οὐ σχολὴ περὶ τοιούτων ἀμφισβητεῖν πρός γε φίλους οὕτω γνησίους ὄντας ὑμᾶς καὶ 5
83ᵛ *τῶν ἄκρων | τῆς διὰ λόγων παιδεύσεως ἐπειλημμένους. οὕτω γὰρ ἂν καὶ δόξαν ἐκφύγοιμεν μᾶλλον ἐχεμυθοῦντες ὑποσχεῖν μεμψιμοίρων καὶ τῶν ἄλλων ὧν ὑπέκρουε τὸ ὑμέτερον γράμμα. διά τοι ταῦτα πρὸς τὴν ὑπόθεσιν ἐφέξειν τὸν λόγον διέγνωμεν, δεσμοῖς δὲ σιδηροῖς, τὸ λεγόμενον, καὶ* 10
ἀδαμαντίνοις ἐχόμενοι προαιρέσεως εὐτυχοῦς τὴν πρὸς ὑμᾶς καὶ αἰδῶ καὶ φιλίαν, ἀφ' ὅτου δὴ τὸ ταύτης ἐν ἡμῖν προῆλθε καὶ πρᾶγμα καὶ ὄνομα, διαιωνίζειν σπουδάζομεν. εἰ δέ τι πρὸς τὸν καλὸν καὶ ἀγαθὸν ἐρρήθη πρὸς ἡμῶν ἀδελφόν, οὐκ εἴσπραξις ἦν τοῦ λαβεῖν παρ' ὑμῶν τῆς μετα- 15
βολῆς ἡμᾶς ἀπολογισμόν, λόγος δὲ τῶν ἀντιδόξων ὑμῶν, πρὸς οὓς ἀφ' ἡμῶν στρέψαι τὴν ἀπολογίαν, εἰ βούλει, πειράθητι. ἡμῖν δ' ὡς ἂν ἔχῃ τὸ πρᾶγμα καὶ εἰ πρὸς τὸ οὕτως ἢ ἑτέρως μεταβολή, περὶ τῶνδε λόγος οὐδείς, εὐμενείᾳ θεοῦ τῆς ἱερᾶς ἁμίλλης οὐκ εἰς ἀγωνιστάς, ἀλλ' 20

10–11 cf. Plat. Gorg. 509a 1–2

9 *ἐφέξειν*] *ἐ-* ex *ὑ-* **M** ‖ **15** *εἴσπραξις* Wk: *εἰς πράξεις* **M**

ἐκ μακροῦ διαστήματος εἰς θεωροὺς τεταγμένους. εἴη δὲ ταύτην, ὦ κύριε καὶ τῆς εἰρήνης θεέ, πρὸς πέρας δεξιὸν ἀπολῆξαι καὶ ᾗ σοι φίλον ἐστί. ἐρρωμένος μοι εἰς ἀεὶ τὰ πάντα διατελοίης, τῆς ἡμετέρας τῶν σῶν φίλων καὶ τέκνων
5 *μεμνημένος ἀγάπης.*

1 *τεταγμένους*] fort. -*οις*

17

Πρὸς τοὺς εἰς ἀσάφειαν ἡμᾶς ἐπισκώψαντας, ἐν ᾧ καὶ τίς ἡ ἰδέα οὗ μέτιμεν λόγου

Amico qui se pridie inviserat et suum quendam libellum sibi reddens dixerat quosdam obscuritatem in eo reprehendere respondet nec patrum nec veterum scripta cuivis perspicua esse; deinde quae virtutes suo generi dicendi propriae sint ordine exponit.

Τῇ προτεραίᾳ περὶ βουλυτόν, ὃ δή φασιν, ἤδη ἐπιδημήσας καὶ τὸν λογικὸν ἡμῖν τόκον ἀποδιδοὺς ἔφασκες εἶναί τινας οἳ τοὺς μετὰ χεῖρα λόγους εἰς ἀσάφειαν ἐπικερτομοῦσιν, ἴσως μηδὲ τί ἀσάφεια, μηδ᾽ ὅτε, μὴ πρὸς τίνας ταύτης καιρός, εἰς τὴν παροῦσαν ἐπεγνωκότες. ἀλλ᾽ εἰ μὲν τῶν τεχνικῶν οὗτοι, τῆς παλαιᾶς φημὶ μούσης, καὶ περὶ λόγους λελεσχηνευμένων, διορθοίμην ἂν μᾶλλον ἢ αἰσχυνοίμην (εἰς τί γάρ μοι μὴ καὶ τὸ αἶσχος ἀποκαθήρασθαι; ἐπεὶ καὶ τὴν σοφίαν, εἴ τι Φωκυλίδῃ πιστέον, σοφὸς εὐθύνει, τέχνας δ᾽ ὁμότεχνος)· ἐμοὶ δὲ οὐκ ἄν τις ὀνόσαιτο ἀνὴρ οὐδ᾽ ἔργον ἀτιμήσειε λόγων, ᾧ μούσης ἐμέλησε καὶ πλέον οἴνου τὸ ἐπιλύχνιον ἔλαιον ἀνασεσίμωται· εἰ δέ τις ἐκείνων οἳ περὶ τὰ σέλγη μεμορήκασι τῶν λόγων, ῥυπῶντες καὶ λόγον καὶ γνώμην, οὐ φροντίς, τὸ παροιμιαζόμενον, Ἱπποκλείδῃ. τίνα γὰρ οὗτοι καὶ ἐπαινοῖεν, εἰ μὴ τὸν καθ᾽ ἑαυτούς;

3 Lucian. Catapl. 1; Philostr. Imag. 2, 24 || **11–12** Carm. Phocyl. 88 || **12–13** Hom. Δ 539; Ζ 521–522 || **16–17** CPG I 132; II 594

17 Compernass[3] 183–188; Kougeas 139–143 || **6** *μηδὲ τί* Cs: *μηδέ τι* **M** || **13** *μούσης* Heisenberg: *-αις* **M** || **15** *σέλγη*] i. q. *γέλγη*, cf. schol. Luc. 192, 16 Rabe

Ἀλλὰ τοὺς θείους προβαλοῦνται πατέρας ὁμαλὴν παρεχομένους τὴν οἶμον τοῦ λόγου καὶ πᾶσιν εὐπρόσιτον. εἰ μὲν τὴν πρὸς βελτίωσιν τῶν ἠθῶν ἀφορῶσαν, λέγουσι μέν τι κἀγὼ δέχομαι, ἐπεὶ καὶ αὐτὸς οἶδα τοιούτοις χρησάμενος.
5 *καίτοι κἂν τούτοις ἐστὶν ἰδεῖν τὴν θείαν Γρηγόριον σάλπιγγα τῷ περινενοημένῳ καὶ δυσεφίκτῳ τῶν λόγων καλλωπιζόμενον, ὡς ἔν τε πολλοῖς πεποίηκεν ἄλλοις, οὐχ ἥκιστα δὲ κἂν τῷ εἰς τὰ ἐγκαίνια ἠθικῷ ἄφατον ὅσην καὶ τοῖς νωθεστέροις ἀπεγνωσμένην τὴν ἀσάφειαν ἐγκατα-*
10 *σπείρας τῇ συντομίᾳ τε καὶ γοργότητι, ταχίστας ὅτι μάλιστα τὰς ἀποδόσεις ποιούμενος καὶ τὸ σαφὲς τῶν ἐννοιῶν ἐπηλυγαζόμενος. ἀλλ᾽ οὐ δήπου | μεμπτέος, εἰ μὴ καὶ* 84r *περισπούδαστος μάλα τοῖς γνησίως φιλολογοῦσιν, οἳ βούλοιντ᾽ ἂν συγγενῶς ἔχοντες πρὸς τὸν λόγον τῷ συν-*
15 *εστραμμένῳ τε μᾶλλον καὶ κεκρυμμένῳ προσλιπαρεῖν τε καὶ ἐνευδοκιμεῖν ἢ τῷ ὑπτίῳ καὶ ἀναβεβλημένῳ προσομιλοῦντες τὸν μὲν νοῦν ῥαστωνεύειν, ἀναπεπτάσθαι δὲ τὴν διάνοιαν οὐδὲν ἢ μικρὸν ἔχοντες ἐκ τούτου τῶν ἐπεράστων καρπώσασθαι, τῷ δὲ ἀμόχθῳ τε καὶ ἀφερεπόνῳ τῆς*
20 *κτήσεως καὶ τοῦ κτηθέντος κινδυνεύοντας κατολιγωρεῖν, ὥς γε τοῖς τοιούτοις φιλεῖ παρυφίστασθαι. οὕτω μὲν οὖν ἔχω καὶ περὶ τούτων γινώσκειν, εἰ καὶ πρὸς ταῦτα οἱ πρὸς τὸ ὕπαιθρον τῆς ἀμαθείας ἀποδιδράσκοντες χαλεπανοῦσι τῷ διελέγχοντι. εἰ δὲ τοὺς ἐναγωνίους προάγοιεν τῶν λόγων,*
25 *πρῶτον μὲν πῶς τοῦτο τολμήσειαν, ὧν κάμνομεν μάλιστα καὶ οὐδὲ τῷ τυχόντι οὐχ ἧττον τῇ λέξει ἢ τῶν ἐννοιῶν τῇ βαθύτητι ἀσχολούμενοι; εἰ δὲ δεῖ φιλαληθέστερον φθέγξασθαι, ποθοῦσι καὶ οὗτοι, ὥς ἐστιν ἐπακοῦσαι πάλιν τοῦ θείου τὸν λόγον ἀνδρός, τὴν Θουκυδίδου γλῶσσαν καὶ τὴν Ἡρο-*
30 *δότου σχολὴν τοῖς ἑαυτῶν ἐναρμόσασθαι λόγοις, οἵτινες ἄνδρες τῶν παρ᾽ Ἕλλησι δεινότατοι χρήσασθαι τῇ τε κατὰ λέξιν τῇ τε κατ᾽ ἔννοιαν συστροφῇ καὶ πολλὰ παρέχουσι πράγματα μέχρι τοῦ δεῦρο τοῖς φιλοπονώτερον αὐτοῖς*

5–12 Greg. Naz. Or. 44 || **10–12** Hermog. 303, 4–5 Rabe || **16** ib. 397, 23–24 || **28–30** Greg. Naz. Or. 4, 92, PG 35, 624B 1–2

ἐντυγχάνουσιν. οὐκ ἂν γὰρ ἕλοις αὐτόθεν τὸ τούτοις προχειρισθέν, μὴ πρότερον ἀμυθήτους στροφὰς περιενεχθεὶς καὶ μεγάλα τῇ ἀπορίᾳ μεμψάμενος. οὔκουν ἀδόκιμον οὐδὲ τοῖς θείοις πατράσι τὸ τοῦ λόγου συνεστραμμένον τε καὶ στριφνὸν καὶ πρὸς σεμνότητα διαιρόμενον. 5

Ἀλλ' ἵνα σοι καὶ τὸ ἀπόρρητον ἐξείπω τῆς τῶν ἡμετέρων χρήσεως λόγων, οὐκ ἀδόκιμον μὲν οὐδὲ τῶν ἀτέχνων καὶ ἄλλως ἐπιτετηδευμένων· ἢ διελέγχοντες κατακρατείτωσαν ὡς ἀτέχνων, βάσανον ταύτην τοῖς νῦν ἐθελοσόφοις προβάλλομαι· ἐπεί τοί γε ἄλλως, ὅτι μηδέν ἐστι 10 τοῖς ἐμοῖς ἐκμαστεύοντας ἀνευρίσκειν ὧν ἀπέοικε τοῖς καλοῖς καὶ γενναίοις τῶν λόγων παρομαρτεῖν, εἰ μή που τοῖς πρὸς αὐτοὺς ταὐτὸν ταῖς νυκτερίσιν ἢ νυκτικόραξι πρὸς τὸν ἡλιακὸν πάσχουσι δίσκον, σαφέστατον τοῦτο τοῖς καὶ κατὰ μικρὸν συνέσεως δεδραγμένοις καὶ ἀναμφίλεκτον. 15 τί γὰρ οὐκ ἔνεστιν αὐτοῖς κατιδεῖν τῶν ὅσα λόγος σοφὸς ὡραΐζεται πομπικὴν ἀποστέλλων τὴν αἴγλην τοῖς ἐντυγχάνουσιν; οὐ τὸ τοῖς εἴδεσιν ἑκάστοις προσφόρως ἐναρμοζόμενον ἦθος; οὐ τὸ τοῖς μέρεσι καταλλήλως ἐπινεμόμενον κάλλος; οὐχ ὅ τι ἄν τις ἐπινοήσειε τῶν πρὸς ἀρετὴν 20 τεχνικῆς προφορᾶς ἐξασκούμενον;

Ἐνταῦθα ἔνι θεᾶσθαι λόγον κατὰ τῶν ἀντιπάλων ἐφορμᾶν κεκρικότα τῷ μεγαλοπρεπεῖ μὲν τῆς ἰσχύος καλῶς τὰ πρὸς μάχην συσκευαζόμενον, τῷ δὲ κομπωδεστέρῳ τῆς πλάσεως ἐπὶ σεμνότητα διαιρόμενον, καὶ ἵν' 25 ἐπιφαίνῃ τὸ τῶν ἐννοιῶν ἐνεργὸν καὶ δραστήριον, τὸ μὲν συγκεχυμένον δοκοῦν τῇ εἰς ἀεὶ ἐπαναλήψει διευκρινούμενον εἰς ἑαυτοῦ τάξιν παραλαμβάνοντα, τὸ περιβεβλημένον δὲ καὶ μεστόν, ὃ τὴν γονιμότητα καὶ ῥώμην τοῦ ἑλομένου τὴν μάχην παραδηλοῖ, εὐθήκτως ἄγαν θωρακι- 30 ζόμενον. ὑφ' ὃ πολλαὶ μὲν ἀνίσχυροι φωρῶνται τῶν δῆθεν 84v φοβερῶν ὑπαντήσεις, μυρίαι δὲ προαναι|ροῦνται τῶν

12–14 Aristot. Met. α 1, 993 b 9–10 || 18–19 Hermog. 320, 20 u. ad 25 || 19–20 ib. 296, 24–297, 9 || 26–28 ib. 239, 14–20 || 28–31 ib. 291, 11–16

5 διαιρόμενον] διαιρούμενον M, mg. διαιρό ἴσ. || 32 προαναιροῦνται] προ- dub. (vix παρ-) M

ἐπιβουλευόντων προφάσεις ταῖς διαλεκτικαῖς ἄρκυσι καὶ τῷ ἀδιαδράστῳ τῶν ἐνθυμημάτων ὁπλισμῷ περιπίπτουσαι. τί δ' ἂν εἴποις σφοδρότητα συμμαχουμένην τραχύτητι ἐνορῶν καὶ τὴν ἀφ' ἑαυτῶν τῷ ἀγῶνι ῥοπὴν
5 παρεχομένων, εἰκῇ παρερριμμένου τοῦ πεφυκότος λεαίνειν καὶ οὐδὲ ὅσον εἰς χρείαν προσποιουμένου; ἐπεί τοι καὶ σκολιὰς ὁδοὺς παρὰ τοὺς σκολιοὺς τὸ ἱερόν φησι γράμμα πρὸς τοῦ θεοῦ ἀποστέλλεσθαι, οἷς ἄμφω νοῦς τε κατασείεται ἀλαζὼν καὶ Ἀσσύριος καὶ πτέρναις ὑποκλάζει τῶν
10 ἀντιτεταγμένων καλῶς ἐκεῖ συμπατούμενος καὶ εἴ τι πᾶν ἄλλο κατὰ τῆς τοῦ θεοῦ γνώσεως ἐπαιρόμενον ὕψωμα ῥᾳδίως πρὸς τἀναντία μεταχωροῦν συντρίβεταί τε καὶ καταβάλλεται.

Ἐνταῦθα πάλιν λόγος τὴν μάχαιραν ἀπαρνησάμενος
15 καὶ τὰ τῆς εἰρήνης ἀνθηρημένος ἐπέραστα, ʻ ἡδὺ κατὰ τῆς καρδίας ὡς ἀστρατίας πνέων καὶ μύρου', εἴ τί με δεῖ τῶν τῆς Εἰρήνης Ἀριστοφάνους ἐκμάξασθαι, πῇ μὲν ἐπὶ συμβάσεις παρακαλεῖ καὶ τούτου τυχεῖν οὐκ ἀπέγνωκε τῷ γλαφυρῷ τῶν διανοημάτων καὶ πιθανῷ ἕλξειν ἐλπίσας
20 τὸν ἐπᾳδόμενον, πῇ δὲ ταῖς πανηγύρεσιν ἐμφιλοχωρῶν καὶ ταύταις τὸ ἐνδέον ἀναπληρῶν δαψιλέστερον ἀπέρχεται κορέσας τοὺς θιασώτας ταῖς χάρισι. πᾶν γὰρ ὃ λόγων οἶδεν ἀφροδίτην ἐπάγεσθαι, τοῦτο σαφῶς ἐπισύρεται· λέξιν ἀμφιλαφῆ τε καὶ ἀνθηρὰν καὶ ᾗπερ ἥ τε σκηνὴ ἐνηβρύνατο
25 καὶ πᾶς ᾧ μέλον τοῦ διεσμιλευμένου ἐνηγλαΐσατο· παροιμίαις καὶ ἀπομνημονεύμασι, προσέτι καὶ παρῳδίαις τε καὶ κολλήσεσιν ὥς τισι ψήφοις πολυτελέσι κατέστικται· Γοργιείων σκιρτημάτων οὐκ ἐπιλέλησται· σκώμμασι καὶ διασυρμοῖς παιδευτικῶς ἄγαν προσκέχρηται, τὰ μὲν
30 δοκοῦντα σπουδαῖα παίζειν κατεπειγόμενος, τὰ δὲ γελοῖα τοῖς ἀσυνέτοις σπουδαῖα δεικνύναι φιλοτιμούμενος, ὡς

3–4 ib. 257, 18–20 || **6–8** Prov. 21, 8 || **8–9** cf. Is. 10, 12 || **10–13** 2 Cor. 10, 4–5 || **15–17** Aristoph. Pac. 525–526 || **23–24** Hermog. 23, 12–13 || **26–27** ib. 447, 4–448, 2 || **29–31** Aristot. Rhet. III 18, 1419b 3–4

5 *παρεχομένων*] *-ας* ci. Kurtz || **28** *Γοργιείων* Cs: *γοργίων* M

μᾶλλον μὲν τοῦ σπουδαίου τὸ γελοῖον φιλεῖν, μᾶλλον δὲ τὸ
περὶ τὸ γελοῖον σπουδαῖον θαυμάζοντας ἀποδέχεσθαι·
ἀστειολογίαις δὲ κατὰ τὸ εὐτράπελον, οὐδ᾽ ὅλως ἀγριότη-
τος αὐτῷ παρεμφαινομένης, μάλα σεμνῶς ἀγαλλόμενος·
ἐπαίνων ἀνεπαχθῶν οὐκ ἠμοίρησεν· ἐποικτίσασθαι καὶ 5
παθήνασθαι μετὰ τοῦ μετρίου μηδὲν ἐπισημαίνων συγκε-
χυμένον τῷ συντηρεῖν τὴν τοῦ ἤθους εὐστάθειαν· πάσης τῆς
διὰ τῶν λόγων πλοκῆς ἐπιτευκτικώτερος· ἐννοίαις κατα-
πλουτεῖ ταῖς ἀνηκούσαις τοῖς ὑποβεβλημένοις· μεθόδοις
ταῖς ἄρτι κατεπειγούσαις ποικίλλεται· σχημάτων οὐκ 10
ἀστοχεῖ, ἃ τῷ λόγῳ περιποιεῖ τὴν ἁβρότητα· λέξει κυρίᾳ,
οὐκ ἐπεισάκτῳ οὐδὲ ξενίας ἁλισκομένῃ τό τε τοῦ λόγου
ἀληθινὸν ἐγκολπίζεται καὶ τῷ τοῖς πολλοῖς ἀγνοουμένῳ
ἐξαίρεταί τε καὶ διανθίζεται, οὔτε τῷ παρασήμῳ τε καὶ
χυδαίῳ βαρβαρικῇ ταπεινώσει εὐτελιζόμενος, οὐ τῷ πρὸς 15
γλώσσας ἀναχωροῦντι τοῖς ἄγαν μόνοις σοφοῖς ἐμφανίζεται,
ἀλλ᾽ ἔχει τοῦτο ἠρέμα κοινόν τε καὶ ἴδιον· καὶ κώλοις αὖθις
85ʳ οἷς ὁ καιρὸς σχεδιάζει διήρ|θρωται· συνθήκῃ εὐαφεῖ τε καὶ
προσηγόρῳ· πρὸς τούτοις καὶ ἀναπαύσει συστοίχῳ κατὰ
τοσοῦτον ἐξακριβούμενος ὡς τόν γε τούτων ἀποτίκτεσθαι 20
ῥυθμὸν πεφυκότα μὴ ἂν ἄλλο τι δοκεῖν ἢ ἐναρμόνιον μέλος
καὶ λέξεως εἰς μέτρον ἐντεταμένης ἀπήχησιν.

Τοσούτοις καὶ τοιούτοις ὁ λογικὸς ἡμῶν τόκος εἰς
κάλλος ἀπεξεσμένος οὐδὲν ποικίλον εἰ τοῖς ἀνηκόοις τῶν
καλλίστων τουτωνὶ θεαμάτων εἰς χλεύην τε καὶ διασυρμὸν 25
τέθειται, ταὐτόν τι τῷ Μεγαβύζῳ πάσχουσι τῷ Πέρσῃ,
ὃς τῷ Ζεύξιδος τοῦ γραφέως ἐργαστηρίῳ περιτυχὼν ἐπῄ-
νει μὲν τὰς λαμπροτέρας γραφὰς μὴ τεχνικῶς ἄγαν ἐξειρ-
γασμένας, κατωλιγώρει δὲ τῶν στυγνοτέρων μέν, τῇ τέχνῃ
δὲ περιττῶς κατεσκευασμένων, οὗ καὶ τὰ τὴν Μηλιάδα 30
μειράκια τρίβοντα κατεγέλα ἀτέχνῳ γνώμῃ τὰ κάλλιστα
ἐκφαυλίζοντος. ὃ δὴ καὶ νῦν ἐστιν ὁρᾶν. ἃ γὰρ οὐκ ἐπί-

5 Hermog. 441, 15–442, 21 ‖ **8–21** ib. 220, 5–7 ‖ **26–32** Ael. Var. hist. 2, 2

6 fort. ⟨οἶδεν⟩ μηδὲν ‖ **24** εἰ] εἰ μὴ ἴσ. mg. **M**

σταντα κωμῳδεῖν ἔγνωσαν καὶ οἷς ἐπωφλήκασιν αἰσχύνην ἀναιδῶς ἐλλαμπρύνονται· οἷς ὁ Ὑάγρου Ὀρφεὺς ἀποχρήσει ʻθύρας ἐπίθεσθε βέβηλοιʼ ἐμβριθῶς ἐπισκήπτων. ἐπεὶ τοίνυν μηδὲν τούτων πεπονηκότες, ἢ γοῦν γλίσχρως
5 καὶ φαύλως, ὧν τοὺς ἐμπορεύεσθαι σοφίαν εἰκός (ἢ γὰρ ἂν ἐπῄνουν, ἀλλʼ οὐκ ἀπεσκοράκιζον) αὐθημερινοὶ ποθοῦσι χρηματίζειν σοφοί, τῷ Αἴαντι καὶ τύπτω καὶ τίθημι τὴν λογικὴν περιορίζοντες ἐμπορίαν, τοῦτο διελέγχειν αὐτῶν βούλεται τὸ τῶν ἡμετέρων λόγων διωγκωμένον τε καὶ
10 περισκελὲς καὶ πρὸς τὴν ἤδη τεθνηκυῖαν μοῦσαν τῇ τῶν ματαίων ἀνθρώπων ἀγνωμοσύνῃ ἀναφερόμενον. οἱ μὲν γὰρ πάλαι πρὸς οὓς τοῖς θείοις ὁ λόγος πατράσι καὶ ὁ ἀγών, τῷ ὄντι σοφοί, κἂν εἰ τῇ τοῦ θύραθεν προσλήψει, τὸ τοῦ Σταγειρίτου εἰπεῖν, τὸν ἑαυτῶν νοῦν ἀπημβλύν-
15 θησαν. ταύτῃ γε δὴ καὶ ἐπʼ ἐλάχιστον ἔσθʼ ὅτε τούτοις ἐμέλησε τῆς πρὸς αὐτοὺς κατὰ λέξιν δεινότητος (ἐκεῖνο γὰρ πρόδηλον, ὡς οὐδαμοῦ δριμύτης νοήματος ὑπτιότητι φράσεως ἐμφανίζεται), ἐπὰν μή τι κατήπειγεν. οἱ μέντοι γε καθʼ ἡμᾶς, οἷς ἐπιδείκνυμεν ἢ ἀπερείδομεν τοὺς
20 λόγους, σχεδὸν δοκησίσοφοί τινες καὶ ἵνα τι καὶ ποιητικῶς φθέγξωμαι, κενεαυχέες. παρέχομαι τοίνυν ἐπὶ πᾶσι τοὺς λόγους τοιούτους αὐτοῖς τεχνικῇ διασκευασάμενος ἕξει, ὡς ἂν εἰ μὲν συνῶσιν, ὃ πολλοῦ δεῖ, ἔχωσι τὴν ἐπιστροφὴν ἀπὸ τοῦ ῥᾷστου ἤτοι πρὸς θαῦμα τὴν
25 παλαιὰν ἀναπεμπαζόμενοι μοῦσαν ἢ καὶ πρὸς τὸ πείθεσθαι προϊοῦσαν· εἰ δʼ, ὃ πᾶσα παθεῖν ἀνάγκη, τῷ ἰδιωτισμῷ πιεζόμενοι ὄνος, φασίν, ἐπακούωσι λύρας, καταγινώσκοιεν ἑαυτῶν, εἰ πρὸς τοιοῦτον ἔχουσιν ἄνδρα οὐ μηδὲ τὰ κατὰ πάρεργον συνετά, ἀλλʼ ἀπορία πολλὴ καὶ πάχος ἀχλύος καὶ
30 ἴλιγγος αὐτοῖς ἀμαθίας τοῖς τούτου καταχεῖται πόνοις περιτυγχάνουσι. διώκειν δὲ τοὺς τοιούτους ἡμᾶς ἀσαφείας ἢ καί τινος αὐτοῖς ἄλλης αἰτίας, οὐδέπω καὶ τήμερον ἔγνων εἴ τί γε ἄλλο τούτου ἡμῖν χαριέστερον. |

2–3 Orphica frg. 247, 1 Kern ‖ **13–14** Aristot. de gener. an. II 3, 736b 27–28 ‖ **21** Hom. Θ 230 ‖ **27** CPG I 291; II 193; 563

2 Ὑάγρου] Οἰάγρου Cs ‖ **5** σοφίαν ⟨προῃρημένους⟩ ci. Cs

18

85v

Πλωτίνῳ

Scriptae sunt et haec et proxima epistula (vel potius fragmenta epistularum, imperfectarum fortasse) ad Plotinum archiepiscopum Thessalonicensem, qui a Nicolai partibus desciverat ut nimium indulgentis (cf. p. 164, 9–13). evincit Arethas divortium exigendum non esse iisdem argumentis usus quibus Op. 9 (p. 100, 23–101, 13) et Op. 14 (p. 157, 24–158, 14), haud scio an circa idem tempus.

'Τὴν πολυγαμίαν οἱ πατέρες ἀπεσιώπησαν.' πυνθανομένῳ δίδοτε λόγον, τίνος χάριν ἀπεσιώπησαν. ὡς κτηνώδη, πάντως ἐρεῖτε. πολλὰ γένοιτο ὑμῖν ἀγαθά· τί δαὶ μοιχεία; οὐχὶ κτηνώδης παρά γε τῷ προφήτῃ 5 *κατηγορεῖται; 'ἵπποι' γάρ φησι 'θηλυμανεῖς ἐγένοντο, ἕκαστος πρὸς τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζον'. καὶ μὴν τῆς μοιχείας ἐγκοπὴν λαμβανούσης ἐπὶ μετάνοιαν ὁ τέως κατακαλεῖται μοιχός, ἀλλ' οὐ τῇ ἀποσιωπήσει τῆς σωτηρίας ἐκκλείεται. τί τοίνυν πολυ-* 10 *γαμία μόνη τοσοῦτον ὑποτιμᾶται; πότερον καὶ διαζυγίῳ κολάζουσα ἑαυτήν; ἀλλ' ἔστιν οὐδεὶς ἐν ἱερεῦσιν ὃς τὸν ἐπιστρέφοντα ἀπὸ ἁμαρτίας οὐ καταδέχεται· καὶ τί μὴ τοῦτο προσδιαστείλαντες οἱ πατέρες τοῖς πολυγάμοις ἰασίμους ἀπέφηναν, ἀλλὰ τῇ ἀποσιωπήσει ἐπὶ ἀπόγνωσιν* 15 *παρεκάλεσαν; σκληρῶν τοῦτο καὶ ἀδικοδοξούντων καὶ τῆς τοῦ ἐνανθρωπήσαντος ἀλλότριον εὐμενείας, ὃς καὶ καλέσων ἁμαρτωλοὺς εἰς τὸν κόσμον ἐλήλυθεν καὶ τοῖς*

2–4 Bas. Ep. 217, can. 80, PG 32, 805 A 14–15 || **5–8** Ier. 5, 8 || **17–18** Mt. 9, 13; Mc. 2, 17; Luc. 5, 32

18 Karlin-Hayter[6] 59–61 || **2** *Τὴν — ἀπεσιώπησαν* lemmati subiungit **M**

ἁμαρτωλοῖς σφαγιάζεται. λείπεται πάντως ἐκεῖνο ὑπεισιέναι τῷ λογισμῷ, ὡς ἐπειδὴ μὴ τῶν οἵων τε πραχθῆναι τὸ διαζύγιον ἦν, οὐδ' οἱ πατέρες εἰσηγήσαντο τοῦτο, ὃ δὴ διάδηλον ἤδη καὶ παιδαρίῳ, φασίν, οὐδ' ὁ θαυμάσιος
5 *Γρηγόριος ὁ Ναζιανζοῦ· πρὸς οἷς δὲ χοιρώδη τοῦτο κατηγόρησε βίον καὶ οὐδὲ πολλά φησιν ἔχοντα ὑποδείγματα, οὐδὲ οὗτος τὸ διαζύγιον εἰσηγούμενος ὁρᾶται· τῶν γὰρ μενόντων τὰ ὑποδείγματα καὶ ὑφεστώτων. εἴπερ οὖν οἱ πατέρες, οἷς τὸ ἐπιτήδευμα, οὐκ οἶδ' ᾧτινι καὶ*
10 *λόγῳ, τοῦ τῶν ἀνθρώπων ἀλλοτριοῦται γένους, οὐκ ἔγνωσαν διαζυγίῳ κολάσαι πολυγαμίαν καὶ οὕτω πρὸς σωτηρίαν καλεῖν (οὐδὲ γὰρ φθόνῳ τούτους τολμᾷ τις ἐρεῖν, οὐκ ἀπονοίας ὑπερβολῇ), πῶς τις Βασίλειον ἀναιδεύσαιτο χωρισμὸν εἰσηγεῖσθαι τοῖς πολυγάμοις, ὃς καὶ*
15 *φορητότερον τὸ ἁμάρτημα κρίνει; ἀφ' ὧν εὐλόγως ὑποβάλλεσθαι τούτους τοῖς κανόσι νομοθετεῖ καὶ μετριωτέροις ὑπάγεται τοῖς ἐπιτιμίοις καὶ οὐδὲ λόγῳ ψιλῷ διαζυγίου ἐνταῦθα μνημονεύει καίτοι γε σφοδρὸς τὰ τοιαῦτα κολάζειν, ἐπὰν αὐτῷ διαστάσεως ἄξιον τὸ πρᾶγμα*
20 *κριθῇ, καὶ οὐδὲν εἰς δυσώπησιν τούτῳ τὸ μὴ οὐχὶ ταύτης διαμνημονεῦσαι τῆς καταδίκης.*

Ἐντεῦθεν οὐδὲ πρὸς τὸ χεῖρον πορνείας τὸ ἐνταῦθα 'πλεῖον' σωφρονοῦσίν ἐστιν ἐκλαβεῖν. εἰ γὰρ τοὺς κατὰ πορνείαν συναπτομένους ἀνεπαισχύντως τε καὶ τορῶς
25 *ἄμεινον φησὶ διαζεύγνυσθαι, ἆρά γε τὸ χεῖρον, ὥς γέ φατε, πορνείας, εἰ δίκαιον ᾤετο χωρισμῷ ὑποβάλλεσθαι, ἐσιώπησεν ἄν; ἀνελευθέρων τὸ πάθος καὶ βωμολόχων, ἀλλ' οὐ τῆς ἐκείνου γενναίας καὶ φιλοθέου ψυχῆς καὶ μηδὲν ἐπίπροσθεν θεοῦ καὶ τῆς ἀληθείας ὑπειληφότος.*

30 **6** mg. *φάσκει γὰρ 'οὐδὲ πολλὰ ἔχω τὰ ὑποδείγματα', ὥστε, εἰ καὶ μὴ πολλά, ὅμως εἰσὶν ὑποδείγματα.*

3–4 cf. Plat. Symp. 204 b 1 || **4–7** Greg. Naz. Or. 37, 8, PG 36, 292 B 9–10 || **15–18** Bas. l. l. B 2–5 || **22–23** ib. B 1–2 || **23–25** Ep. 199, can. 26, PG 32, 724 B 14–C 1

6 *ἔχοντα* ut vid. **M**: leg. *ἔχειν τὰ*? || **9** *ᾧτινι* Wk: *ὅτινι* **M**

19

Πλωτίνῳ

Eiusdem rei plenior expositio. adicit notulam in suum usum, qua totam demonstrationem in brevissimum contraxit.

Ἀκούω πολλῶν ἤδη καὶ τοῦτο λεγόντων, ὥς εἰσί τινες, οὐκ οἶδα πόθεν καὶ ἥτινι σοφίᾳ ἐπιρρωννύμενοι, ἐπειδὰν τὸ τῆς πολυγαμίας αὐτοὺς διαζύγιόν τις ἀπαιτῇ ῥητὸν οὕτω τοῖς κανόσιν ἐγκείμενον προενεγκεῖν, τοὺς δὲ τοῦτο μὲν μηδ᾽ 5
86^r *ὅλως ἔχειν εὐπόρως | δεικνύναι, ἐπί τινας δὲ καταφεύγειν ὀνείροις ἐοικυίας ἀποδείξεις ἀτόπους, ὧν φρόνησις καὶ σοφία καὶ ἀγροίκοις ἐννοηθῆναι. καὶ δή γέ φασιν ὡς τούτου μὲν αὐτοὺς ἀστοχεῖν, τῇ τοῦ ἐπιτιμίου δὲ ἀνέσει ἐπὶ τὸ ἧττον ὑποστρεφούσῃ λαμπρῶς εἰσηγεῖσθαι τὸ* 10 *ἀζύγιον.*

Ἀλλ᾽ οὖν, φαίην ἂν ἐγώ, βέλτιστοι, εἰ ταῖς ὑπονοίαις ἐξῆν πείθειν τὸ ἀμφισβητούμενον ἅπαν, ἕρμαιον ἂν ὡς οὐκ ἄλλο τι τοῖς κακουργεῖν εἰωθόσι πολλὰ τοιαῦτα συμφορήσασι κατὰ τρόπον τοῦ δικαίου ἀποδιώκειν τοὺς δίκην 15 *αὐτοῖς προῃρημένους λαχεῖν. ὅμως ἐφίεμεν ὑμῖν τοῦτο, εἰ μόνον ἐχόμενα λόγου τὰ τῆς ὑπονοίας ἀνευρεθείη. εἰπὲ δέ μοι, ἔχοιτ᾽ ἂν ἡμῖν γενναιότητι λόγων ἀποφῆναι ὡς τὸ ἐπιτίμιον ἀπὸ τοῦ ὁλοκλήρου κολοβωθὲν τὸ διαζύγιον εἰσηγεῖται τῇ πολυγαμίᾳ; εἰ μὲν καὶ ἐπί τινων ἄλλων,* 20 *εὖγε τοῦ λόγου, στοιχοῦμεν τοῖς ὑφ᾽ ὑμῶν ἐνεξουσιαζομένοις. ἀλλ᾽ οὔπω τοῦτο καὶ τήμερον, ὅσα γε εἰς ὑπο-*

9–11 Bas. Ep. 188, can. 4, PG 32, 673 A 12–B 5

19 Karlin-Hayter[6] 61–67 || **7** *ὧν* Wk: *ὦ* **M**

τίμησιν ἧκεν ἐκκλησίᾳ θεοῦ, κατελάβομεν· οὐκ ἐπὶ τῶν
ἀθέσμων γάμων, οἷς ἐξισοῦν ματαίως τε καὶ κενῶς
πολυγαμίαν ἐπείγεσθε· οὐκ ἐπὶ τῶν κατὰ πορνείαν
συναπτομένων, εἴ τι καὶ τούτοις δοκῇ χωρισμῷ τῆς
5 λαθρίου συναφείας ἀποδιαλύειν τὸν σύνδεσμον· οὐδὲ τῷ
χωρισμῷ ἀντιδίδοται τούτοις ἡ τῆς ὡρισμένης κακώσεως
προθεσμία σμικρυνομένη, ἀλλ' εἰ ἄρα, τῇ θερμοτέρᾳ ἣ
ἑαυτὸν ὁ τὸ αἶσχος ἀποπλυνόμενος ὑποτίθησιν. πόθεν
οὖν ὑμῖν τοιαῦτα ἐννοηθῆναι συνιδεῖν οὐκ ἔχω.

10 Ἀλλὰ γὰρ ὃ μεταξύ με λέγοντα ὑπεισῆλθεν, οὐκ
ἄκαιρον ἐμφανίσαι· φιλανθρωπότερον πάντως ἐρεῖτε τὸν
μέγαν Βασίλειον κεκινημένον τῇ τῆς διαστάσεως ἀνάγκῃ
σμικρῦναι τοῦ μήκους τὸ ἐπιτίμιον. εἶτα οὐκ εὔγνωμον
ἐννοεῖν ὡς εἰ φιλανθρωπία ἐνορᾶται τῷ πάθει συμβαί-
15 νουσα, καὶ τοσαύτη ὡς καὶ τὴν ὑποτίμησιν κολοβῶσαι,
οὐδὲ χείρων αὐτῷ πολυγαμία κέκριται πορνείας; οὐκ
ἔστιν ὃς οὐκ ἐρεῖ· καὶ μάλισθ' ὃς ἀλλαχοῦ τοῦτον ὁρᾷ
σφοδρῶς τε καὶ ἀκαμπῶς πρὸς τὴν ἁμαρτίαν ἱστάμενον
καὶ οὐδ' ἂν εἴ τι καὶ γένοιτο τῶν κεκριμένων αὐτῷ
20 ἐξιστάμενον, εἴπερ ἱκανὸν τὸν λόγον πιστώσασθαι τὸ ἐπὶ
ταῖς ἐκπεσούσαις παρθένοις ἀγνωμονέστερον τῶν πρὸ
αὐτοῦ πατέρων θεσμοθετούμενον. ᾧ δὲ οἶκτος ἐπακολου-
θεῖ, δι' ὃν συστέλλεσθαι καὶ τὴν ὑποτίμησιν βούλεσθε, τίς
οὕτω σκληρὸς καὶ ἀτεράμων ὡς μὴ τῇ φύσει ὑπενδοῦναι,
25 ἀλλ' ἀπανθρώπως τε καὶ ἀνηλεῶς τὸ προσπεσὸν ἐκβιάζε-
σθαι; ἢ οὐχὶ καὶ Παῦλος τῇ ἀσθενείᾳ τῆς φύσεως συνυπο-
κλάζων τῆς τοῦ καλοῦ περιωπῆς ὑποβαίνει τῆς ἐκ πορνείας
ἐπηρείας τοὺς ἀνθρώπους ῥυόμενος; τί δαὶ καὶ Βασίλειος
οὑτοσί; οὐ τοῖς κατὰ πορνείαν συναπτομένοις τὸ διαζύγιον
30 ἐκ παντὸς παραγγέλλων τῇ πρὸς φύσιν ὅμως ἀνάγκῃ

26 mg. δι' ὧν φάσκει 'διὰ τὰς πορνείας ἕκαστος καὶ ἑκάστη'.

7–8 cf. ib. B 3–5; Ep. 217, can. 74, PG 32, 804 A 4–13; can. 84, PG 32, 808 B 7–10 || **20–22** Ep. 199, can. 18, PG 32, 717 A 10–B 7 || **26–28** 1 Cor. 7, 2 || **28** – p. 196, 1 Bas. Ep. 199, can. 26, PG 32, 724 B 14–C 4

7 θερμοτέρᾳ] deest subst. quale *μετανοίᾳ* (cf. Bas.)

μεθῆκε τὸ τέως ὡς αἰσχρὸν ἀποδιαστελλόμενον; οὐκ ἂν
οἶμαι τούτοις ἀντείποιτε. ἀλλ' ὧδε μὲν οὗτος φιλάνθρω-
86ᵛ πος καὶ συγγνώμων, καίτοι | μικρὰ τῆς φύσεως ἐνοχλούσης
ἐνταῦθα, ὡς ἂν ἅπαξ, ἧπερ ὑμεῖς φατέ (οὐκ οἶδ' ὁπόθεν
τοῦτο λαβόντες), εἰς πεῖραν ἀλλήλων ἐληλυθότων τῶν 5
τὴν ὑπόθεσιν συμπληρούντων· οὐδὲν δὲ πάντως τοσοῦτον
εἰς ὄχλον τοῖς πρωτοπείροις τὸ ὑπεκστῆναι τοῦ πάθους.
κἀκεῖ μὲν οὕτως· ἐφ' ὧν δὲ χρόνος καὶ ἡ ἐνδελεχὴς τοῦ
πράγματος πεῖρα μετὰ τοῦ καὶ μηδὲν ὑποπτεύειν ἐργά-
ζεσθαι τῶν ἀπαισίων οἱονεὶ ἐνεσκίρρωσεν ἐν τῇ φύσει 10
τὸ πρᾶγμα καὶ δυσανάκλητον ἔδειξεν, ἆρα τούτοις οὐδὲν
ἐπικαμπτόμενος φωρᾶται οὐδέ τι τῶν μαλασσόντων τὸν
πάντων ἀνθρώπων ἐπιεικέστερον ἀνευρίσκεται, ἀλλ' ἀπο-
τόμως μὲν πρὸς τὴν διάζευξιν ἅτε κακοῦ μεγίστου
ἀπεῖδεν, οἴκτῳ δὲ πάλιν τὴν ὑποτίμησιν ὑποτέμνεται; 15
καινὸν τοῦτο καὶ πέρα τὸ κατασκευαζόμενον πίστεως,
εἰ τῇ διαστάσει τῶν πολυγάμων ἐπιτετμῆσθαι τὸ ἐπι-
τίμιον συμπαθῶς ὑμῖν ἔδοξεν, ὅτι μηδ' ἄλλο τῶν εἰς διά-
στασιν τὸ ἄθεσμον ὑποβαλλομένων φειδοῦς τὸ παράπαν
τετύχηκεν. 20

Περὶ τοῦ αὐτοῦ

Οὕτω μὲν οὖν διεξοδικῶς τοῖς τῆς ἀποδείξεως ἅπασι
διεξιὼν μέρεσι χρήσῃ, ὅσῃ ῥήτορσιν ἐγγυμνάσασθαι, ὅσῃ
διαλεκτικοὺς κρατύνασθαι παρέχει. ἐπιτεμὼν δὲ οὕτως
προαγάγοις. ʽπολυγαμίαν τοῖς ἀθέσμοις τῶν γάμων ἀφ- 25
ομοιῶν ἀξιοῖς ὡσαύτως ἐκείνοις τὸ συνοικέσιον διαλύειν·
εἶτα φῂς οἴκτῳ Βασίλειον τοῦ διαζυγίου τὴν κάκωσιν
ὑποτεμέσθαι τῶν ἐπιτιμωμένων χρόνων ἐπὶ τὸ βραχύ-
τερον τούτους συνεσταλκότα; εἰ μὲν καὶ ἐπὶ πάντων τῶν

4 mg. *δι' ὧν φάσκει ʽτοὺς κατὰ πορνείαν συναπτομένουςʼ, οὓς* 30
καὶ ʽκλεψιγάμουςʼ φησί.

31 cf. Bas., PG 32, 800C 6

2 *οὗτος* (ω supra) **M** ‖ **7** *τὸ* **Wk**: *τοῦ* **M** ‖ **10** *ἐνεσκίρωσεν* **M** ‖ **17** *ἐπιτε-
τμῆσθαι* **Wk**: *ἐπιτεμῆσθαι* **M** ‖ **31** mg. *κλεψιγάμους* ex *ὀψιγάμους* (?) **M**

ἄλλων οἷς ἐνορᾶται ἡ διάστασις παραγγελλομένη φειδὼ τοῦ διαζυγίου τὸ τῶν χρόνων ἐκτεταμένον συνέστειλεν, ἁπλοῦς ὁ λόγος καὶ δέχομαι τὴν ἀξίωσιν· εἰ δ' οὐδὲν ἐπ' ἐκείνων τοιοῦτο, τίς ὁ τῆς ἀποκληρώσεως λόγος, οὔτε 5 συνιδεῖν σωφρονῶν ἔχω καὶ τοῖς ἄλλως ἀξιουμένοις συγκατατίθεσθαι οὐκ ἂν ὅλως δυναίμην, ἐπὰν ζωοῖσι μετείω, βίη δέ μοι ἔμπεδος εἴη'.

6–7 Hom. *Ψ* 47 || **7** *H* 157

7 *μετείω*] *μετίω* (?) **M**

20

Πρὸς τοὺς φιλοσκώμμονας ἡμᾶς οἰομένους

Gloriatur potius quam se excusat quod telis contumeliarum suarum inimicum quendam oppresserit, quem 'tredecimum speculatorem Dolonem' appellans cum Simone et Elyma magis et cum Celso Porphyrio Iuliano Leone Armenio inimicis fidei comparat. bene conveniunt haec cum iis quae in sequenti satira iacit in Choerosphactem tamquam praestigiatorem et gentili sapientia imbutum. credo igitur Aretham perculso Choerosphacta haec sui purgandi causa opusculo 21 praemisisse. addit se multa alia scripsisse, martyrum et sanctorum laudes, commentaria in Scripturam.

Οὐ φιλοσκώμμων ἐγώ, μὴ τοῦτό τις φιλαίτιος οἰέσθω, οὐδὲ βλασφήμοις ἀνακείμενος ῥήμασι (πῶς γάρ, ὃς εὐλογεῖν ἀγαθοὺς ἄνδρας ἐκθύμως ἐσπούδακα;) ἀλλά τις Δαυὶδ σφενδόνῃ τριπλόκῳ, γλώσσῃ τριάδι θείᾳ συγ- 5 *κροτουμένῃ, βάλλειν εἰδὼς λοιμῶν ἀνθρώπων ἀναίδειαν, οὐδέν τι μᾶλλον Μελιταίων ἐμοὶ κυναρίων λογιζομένων, καὶ βάρβαρον καταβάλλειν μανίαν θεοῦ παράταξιν ἀτιμοῦν ἐπειγομένην. καὶ τί τὸ ἐντεῦθεν; ἠράμεθα σὺν θεῷ κῦδος νομεῦσι Χριστοῦ ἀνακείμενον, τὸν τρισκαιδέκατον σκοπὸν* 10 *εἵλομεν Δόλωνα. ὧδε καὶ οἱ πρότεροι τείχεα μακρὰ καὶ πόλεις ἐπόρθουν, τόνδε νόον καὶ θυμὸν ἐν στήθεσιν* 87r *ἔχοντες· Πέτρος Σίμωνα τὸν μάγον, | Παῦλος Ἐλύμαν, Κέλσον τὸν Ἐπικούρειον Ὠριγένης, Μεθόδιος ὁ Πατάρων Πορφύριον, Εὐσέβιος ὁ Παμφίλου τὸν αὐτόν, ἡ θεία* 15 *γλῶσσα Γρηγόριος Ἰουλιανὸν καὶ Μάξιμον τὸν κύνα,*

5–6 1 Reg. 17, 49; cf. Nicet. Paphl. Or. 20, PG 105, 481 D **3–4** || **7** cf. 1 Reg. 17, 43; Lucian. Conviv. 19 || **8–9** 1 Reg. 17, 36; 45 || **10–11** Hom. *K* 561; cf. Choerosphact. Ep. 23, 4–6 Kolias || **11–13** *Δ* 308–309 || **13** Act. 8, 9–24 || **14** Act. 13, 6–12 || **15–16** Greg. Naz. Orr. 4–5; 26

ἀλλὰ καὶ χθὲς καὶ πρώην ὁ ἀοίδιμος Νικηφόρος τὸν Ἀρμένιον Λέοντα. τούτοις ἀβάλε συντάττοίμην ἐγώ, κἂν εἰ βελόνη σιδηρείῳ παραβαλλοίμην, τὸ παροιμιῶδες, μοχλῷ, οὐδὲν ἐμοὶ μελήσει μέμψις καὶ διαγογγυσμὸς
5 Πάτροκλον μὲν πρόφασιν ποιουμένων, σφῶν δ' αὐτῶν αἴσχεα ὑποβλεπομένων. εἰ γὰρ καὶ κακὸς ἀκούοιμι πρὸς τούτων, ὑπέρευγε τῶν καλλίστων αἰτιαμάτων· ἐμοὶ μὲν γὰρ οὐκ ἄν τις ἐναίσιμος ἀνὴρ εἴη ὅς ἔργον ἀτιμήσειε μάχης, οὐδὲ νέμεσις τοῖσδ' ἐπὶ ἔργοις πολὺν χρόνον αἴσχε'
10 ἀκούειν. τί δὲ μέχρι τούτων, ὑποκρούσει τις, ἐμοὶ τὸ εὐδόκιμον; ἀλλ' οὐ σωφρόνων ἐστὶ ταῦτα τολμᾶν φθέγγεσθαι. εἰ γὰρ ἐθέλοι καὶ ταῦτα δαήμεναι καὶ τῶν εὐφημοτέρων ἡμῶν ἐπακοῦσαι, πλήρεις τοιούτων καρπῶν τῆς ἡμετέρας γλώσσης βίβλοι πολλαί, μαρτύρων θεοῦ
15 ἐγκωμίων, ὁσίων ἐπαίνων, γραφῆς ἐνθέου ἀναπτύξεως, ἄλλων τε πλείστων σπουδαιοτάτων, ὧν οὐκ ἂν ἐπήβολος γένοιτο γλῶσσα θνητῶν οἷοι πολλοὶ νῦν ἐπὶ χθονὶ πουλυβοτείρῃ τράφεν ἀνδρῶν ἠδ' ἐγένοντο.

1–2 PG 100, 201–850 (cf. 74–141) || **5** Hom. *T* 302 (CPG I 294; II 606) || **7–8** Hom. *Z* 521–522 || **9–10** *Γ* 156–157 || **12** *Z* 150 || **17–18** *Γ* 89; *ϑ* 378 || **18** *Α* 251; *δ* 723

3 *βελόνη* Wk: *-ῃ* **M** | *τὸ* Wk: *τῷ* **M**

21

Χοιροσφάκτης ἢ Μισογόης

Confecit hunc libellum criminosum contra Leonem Choerosphactem cum is post legationem ad Saracenos susceptam redierat aegrotus et imperatori suspectus (a. 907). causa proxima scribendi erat quod Choerosphactes suum quoddam opusculum de theologia in Magna Ecclesia recitandum amico dederat. indignatur Arethas quod templum Dei intrare ausus sit et per homines sui similes suas nugas recitare, homo abiectus, senatu motus, cuius impietas in theologicis et ignorantia in doctrina saeculari omnibus manifesta facta sit, cuius perfidia e legationibus ad Bulgaros et Saracenos apparuerit; nunc igitur nihil ei superesse nisi unum alterumve discipulum, quos nulla Musa homo musicam doceat. talem virum nec Dei altari appropinquare decere nec de rebus divinis disserere. quae autem sibi proposuerit, haec esse: ex patrum scriptis fragmenta disiecta obtrudere discipulis suis, qui mendacia subtiliora dispicere non possint; imperatorem oblique insectari quod talem virum e republica detruserit; probare se patribus ecclesiae nec vita neque operibus inferiorem esse. quid autem de ieiunio Christianos docere posse eum qui, teste ipsius filio, in vigilia sancti sabbati gallinam bene conditam comederit? quid de Trinitate Epicureum, de incarnatione hominem Sadducaeis peiorem, quippe qui angelorum ordinem de mundo tollere conatus sit? quomodo vitas sanctorum narrare posse, qui amicos Dei cruciaverit? sed iam morbo comitiali convulsum mox in suum locum abiturum, cum Porphyrio et Iuliano suis.

Βαβαί, ἦν ἄρα καὶ τόδε χρυσοῦν ἔπος, οὐ τῷ τυχόντι τῆς ἀληθείας ἐχόμενον, πάντα δὴ προσδοκᾶν ἄνθρωπον ὄντα φιλοσοφοῦν. οὐδὲν γὰρ τὸ ἀπὸ τοῦδε καὶ τῶν ἄγαν

2–4 Xen. Anab. 7, 6, 11

21 Compernass[2] 298–306; Šangin[1] 236–241

τολμηροτάτων ἀπογνωστέον ἐμπολιτευθῆναι τῷ βίῳ. τί γάρ, ὦ πλήρη πάσης αἰδοῦς ἀνάκτορα θεοῦ, τοῦτο; τί τὸ βλεπόμενον ἄγος; τίς ἡ τοσαύτη μανία καὶ ἰταμότης; τί τὸ φρικτὸν καὶ ἀπαίσιον ἔργον καὶ πρὶν ἢ τελεσθῆναι οὐκ
5 *ἔχον εἰς σώφρονα πίστιν τελεσθησόμενον; ἄνθρωπος Κέρκωψ, μεστὸς παντὸς δόλου, πάσης ἀκαθαρσίας, τὰ Χριστιανῶν παρωσάμενος, τῇ εὐσεβείᾳ μακρὰ χαίρειν εἰπών, ᾧ μέγα πόρρωθεν ἑστηκότι τῶν τοῦ θεοῦ σκηνωμάτων ἀφορᾶν τὰ προαύλια, ὁ δ' οὐκ ἀγαπᾷ τῷ εἰληχότι*
10 *συνεξετάζεσθαι δαίμονι, ἀλλὰ καὶ αὐτοῖς ἐνοικίζεται τοῖς τεμένεσι· καὶ οὐδὲ μέχρι τούτων ἱστάμενος, ἀλλὰ καὶ τοὺς αὐτοῦ λήρους δι' ὁμοτρόπων ταῖς εὐσεβέσιν ἀκοαῖς ἐνηχεῖ, οὐκ ἂν ἄλλο τι τούτοις ἢ τοῦτο δεινότατα παλαμώμενος. βουλῆς γὰρ αὐτῷ πρόσεστι τὸν ἐπιπολάζοντα*
15 *τῆς ἀθεΐας ὅσον εἰς γνῶσίν τινων ἀποτιναξαμένῳ κονιορτόν, εἶτα ἐπιμορφασαμένῳ εὐσέβειαν καὶ δόξαν περιπεποιημένῳ χρηστότητος, πρὸς οἷς ἀποσυλᾶν περιγένοιτό τινας τῶν κατὰ κύριον νηπίων καὶ πρὸς τὸν ἑαυτοῦ βόρβορον ἐπισπάσασθαι, ἔτι καὶ τοῖς ἠτιμωκόσιν ἅτε δὴ ἀνα-*
20 *ξιοπαθῶν ἀμύθητον τὴν μέμψιν, καλῶς ἕν γε τοῦτο ποιῶν, ἐξεργάσεται. τί γὰρ οὐ τοσοῦτον λοιμὸν ἐξελόντες ἐκ* | *συνεδρίου μὴ διὰ τέλους ἠφάνισαν, ἀλλὰ τῷ βίῳ κατ-* 87v *έλιπον, ὁλκὸν ὄφεως συσπειράζεσθαι καὶ ταῖς πολυστρόφοις ἑλίξεσι πολλοῖς τῶν ἁπλουστέρων συσχηματίζεσθαι*
25 *μηχανώμενον; ὢ τῆς περιπετείας, ὢ τῶν ἐκ ῥαθυμίας ἀτυχημάτων. οὐκ ἔστιν ὁ συνίων; οὐκ ἔστιν ὁ ἐκζητῶν; οὐχ ὕπεστιν ἡμῖν Φινεές, ἵν' ἐκκεντῆται καὶ νῦν Μαδιανῖτις μαχλάς, ἀλλόφυλος γλῶσσα τοῖς νόθοις ἐντρίμμασι τὴν τοῦ κυρίου παρεμβολὴν ἐκπορνεύουσα, καὶ θραῦσις*
30 *μὲν ἤδη κοπάζηται, ἐκ δὲ τῶν υἱῶν Ἰσραὴλ ὄνειδος ἀφανίζηται; οὐ πάρεστι Παῦλος, οὐ Σίλας, ὃς τὴν κατὰ*

8–9 cf. Luc. 18, 13 || **9–10** cf. Plat. Phaed. 107 d 6–7 || **21–22** Prov. 22, 10 || **26** Rom. 3, 11 || **27–28** Num. 25, 6–8 || **27–30** Ps. 105, 30 || **30–31** Ps. 151, 7 || **31** – p. 202, 2 Act. 16, 16–18

9 *ὁ δ'* Wk: *ὅδ'* **M** || **26** *συνιὼν* **M** || **27** *Μαδιανῖτις* Heisenberg: *μαδινῖτις* **M** || **28** *ἐντρίμμασι* Heisenberg: *ἐντρέμμασι* **M**

Πύθωνος πνεῦμα ψυχὴν τοῖς ἀνοήτοις φοιβάζουσαν δυνάμει καταπαύσῃ θειότητος, τοῖς δὲ Χριστοῦ θρέμμασι τὴν ἀσφάλειαν ἐκπορίσεται; οὐχ ἕτερός τις, οὐ νέος, οὐ παλαιός, οὐ τοῖς ἀνακτόροις θεοῦ οἰκονομούμενος τὸ αἰδέσιμον, ὡς ἄβατα μένοι ταῦτα τοῖς τῶν ἀνθρώπων βεβήλοις καὶ πονηρῶν ὀφθαλμοῖς ἄψαυστα, οὐχ ὅτι καὶ ἰὸς τοῦ δρακοντείου αὐτοῖς στόματος περιστάζοιτο; ἀλλ' ὁ μὲν παλαιὸς νόμος Μωαβίταις καὶ Ἀμμανίταις ἀνέπαφα συνετήρει τὰ κατ' αὐτὸν ἅγια καὶ εἰς τετάρτην αὐτοῖς γενεὰν τὴν πάροδον ἀποτειχιζόμενος, καὶ εἶχεν οὕτως τὰ τοῦ θεσμοῦ μηδενός τι παραποιοῦντος τῶν διαστελλομένων ἢ παραβλάπτοντος· ὁ δέ γε καινὸς καὶ πρὸς τὸ πνεῦμα τὸ γράμμα μεταπλαττόμενος οὕτω σχεδίως, οὕτως ἀπερισκέπτως, οὕτω πλημμελῶς τοῖς ἀκαθάρτοις καὶ περιρραντηρίων χωρὶς ἀπὸ τῆς κώπης, φασίν, ἀπὸ τῆς κεραμικῆς ἀσβόλου, τῶν ἑαυτοῦ ὀργίων παραχωρήσει καὶ χοίροις τε καὶ κυσὶ τὸ μαργαρῶδες παραβαλεῖ τῶν διδαγμάτων τε καὶ δογμάτων; μανία τοῦτο δεινή, οὐδ' ᾗτινι τῶν ἄλλων ἔχουσα παραβάλλεσθαι.

Εἰπὲ γάρ μοι, σὺ ὁ ταῦτα τεχνάζων καὶ διασμιλευόμενος, πῶς μιαρὸς καὶ ἀποφρὰς ἄνθρωπος βδελυκτός τε τοῖς πᾶσι καὶ ἀποτρόπαιος, ὡς μηδὲ τῇ Ῥωμαίων βουλῇ δι' ἀσέλγειαν ἄξιος ἐναυλίζεσθαι, ἔτι τῶν δυσσεβεστάτων χειλέων τὰ κατὰ τοῦ κυρίου καὶ τοῦ χριστοῦ αὐτοῦ ἀποβλύζων εἰς ναὸν αὐτοῦ ἅγιον ἀπηυθαδίσω σαυτὸν εἰσβιάσασθαι καὶ πρὸς τούτῳ ἀνυπερβλήτῳ τολμήματι ἤδη καὶ ἃ μόνοις ἀνεῖται τοῖς βίῳ καὶ λόγῳ τῆς εὐσεβείας κατηρτισμένοις καὶ τῷ διδασκαλικῷ μεταπρέπουσιν ἀξιώματι αὐτὸς διὰ στόματος ἀναλαβεῖν, ὁ μυρίοις μὲν αἴσχεσι καὶ ὑπ' αὐτῷ γε τῷ πονηρῷ συνειδότι κατακεχραμμένος, οὐκ ἔστι δ' εἰπεῖν ὅσῃ περιλιμναζόμενος ἀθεΐᾳ, ἐῶ γὰρ ἐρεῖν

7–10 Deut. 23, 4 || **12–13** Rom. 7, 6 || **15** CPG I 195; II 12 || **17–18** Mt. 7, 6 || **24** Ps. 2, 2 || **29** Ps. 49, 16

3 *ἐκπορίσεται*] -*σεται* vel -*σηται* **M** || **9** *αὐτοῖς*] mg. add. **M** || **15** *κόπης* **M** || **25** *ἀπηυθαδήσω* **M**

ἀμαθίᾳ, τοῦτο μὲν τῶν ἱερῶν γραμμάτων, τοῦτο δὲ καὶ ὧν δοκεῖς Ἑλληνικῶν παιδευμάτων τὸ κράτιστον ἀπενέγκασθαι (ἴσασι ταῦτα οἱ λόγον πηγάζοντες σοφίας ἀθόλωτον) οὐδὲ ἐκεῖνο συνιείς (πῶς γάρ, δυσσεβείᾳ
5 τυφλώττων τε καὶ κατακρατούμενος;) ὡς οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ; | ἢ τὸ τῶν πολιτικῶν σοι 88r κἂν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ κέκρικας σκευωρεῖν; ἀλλὰ γὰρ σύνες, οὐκ ἐπιτεύξεται δόλιος θήρας· ἐπεί τοι κἀκείνοις ἐπηρεάσας πρεσβείαις Βουλγάρων, πρεσβείαις Σαρακηνῶν,
10 εἶτα παραπρεσβείας ἁλούς, μᾶλλον δὲ τοῖς προκεχειρικόσιν ἐπιβουλὴν ἐξαρτύων, βραχὺ μέν τι λανθάνων ἔδοξας ἐνευδοκιμεῖν, τελευτῶν δὲ κατεγνωσμένος καὶ ἃ εἶχες ἀγώγιμα νεναυάγηκας, ἐπεὶ καὶ οὕτως ἐχρῆν ἁμαρτωλὸν ἀνατείλαντα ὡσεὶ χόρτον διακύψαι καὶ πρὸ τοῦ ἐκσπα-
15 σθῆναι ἐξηράνθαι, ὅτι καὶ τοιοῦτο πᾶν τὸ ἀπὸ γοητείας κατευθυνόμενον. τρεῖς μὲν γὰρ τάξεις ἐξ ἑνὸς τρόπου διήμειψας· ἀλλ' οὖν πρὸ τοῦ συνιέναι τὴν ἄκανθάν σου τὴν ῥάμνον, τὴν ἁδροτέραν δήπου πλημμέλειαν, ἤδη μετεωροπορεῖν ἐναρχόμενος, ἤδη μεγαλαυχεῖσθαι καὶ γαύρῳ
20 φρονήματι φέρεσθαι, ἔπεσε πῦρ ἐπὶ σὲ συμφορᾶς ἐνδίκου καὶ θεηλάτου, καὶ οὐκ εἶδες ὅνπερ ἑαυτῷ πυρσεύειν τεταλαιπώρηκας ἥλιον. καὶ νῦν ἐν παραβύστῳ οὐδὲν ἀξιώτερον διατελεῖς, οὐχ ὅπως ὅτι φορτίον ὑπὲρ τὴν δύναμιν ἀναθέσθαι ὑπελιχνεύσω καὶ οἷς μικρὸν παρὰ τὴν ἀξίαν εὖ
25 ἔπραξας εἰς ἀφορμὴν κακοφροσύνης ἐξῴκειλας, ἀλλ' ὅτι μηδὲ τοῖς ἀσεβέσι παρρησιάζεσθαι δίκαιον καὶ τὴν αὐτῶν ἐκπομπεύειν λύμην ἀνθρώποις, κἂν εἰ βραχεῖς τινὰς τῶν ἀστηρίκτων ὑποποιῇ νῦν, ἵνα μὴ καὶ ὁμογνωμόνων σοι λέγω· πιστὸν γὰρ πᾶν εἰς φιλίαν τὸ ὁμοιότροπον, εἴ τί
30 γε δεῖ τῷ εἰρηκότι καλῶς πείθεσθαι.

Οἱ δ' αὐτοί σοι, δοκῶ μοι, καὶ τὸν μουσικὸν χορὸν

5–6 Sir. 15, 9 || **8** Prov. 12, 27 || **13–15** Ps. 91, 8 || **14–15** Ps. 128, 6 || **17–22** Ps. 57, 9–10 || **20–21** cf. Eurip. Or. 2 || **25–26** cf. Sap. 5, 1 || **29–30** Aristot. Rhet. ad Alex. 39, 1446 b 6–7

10 προκεχειρηκόσιν **M** || **28** ὁμογνωμόνων Wk: ὁμογνώμων **M**

συμπληρώσειαν, ὅμοιοι ὁμοίῳ, τῷ μηδ' ὅ τι σχέσις εἰδότι ἁρμονική, μὴ λόγος ἐξ ἀριθμῶν τε καὶ λογισμῶν κατορθούμενος μεγέθους δεόμενος φύσεως ὀξύτητι καὶ εὐμαθείᾳ τὸ πολυσχιδὲς τοῦ μαθήματος περιδρασσομένης, εἰς φθόγγους, εἰς διαστήματα, εἰς γένη τε καὶ συστήματα καὶ 5 *τόνους καὶ μεταβολὰς καὶ τὴν τούτων χρηστικὴν διαιρομένου μελοποιΐαν, κρείττονος ἢ κατὰ παχὺν ἄνθρωπον καὶ ὑώδη καὶ μᾶλλον παντὶ ἢ λογισμοῦ ἐοικότι κυρίῳ καὶ οὐδὲ ὅσον ἐπὶ δακτύλων συσπάσει τε καὶ κλίσει τὰ πρόχειρα ταυτὶ πᾶσι γινώσκοντι. ἀλλὰ γὰρ τί τις καὶ δρῴη* 10 *ψυχὴν πάντολμον καὶ μηδαμοῦ τὸ προβεβλημένον ἐξ εὐηθείας ἀπογινώσκουσαν; ἐμοὶ μὲν οὖν οὕτω ταῦτα, οἶμαι δ' ὅτι καὶ οὐκ ἀσόφως δοκεῖ. πλὴν εἴ τι καὶ κατορθοῦν ἐν τοῖς Ἀριστοξένου καὶ Τιμοθέου πεφιλοτίμησαι, οὐδείς σοι φθόνος τοῦ κατορθώματος· ἔμπνει γεννι-* 15 *κώτερον τῷ αὐλῷ, κἂν εἴ σοι μέλλοι ἡ φίλη Ἀθηνᾶ δ καὶ ἑαυτῇ ποτὲ ἐπιτετευγμένως μωκήσασθαι, ἐπεὶ καὶ αὐτὴ αὐλοῖς προσευκαιροῦσα τὸ πρότερον καὶ τῇ τοῦ πνεύ-* 88v *ματος ἐπιρροίᾳ | τὰς γνάθους κυρτώσασα πρὸς τὸν ῥώθωνα, εἶτα τῇ ἀπρεπείᾳ ἐπιμεμψαμένη – ὕδωρ γὰρ* 20 *αὐτῇ ἐκ τῶν εἰδώλων τὸ σύμπτωμα κατεμήνυεν, – ἐμίσει τε τοὺς αὐλοὺς καὶ κατερρίπτει πρὸς τοὔδαφος. μετὰ δὴ τὸν αὐλὸν κιθάραν μετακεχειρισμένος ὁ μετὰ τὸν Ἑρμῆν τοῦτο μόνον κλεπτίστατος ἔντεινε τὰς χορδάς, τοὺς κόλλοπας συστρεψάμενος ἀνίστη μετεωρότερον τὴν μαγά-* 25 *δα, ὡς ἂν εὐηχότερον ἡ χέλυς τῷ ἑαυτῆς ὑπηχῇ κοίλῳ ἐξ ὑπερδεξίου δονήματος τοῦ πλήκτρου ταῖς νευραῖς ἐπικρέκοντος καὶ τῷ προσήκοντι κανόνι τοὺς φθόγγους πρὸς συμφωνίαν ἐπείγοντος. ἐντεῦθεν θεάτροις καὶ μίμοις τε καὶ προδείκταις καὶ τῇ ἐκεῖ πάσῃ ἀσχημοσύνῃ θεάτριζε* 30 *τὴν σοφίαν, εἰ βούλει Διονυσίοις καὶ δαίμοσιν ἐμπομπεύειν· οὐκ ἔστιν ὁ τοῦτο κωλύσων τὸν καθάπαξ κακο-*

1–7 Aristox. 1, 11–15; 18; 21–22 || **8** cf. Herod. 6, 125, 4

20 *ῥόθωνα* **M**

δαιμόνως ἀποκυλισθέντα τοῦ κρείττονος. τούτοις καὶ
ἀποθύσεις ἀνυποστόλως τῶν σεαυτοῦ ἐγγόνων ῥημάτων
καὶ συμβακχεύσεις τοῖς θιασώταις, τοῖς σειληνοῖς, τοῖς
σατύροις, ταῖς μαινάσι, ταῖς βάκχαις· ἔστιν ᾧτινι τούτων
5 καὶ Ἰκαρίῳ προσχρήσῃ ὡς ὄνῳ σοι ἐφιζάνοντι καὶ τὴν
κατὰ σαυτὸν οἶμον ἐλαύνοντι· ναὶ μὴν καὶ Ἑκάβῃ τινὶ
ἐγκαλλωπίσῃ τῷ γήρᾳ πολλοῖς σοι παραπλησίοις τὴν
ἀθεότητα τῶν εἰς αἰσχρότητα ἀπορρήτων κεκοινωνηκυίᾳ,
ἢ καὶ ἀξιόχρεῳ Ἴριδι τῶν ἀναιδῶν σου καὶ ἀμαθεστάτων
10 κέχρησαι πόνων. τούτοις κατευθύνου, τούτοις κατευοδοῦ,
ὦ τῶν εἰς θωπείαν πάμμεγά τι χρῆμα καὶ βδελυρώτατον·
ἐν τούτοις καὶ τὸ ἐνευδοκιμεῖν ὑμᾶς ἀνεπίζηλον καὶ τὸ
παρευδοκιμεῖν οὐ μεμφόμενον.

Ἐπεὶ ὅτι γε εἰ καὶ πάντα σοι τολμητέα, ἀλλ' οὖν οὐ καὶ
15 τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τὸ βούλημα κατανύσεις, οἰχήσῃ δὲ
πρὸς χάος, οὐχ ἧττον ἢ οἱ πρὸ τοῦ σοι φυλέται, αὐτοῖς
χοίροις, τοῖς σπουδασταῖς σου φημί, καταλλήλως ἀφανι-
ζόμενος – οὕτω γὰρ ἂν καὶ τὸ ἐπώνυμον ὑμῶν ἐπαληθεύοι
ὁ Χοιροσφάκτης, τοῖς χοιριδίοις ἐναριστεύων καὶ συμφθει-
20 ρόμενος· – ἀλλ' εἰ καὶ ταῦτα, ἐμὲ γοῦν ἀνιᾷ τὸ τολμηθὲν
ἀπαρακλήτως καὶ νυκτὸς καταβόσκεται καὶ ἡμέρας οὐκ
ἔχοντα ποῖ καταθεῖναι τῶν τελεσθέντων τὴν ὕβριν· καί
μοι παρίσταται κατὰ καιρὸν ἐκβοᾶν 'ὁ θεός, ἤλθοσαν
ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν
25 σου, ἔθεντο τοῦτον εἰς θέατρον, ᾧ καὶ συγκλύδων ὅμιλος
κατεχρήσατο, τὸ ἐπελθὸν ἐρυγγάνοντες'. καὶ πῶς γὰρ οὐκ
ἐμίανας, πῶς οὐ κατέχρανας, οὕτω γλωσσαλγῶν ἀπηρυ-
θριακότως, οὕτω τοῖς θείοις ἁμιλλᾶσθαι πατράσιν εἰς
ἔργον τιθέμενος; τίς ὤν; Ἰαννής τε καὶ Ἰαμβρῆς,
30 Μωϋσεῖ μὲν ἀντι|καθιστάμενος τοῖς τεραστίοις, ἀλλ' 89r
οὖν μένων καὶ οὕτως Νειλῷος φαρμακός, εἰς φάσμα τὸ
σοφόν σου διαλυόμενος; ἢ καὶ Σαλμωνεὺς ἄλλος, προσέτι

5–6 CPG I 314; II 217 || **16–18** Mt. 8, 28–34; Mc. 5, 1–19; Luc. 8, 26–39 || **23–24** Ps. 78, 1 || **29–30** 2 Tim. 3, 8

14 ὅτι] τοί ci. Kurtz || **30** ἀντικαθιστάμενος] aut -ος aut -οι **M**

καὶ ὁ Λατῖνος Ἀμούλλιος, βροντᾶν μὲν ἐπανηρημένος ᾗπερ κἀκεῖνοι, ἐκ βύρσης δέ; τὸ γάρ τοι Ἀβειρὼμ καὶ Κορὲ καὶ Δαθὰν εὐξαίμην ἄν, μᾶλλον δὲ πέποιθα συγκυρῆσαί σοι τοῖς ἐκ θεοῦ καὶ αὐτῷ τὴν ἱερὰν στρατηγίαν λαχοῦσι καὶ τελετὴν οὕτω ποθοῦντι μανιωδῶς παρεξ- 5 άγεσθαι. τί δέ; τὸ Ὀζᾶ τῆς διακοπῆς ἔνδικον πάθος ἆρ' ἐκφεύξῃ, ὃς τὴν τοῦ θεοῦ κιβωτὸν τῆς ἁμάξης κατολισθαίνουσαν τολμηρῶς ὑπερείσας, ὅτι μηδὲ τοῦ κλήρου τῶν οἷς ἀνεῖται καθίστατο τῶν τοιούτων; τίς ἀπ' ἐλπίδος τῶν εἰς εὐλάβειαν θείαν παραγγελλόντων ἡγήσεται; 10 ὢ τῆς ἀτόπου καὶ ἀλαζόνος φιλοτιμίας· ὢ τοῦ σχετλίου θεάματος καὶ ἀκούσματος. ἴδομεν καὶ νῦν ὡς μὴ ὤφελεν, τεθεάμεθα τὸ τῆς ἐρημώσεως βδέλυγμα ἑστὼς ἐν τόπῳ ἁγίῳ καὶ στόμα μακρὰν μὲν φλυαρίαν συνεῖρον, οὐχ ὡς ὁ νόμος δὲ τοῦ κυρίου, οὐκέτι τὰ τῆς ἐρημώσεως ἀπι- 15 στούμενα, οὐκέτι τὰ τῆς ἱερᾶς ἁγιστείας οὐ κατολιγωρούμενα.

Ἀλλ' ὢ πάντων ἀνθρώπων ἐλεεινότατε καὶ θρασύτατε καὶ ἀπαιδευτότατε, κἀκείνοις οἷς παρισοῦσθαι τολμᾷς ἀπ' ἐναντίας τῇ γνώμῃ φερόμενε· οὐδὲ τοῦ θείου τὸν λόγον 20 Γρηγορίου, ᾧ δῆθεν ἀμφήριστος φῦναι ἀποθρασυνάμενος τῷ χαρακτῆρι τοῦ στόματος ἀετῷ κάνθαρος ἀναφαίνῃ, τῇ ἐπισκήψει ἐπέστησας 'οὐ παντὸς φιλοσοφοῦντος, ὦ οὗτοι, οὐ παντὸς περὶ θεοῦ φθέγγεσθαι'; ἢ καὶ τοῦτο ἐπὶ σοὶ πρὸς ἀλήθειαν ἀφορᾷ, ὡς τὸ μὲν ἀκοῦσαι καὶ ὄνῳ 25 λύρας εἰς πρᾶγμα οὐδέν, διατεθῆναι δὲ ὡς ἂν τοῖς λόγοις σκοπὸς οὔ τί γε ἀνδρὸς κατὰ τοὺς πολλούς, οὐ τῶν μὴ λόγον προστησαμένων τοῦ βίου συλλήπτορα; ἀνθ' ὧν ὅτι θηρίον ἀπαιδευσίᾳ πιεζόμενον καὶ ἐλαυνόμενον ἀλογίᾳ τοῦ γνόφῳ τε καὶ θυέλλῃ κατακαλυπτομένου ὄρους εἰς 30

2–4 Num. 16 || **6–9** 2 Reg. 6, 6–8; 1 Par. 13, 9–11 || **13–14** Mt. 24, 15 || **20–24** Greg. Naz. Or. 27, 3, PG 36, 13 C 10–11 || **22** cf. CPG I 6; II 11 || **25–26** CPG I 291; II 563 || **28** – p. 207, 5 Ex. 19, 13; Greg. Naz. Or. 28, 2, PG 36, 28 B 5–14 || **30** Ex. 19, 16

1 ἐπανηρημένος Kurtz: -οι **M** || **2** ᾗπερ Cs: ἥπερ **M** || **9** τῶν τοιούτων] τὸ τοιοῦτον ci. Kurtz

ἀθεώρητον ἀνιέροις καὶ τούτοις τὸ κατὰ κορυφὴν θεῖον πῦρ περιστέλλοντος θίγειν ἐτόλμησας, κἂν εἴ σοι διαπαίζεται ταῦτα τῇ ἀθεότητι ἀπιστούμενα, λίθοις, στερροῖς φημὶ λόγοις, βληθείης καὶ βολίσιν, ὀνείδεσι, πρὸς ἀξίαν
5 *πόρρωθεν κατατοξευθείης· καὶ οὕτως ἀπέλθοις ἐκ τῶν ἁγίων τῇ τοῦ Ὀζίου λέπρᾳ καταισχυνόμενος. ἀλλ' εἰ μὴ παντὸς τὸ θεολογεῖν, Χριστιανῶν δὲ πάντως, οὐ δήπου γὰρ φῶμεν Ἑλλήνων, ἦ πού γε σοὶ ἀθέῳ τε καὶ ἀλάστορι, ὅτι μηδὲ δαίμοσιν ἐφεῖται θεολογεῖν, ἀλλ' ἐπιτιμᾶται*
10 *σιγᾶν, οὐχ ἧττον ἢ καὶ ὑμῖν νῦν. τί δαὶ καὶ θεολογήσεις, τί καὶ τῶν περισπουδάστων σοι κατὰ κωμῳδίαν Ἑλλήνων ἐπιμνησθείης; θεολογεῖν ἀναιδεύ|σαιτο ὁ τὴν ἀπὸ γενεᾶς* 89ᵛ *πίστιν ἀπομαθὼν καὶ ἐξομοσάμενος, τὰ δὲ τῶν Ἑλλήνων μεταμαθών τε καὶ θαῦμα ποιούμενος, εἰ καὶ νῦν ἀπίστως*
15 *καὶ δολερῶς ἐξορχούμενος; τῆς ταχυτῆτός τε καὶ κουφότητος. καὶ ποῦ σοι στῆναι λοιπόν, βέλτιστε, ὅτι καὶ θεολογῶν θεοχόλωτος καὶ τὰ Ἑλλήνων χλευάζων εἰς πίστιν οὐκ εὔσημος, ἀλλὰ καὶ οὕτως κἀκείνως ἐμβρόντητος, οὐ μᾶλλον τῆς ἐμπληξίας ἢ τοῦ ἀνεπερείστου ἀναβοώμενος*
20 *καὶ μισούμενος, ἕτερον τρόπον τὸ τῶν ἰκτίνων τοῦ μύθου παθών;*

Ἀλλ' ἵνα σου καὶ τὸ σοφὸν καὶ ἀπόρρητον ἀκριβέστερόν τε καὶ κατὰ σκινδαλμοὺς ἐκλαλήσωμεν τῶν φθασάντων, οὐχὶ θεολογοῦντος – οὐδὲ γὰρ μύρον διὰ βορβόρου πέφυκε
25 *ῥεῖν – οὐδὲ τιμῶντος τοὺς θείους θεράποντας οἱ νῦν φλήναφοι. τίνας γὰρ καὶ τιμήσεις, ὧν τὸν ἀρχηγόν τε καὶ κύριον Ἰησοῦν, τὸν υἱὸν τοῦ θεοῦ καὶ θεόν, ὅσαι ἡμέραι κακηγορῶν οὐκ ἀνῆκας καὶ κατακόρως; πολλοῖς τούτου κεχρήσομαι μάρτυσι τοῦ θείου ζηλωταῖς θερμοτάτοις, οἳ*
30 *τὴν σὴν ἀθεΐαν τέως ἀπήλεγξαν, οὐ μεῖον καὶ τῷ ὑμετέρῳ υἱῷ, ἀνθ' ὧν αὐτῷ καὶ μεγαλωφελέστατον παρέσχου μισθόν, εἰς τὴν ἀφ' ὑμῶν λῆξιν ἐπηρεάσας, εἰ καὶ συνοί-*

5–6 2 Par. 26, 19–23 || **9–10** Mc. 1, 24–25; 34; 3, 11–12; Luc. 4, 41 || **20** Fab. Aesop. 315 Hausrath

8 *γέ σοι* M

σειν ἔμελλε τὸ ζημίωμα, ἀθέου κλήρου καὶ ἐξαγίστου μηδέν τι μετέχοντι, μηδὲ μικρᾷ ζύμῃ ὅλῳ λελυμάνθαι φυράματι. οὔκουν τιμῶντος τὸ διαβούλιον· αἰσχρὸν γὰρ καὶ λίαν ἀνόητον, κανθάρων πόνῳ φιλοτιμεῖσθαι τοὺς μύρων ἀπόζοντας· ἀφ' οὗπερ οὐδὲ τιμήσονται τοῖς ἀτίμοις 5 *οἱ τοῦ κρείττονος θεραπευταὶ καὶ ἐπήβολοι, ὅτι μηδὲ τοῖς ἐξ Ἰουλιανοῦ ἀναδομουμένοις αὐτοῖς τεμενίσμασιν, οὐδὲ καθ' ἑαυτῶν ἀμήσονται κόνιν βλασφήμῳ παραχωροῦντες τὸν ἔπαινον, ᾧ ζῶντες εἴπερ ἀντιβολεῖν ἐξεγένετο ἄλλῳ χαλεπωτέρῳ Φαλάριδι ἢ καὶ Διομήδει τῷ Θρᾳκὶ* 10 *συντετυχήκεσαν ἄν, ὡς καὶ παιδιὰν ἀποφανθῆναι τοῖς νῦν εἰς ὠμότητα προβᾶσι τὰ τούτοις ἐπενεχθέντα παραβαλλόμενα. καὶ τί τὸ πονηρὸν διαβούλιον; ἀποσυλῶντί σοι, τῷ μηδὲ τῶν βασιλικῶν δώρων τὰς χεῖρας ἁγνεύσαντι, μᾶλλον δὲ σπαράσσοντί τι καὶ παρασπῶντι τῶν τοῖς πατράσιν* 15 *ἢ καί τισιν ἄλλοις κομψῶς εἰρημένον καὶ ταῦτα χύδην τε καὶ εἰκῇ συμφοροῦντι τοῖς σπουδασταῖς ἐπιδείκνυσθαι, οὐ νόθους ἀλλ' ἑαυτοῦ γνησίας ταύτα γονὰς πείθοντι· οἳ δὴ πολλῇ πελαγιζόμενοι τῇ κορύζῃ, ὡς καὶ τίθης δεῖσθαι λοιπόν, πῶς ἂν οἱ τοιοῦτοι τὰ φώρια διακρίνοιεν ἢ ταῖς* 20 *ἰσχναῖς καὶ μόνοις τοῖς νήφουσι κατοπτευομέναις διαμαρτίαις ὑμῶν ἐπιβάλοιεν; οἳ μηδὲ ταῖς κατὰ πίθου σκιὰν διαβλέποντες ἄγονταί τε καὶ φέρονται οἷ τὸ συμπνῖγον ὑμᾶς πονηρότατον ἑλκύσειε πνεῦμα· καὶ οὐκ αὐτοὶ μόνοι,* 90ʳ *ἀλλὰ καὶ τούτους | ὅσοι κατ' αὐτοὺς ἀπηλγήκασι τὴν* 25 *σωτηρίαν πρὸς τὸν αὐτὸν ὄλεθρον ἐπισπώμενοι. ταύτῃ τοι φατρίαν οὐκ εὐαγῆ περιπεποιημένῳ προβῆναί σοι καθ' ὁδόν, ὃ μηδ' εἰ τελοῖτο πιστεύσειας, οὐκ ἀπ' ἐλπίδος καὶ τὰ ἐνδέοντα.*

11 mg. *τὸ ἑξῆς οὕτως· 'ὡς καὶ παιδιὰν ἀποφανθῆναι τὰ τούτοις ἐπενεχθέντα τοῖς νῦν εἰς ὠμότητα προβᾶσι παραβαλλόμενα'.* 30

2—3 1 Cor. 5, 6; Gal. 5, 9 || **4** Aesch. frg. 233 Sidgwick (schol. Aristoph. Pac. 73) || **8** CPG I 423 || **19—20** Plat. Reip. I 343 a 3–9 || **23—24** 1 Reg. 16, 14; 15

16 *εἰρημένον*] -*ων* Cs || **22** *οἳ* Cs: *οἱ* **M** || **27** *εὐαγῆ* Wk: *ἐναγῆ* ut vid. **M** (Cs)

Ἑνὸς μὲν οὖν τούτου καὶ πρώτου ὁ κινδυνώδης τε καὶ ὀλέθριος ὑμῖν πλοῦς μεμηχάνηται· δευτέρου δὲ τίνος καὶ κατ᾽ οὐδὲν φαυλοτέρου τοῦ πρώτου εἰς κακεντρέχειαν; εἴρηται μὲν ὡς τοῖς κρατοῦσιν μέμψιν ὑφαίνων καὶ τούτους
5 εἰς ἀσυνεσίαν τε καὶ ἀναισθησίαν τῶν περὶ αὐτοὺς ἀρχόντων ὅσα γε πρὸς ἐκλογὴν ἀποσκώπτων ταύτῃ προσάγεις, ἅτε τοσοῦτον δῆθεν ἄνδρα παραγκωνισαμένοις καὶ τοῦ πολιτεύεσθαι καταπαύσασιν. καίτοι εἴ τι καὶ ἄλλο, οὐδὲν οὔτοι τοιοῦτο οὐδ᾽ αὖ χαριέστερον τούτου τῶν εἰς σωφρο-
10 σύνην ἀπονευόντων καὶ θεοσέβειαν ἔχοιεν ἐπιδείκνυσθαι, ἄνδρα λοιμόν, ἄνδρα βωμολοχίᾳ τοὺς πώποτε φημιζομένους ἀποκρυψάμενον τῆς πολιτείας ἀποκρουσάμενοι, παρ᾽ ὅ γε καὶ εἴ τι εὐετηρίας ἐγεύσατο τῷ καταπτύστῳ τούτῳ ἐπιτηδεύματι καρπωσάμενον. ἢ γὰρ οὐχὶ καὶ νῦν
15 τῶν συγγινομένων ὑμῖν μόνον οὐ κροκύδας ἀφαιρῇ, τὰς χεῖρας κατὰ τοὺς ἐμβροντήτους γνωστικοὺς διαψηλαφῶν, μειδιάματι χρηστῷ δεξιούμενος, τῇ γνώμῃ συντρέχων καὶ εἴ τι ἄλλο τῆς κολακείας ἐστὶ γνώρισμα θερμότητι πάσῃ καταπραττόμενος; οἷς τοὺς μὲν νωθεστέρους εἷλες ἂν καὶ
20 πρὸς φιλίαν συνέδησας, τοῖς ἀνδρώδεσι δὲ καὶ γενναιοτέροις ὕλην παρέσχες τοῦ μίσους, τὸ ὑπερβάλλον μυσαττομένοις τοῦ πράγματος.

Ἀλλὰ τὸ μὲν λέλεκται, οὐκ οἶδα δ᾽ εἰ καὶ καθ᾽ ὅσον εἰπεῖν ἄξιον· τὸ δ᾽ οὖν κεφάλαιον τούτου, καὶ δι᾽ ἃ τὸ
25 βδελυρόν σοι παγκράτιον συγκεκρότηται, μωμεῖσθαι τοὺς ἀοιδίμους πατέρας τὸ σπούδασμα καὶ μὴ πλέον ἀποφαίνειν ὑμῶν αὐτοὺς ἀποφέρεσθαι, μὴ βίου σεμνότητα, μὴ λόγων στερρότητα, ἀλλ᾽ ἐφ᾽ ὁμοίοις ὑμῖν τὸν βίον καταγελάστως ἀπηντληκότας τὰ μὲν ἄλλα τῷ χρόνῳ
30 ἀφανισθῆναι, τὸν λόγον δὲ νῦν μόνον περιποιεῖν αὐτοῖς τὸ μακάριον, ὅπερ οὐδ᾽ ἂν αὐτὸς ὁ τοῦ ψεύδους πατήρ, εἰ μὴ σοὶ γλώσσῃ χρησάμενος νῦν ἐξηρεύξατο. τοῦτό σου τὸ

2 CPG I 359; II 24 ‖ **15** Theophr. Char. 2, 3

32 *μή σοι* M

κατὰ τῶν πατέρων σκευώρημα, αὕτη ἡ ἐκ κακούργου σου γνώμης διαβολὴ καὶ τὰ κατ᾽ ἐκείνων νεανιεύματα. ἐπεὶ ὅτι γε ἄλλως σοι ληρεῖν περιγίνεται, οὐκ ἄδηλον οὐδενί. τί γὰρ ἡ σὴ περὶ λόγους ὡς οἴει σπουδή, εἰ μὴ κατὰ Δημάδην ὑμῖν καὶ Ὑπέρβολον προσπεπόρισται, τῶν εἴ τι 5
καὶ ἐνδεῶς ἔσχε τῇ τοῦ θεοῦ ἀνεπλήρωσεν ἐκκλησίᾳ; νηστείας εἰσήγησιν; ἀλλὰ Βασιλείου καὶ πράξει καὶ λόγῳ σαλπίσαντος καὶ παρακαλέσαντος τοὺς εὐσεβείας πρὸς τοῦτο τροφίμους, τίς ἂν ἔτι ἀνάσχοιτο Χοιροσφάκτου νηστεύειν δημηγοροῦντος; ὃς πρὸς οἷς ἄλλοις ἠσέλγησεν, 10
ἔτι καὶ τῷ μεγάλῳ καὶ θείῳ σαββάτῳ νυκτὸς ὄρνιθα θύσας καὶ ταύτην καθ᾽ ἡδονὴν αὐτῷ καρυκεύσας, ὄρθρον
90ᵛ *ἐγνωκὼς ἐπιφαίνοντα | πρὸς θοίνην ἐχρῆτο καὶ τῶν σαρκῶν ἐντραγὼν ὅσον εἰς ἐξουσίαν, ὀλίγον ὑπνώσας, εἶτ᾽ ἀναστὰς καὶ στόμα καὶ χεῖρας ἀφαγνισάμενος τῇ συγ-* 15
κλήτῳ συνῄει βουλῇ καὶ πρὸς ἑσπέραν μετεῖχε τοῦ θειοτάτου Χριστοῦ δεῖπνου, ὁ δαιμόνων ἅμα πρωῒ κοινωνήσας τραπέζης καὶ ποτηρίου. ὢ τῆς ἀνεικάστου θεοῦ μακροθυμίας· ὢ τῆς τοῦ καταφρονητοῦ ὑπερβλυζούσης μανίας. εἶτα τούτῳ νηστείας, τούτῳ ἁγνισμοῦ, τούτῳ ἐγκρατείας 20
ὑφηγητῇ δίκαιον χρήσασθαι, ἀλλ᾽ οὐχὶ βόθρῳ, οὐ ξίφει, οὐ καταποντισμῷ ἀπολέσθαι, εἴπερ ἐπαληθεύοι ὁ ταῦτα ἡμῖν ἱστορήσας υἱός; ἀλλ᾽ εἰ καὶ μὴ ταῦτα, Χοιροσφάκτῃ δ᾽ οὖν ὅμως εἰς ἐγκράτειαν παραγγέλλοντι τίς ἕψεται; ἐπιδεικνυμένην πίστιν, ὦ τᾶν, ἀπαγγέλλει δίκαιος 25
καὶ οἷς αὐτός τις ἐνασκησάμενος κατορθώσειεν ἕλξειν καὶ τοὺς λοιποὺς οὐκ ἀπέγνωκεν. ἀλλὰ θεολογίας τριαδικὴν ἔκφανσιν; ἥσθην Ἐπικουρείῳ τριαδομάχῳ καὶ πλήρει δαιμόνων ἀνθρώπῳ περὶ τριάδος θεολογοῦντι. τί δαί; σεμνότερον ἀποχρήσῃ Γρηγορίου τῷ λόγῳ, τὸν ἄνδρα 30
πρότερον ὁ ἀκάθαρτος ἀνακαθάρας, ᾧ τοῦτο μόγις μεθεῖ-

7–9 Bas. de ieiunio, PG 31, 163–198 (164 A 1–2) ‖ **25** Prov. 12, 17 ‖ **30** — p. 211, 2 Greg. Naz. Orr. 27–31

6 *ἔσχε* Wk: *-ες* **M** ‖ **25** *ὦ τ᾽ ἄν* (ʽex ˜) **M** ‖ **26** *ἕλξειν*] *ἕξειν*, sed *λ* s. l. ins. ut vid., **M**

ται τὸ ὑπερφυέστατον καὶ κρεῖττον ἀνθρωπίνης σχεδὸν ἕξεως; ἀλλὰ περὶ τῆς ἐν σαρκὶ τοῦ λόγου οἰκονομίας φρυάξῃ ἐρεῖν; ἀλλ' ὁ χρυσοῦς Ἰωάννης βροντήσας οἷον οὐράνιον ἐμποδὼν στήσεται σὺν Ἀθανασίῳ τῷ θείῳ τῷ
5 μηδὲ κατὰ χαλκοῦ ῥύπον τὸν τεθνεῶτα φέροντι λόγον. ἄλλως τε οὐδ' ἡ τῶν πιστῶν ἀκοὴ χρυσείων ἀλλάξεται χάλκεα, ἀλλ' ἀποπηδήσεται τοῦ νεώ, ποτίμῳ λόγῳ μὴ ἁλμυρὰν ἀκοὴν ἐπεισάγουσα, ὅπερ καλῶς ποιοῦντες κατέπραξαν οἱ πνεύματι θείῳ κατάληπτοι, τῆς φλυαρίας ὑμῶν
10 ἐναρχομένης θεοφιλῶς δραπετεύσαντες. ἢ οὕτω καὶ Σαδδουκαίους τοῦ περὶ ἀναστάσεως παραχωρήσομεν δόγματος καὶ διδασκάλους αὐτοὺς ἀναβιώσεως ἀναβιβασόμεθα· ὧν οὐ μακρὰν εἶ, οὐχ ὅπως ἀνάστασιν ἀθετῶν, εἰ μὴ καὶ πνεῦμα καὶ πᾶσαν τὴν περὶ θεὸν νοερὰν λειτουργίαν
15 εἰς ἀνυπαρξίαν ἐκβιαζόμενος, ὡσπερεὶ διαφθονούμενος τούτῳ, εἰ ἔρημος ὢν αὐτὸς θεραπείας θεὸς ἔχοι θεράποντας· ἤ, ὅπερ καὶ ἀληθέστερον, τῇ ἀναιρέσει τῆς νοερᾶς οὐσιώσεως καὶ τὸ τῆς ψυχῆς ἀθάνατον ἀφαιρούμενος καὶ τὴν εἰς ἀγγέλους τῶν ἁγίων μετάταξιν. τῆς γὰρ ἀΰλου
20 τάξεως μὴ ὑφεστηκυίας πρὸς τίνα μεταχωρήσει τὰ τῶν ἐνταῦθα πνεύματα κατωρθωκότων; καὶ τίνα τιμὴν λήψεται μὴ ὄντων ὧν πρὸς τὴν δόξαν ἀφομοιώσεται; εἶτα τοιοῦτος ὢν ἐγκώμια γράψεις ὁσίων ἀνδρῶν, ὁ τῶν θεοῦ φίλων ἀναιρέτης καὶ ὑβριστής τε καὶ χλευαστής, καὶ πᾶν
25 ὅ τι καὶ Ἰουδαῖοι πρὸς ἀτιμίαν τούτοις ἀμώμενος;

Ἀλλὰ προσήσεται ταῦτα ἡ πλήρης παντὸς ἀγαθοῦ | τῶν 91[r] πιστῶν ἐκκλησία; ἀλλὰ ἀνέξεται δαιμονομανοῦντος καὶ δαιμονῶντος ἤδη λαμπρῶς, ὡς σῶμα, καὶ τὴν ψυχήν; ἢ οὐχὶ χρόνος οὔπω μακρὸς καθ' ὃν ἐπιλήψεως πάθει τὴν
30 ἔνοικον παρεδήλου σκαιότητα, διαστραφέντος μέν σοι τοῦ βλασφήμου καὶ μιαροῦ στόματος, παρακοπῇ δὲ περιφανεῖ

3 Chrys. de trinit., PG 48, 1087–1096? ‖ **4–5** Athan. de incarn., PG 26, 983–1028 ‖ **6–7** Hom. *Z* 236 ‖ **7–8** Plat. Phaedr. 243d 4–5 ‖ **10–12** Act. 23, 8

τοῦ ψυχαρίου σοι τοῦ ἀθλίου παρακεκινημένου; οὐ παραδέξεται, οὐκ ἀνέξεται, ὅτι μηδὲ τὰ τοῦ Κάϊν δῶρα θεός, οὐκ εἰς ταμεῖα βιβλίων ἐναποθείη, ἀλλ' εἰς κόμπον ὀδόντων σαπρίᾳ καὶ δυσωδίᾳ ὅσῃ πλείστῃ καταπλουτούντων ὁ μιαρὸς ἀπολήξει σοι τόκος, καὶ μίσθωμα 5 πόρνης ἁγνὸς οὐ μερίσεται. ἀλλά γε δὴ καὶ πρὸς τούτοις ἐπακούσῃ καὶ ταῦτα· 'τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματος;' ὃς μισῶν θείαν παιδείαν καὶ τοὺς ἀπροσίτους σοι λόγους διαστρέφειν πειρώμενος 10 ἀμείνονι ἂν συνεκύρησας λυσσήσας διαδηλότερον καὶ τὴν ἐνδομυχοῦσαν παρρησιάσας κακότητα ἤπερ σοφός τις εἶναι σκηπτόμενος καταγελάστως οὕτω τοῖς σωφρονοῦσιν ἀπέρχεσθαι. καταργήθητι τοίνυν ἀπὸ Χριστοῦ καὶ ἀπὸ εὐσεβείας ἀπότρεχε, μηδέ, τὸ ἀναιδέστατόν σου τοῦτο, 15 λοιπὸν ἡμῖν γίνου δι' ὄχλου· τὴν δὲ κατὰ σαυτὸν μέτιθι, μετὰ τοῦ Τυρίου γέροντος, μετὰ τοῦ δυσσεβοῦς Ἰουλιανοῦ ἐξαφανιζόμενος, ὧν θαυμαστής τε καὶ ζηλωτὴς τῶν λόγων, ἤδη δὲ καὶ συμμέτοχος καὶ ὢν καὶ ἐναριθμούμενος, εἰς τὴν Ἀχερουσίαν, εἰς τὸν Κωκυτόν, εἰς τὸν Τάρταρον, εἰς 20 τὸν Ἀχέροντα καὶ Πυριφλεγέθοντα, οὗ καὶ τοὺς ἐναμίλλως βιοῦντας ὑμῖν ὁ σοφὸς ὑμῶν Πλάτων ἀπέπεμψεν. ταῦτα σπουδάζοντος, ἀλλ' οὐ παίζοντος· τί γὰρ παίζειν ἔδει ἐν οἷς τὸ πρὸς θεὸν τοῦ ταῦτα πραγματευομένου ἀνόσιον μῖσος εἰς ἔχθραν αὐτοῦ δικαίαν τοὺς εὐσεβείας ὑπασπι- 25 στὰς προηγάγετο;

24 mg. *τοῦ 'τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι' παρῳδία τοῦτο.*

2 Gen. 4, 5 || **3–4** cf. Hom. *Λ* 417; *M* 149 || **5–6** Deut. 23, 19 || **7–9** Ps. 49, 16 || **14** Gal. 5, 4 || **16–22** cf. Greg. Naz. Or. 5, 38; 41 || **16** cf. CPG I 314; II 217; Act. 1, 25 || **19–22** Plat. Phaed. 112e 4–114b 6 || **23–26** Ps. 138, 21–22

1 *σοὶ* **M** || **12** *ἤπερ* Cs: *ἦπερ* **M** || **14** *ἀπέρχεσθαι* Kurtz: *ἀπέχεσθαι* **M** || **15** *εὐσεβείας* Kurtz: *ἀσεβείας* **M**

22

Κοσμᾷ μαγίστρῳ παραμυθητικὸς ἐπὶ γαμβρῷ τεθνηκότι

Alteram epistulam ad hunc Cosmam habes infra, Op. 30. eius generum Ioannem mysticum Romanus imperator a. 925 administratione reipublicae summovit; sed quia non multo post, vivo etiamtum Ioanne, Cosmas ipse magistratu motus est, de alio quodam affine hic agitur.

Ἄλλῳ μὲν τοὺς παρακλητικοὺς ἐκτιθέμενοι λόγους, ἀνδρὶ πολὺ μὲν τοῦ παρόντος βίου τοῦ κυκεῶνος σπᾶν
5 *εἰωθότος, μικρὰ δὲ ἢ οὐδαμῶς ἔχοντι διαβλέπειν πρὸς τὸ ἑστώς τε καὶ ἀνεπηρέαστον τῶν ὅσα τῇ ἀνθρωπίνῃ καὶ καθ' ἡμᾶς ἀσταθμήτῳ ἐφεδρεύει ζωῇ οὐδέ τι τούτων πεφροντικότι, εἰκότως ἂν συμπεριφερόμενόν με τῷ τηθαλαδουμένῳ καὶ τοὺς συμμέτρους καὶ καταλλήλους*
10 *ἐπισωρεύειν αὐτῷ λόγους, πλῆθος ὑπαγόμενον ὑποδειγμάτων ἐφ' ὁμοίοις τοῖς πάθεσι τὸ ἀνδρικόν τε καὶ ἀπρόσιτον τῇ περιαγωγῇ ἐπιδεδειγμένων· οἷον τὴν Ἀργείαν φημὶ ἱέρειαν ἐκείνην, ἣν ἐπὶ τὸ θῦσαι ἐπειγομένην, εἶτα τοῦ ζεύγους τῶν τὴν ἀπήνην ἑλκυσόντων*
15 *βοῶν ἐφυστερούντων ἡ τῶν τέκνων δυὰς τὸν ζύγον ὑποδύντες ἦγον τὴν φύσασαν οὗπερ τὸ θύειν ἐπέτρεπεν. ἡ δὲ ἀντισηκοῦσα τὸν φιλομήτορα πόνον ᾔτει πρὸς τοῦ κρείττονος τοῖς παισὶ τὴν ἀντέκτισιν, ἀνεύ|ρισκε δὲ θάνατον τοῖς φιλτάτοις ὡς οὐκ ἂν ὄντος ἄλλου κρείττονος* 91ᵛ

12—p. 214, 1 Herod. 1, 31

16 *φύσασαν* Wk: *φείσασαν* M

ἀνθρώπῳ θανάτου. πρὸς τούτῳ καὶ τὸ Πινδάρου τοῦ μελοποιοῦ παρεφέρομεν ἄν, ὃς τὸν Λίβυν τὸν Ἄμμωνα ᾠδῇ τινὶ δεξιωσάμενος θαυμαστῇ ἀντιδεξίωσιν εἶχε θάνατον. παρεκομίζομεν δ' ἂν καὶ τὸν Γερήνιον γέροντα, ᾧ τὸ Ἀντιλόχου τοῦ παιδὸς περιαγγελθὲν πάθος οὐδὲν ἀπο- 5 *λοφύρασθαι περιῆν, τοσοῦτον ἐπειπόντι ἐπὶ συμμέτρῳ τῇ ἀπὸ τῶν ὀμμάτων λιβάδι, εἰδέναι θνητὸν ὄντα φῦσαι θνητόν.*

Κἀκείνῳ μὲν τῷ χαμαὶ συρομένῳ καὶ γνῶσιν καὶ γένος τὰ τοιαῦτα προσήγομεν ἀκεσώδυνα· σοὶ δὲ τίνα, καὶ παρὰ 10 *τίνα τὸν καιρόν; ὅτ' ἐπειγομένου τοῦ ἄλγους προσήγορον ἤδη καὶ τὸ δῶρον ῥᾴθην ἔσεσθαι, τοῖς Ἀσκληπιάδαις ὑπαγόμενος κἂν τούτῳ, οἳ πέπονα φαρμακεύειν ὑποβάλλονται καὶ κινεῖν, μὴ ὠμὰ μηδὲ ἐν ἀρχῇ τοῦ συμπτώματος. κἂν γὰρ εὐγενὴς ὑμῖν ἡ φυὴ καὶ ἄνωθεν ἐκ* 15 *τοῦ πατροθείου τὸ μακάριον ἐπανθῇ, ἀλλ' ὅμως τῷ τοῦ ἀρχηγέτου βροτοῖς ὑποσμυχόμενοι φθαρτῷ προσκληρώματι οὐκ ἔσθ' ὅπως μὴ τῷ αἰτιάματι τῆς ῥίζης καὶ τοὺς καρποὺς ὑποφέρεσθαι. τοιγάρτοι τῷ παρακμάζοντι κακῷ ἐκεῖνα προσάγειν κεκρίκαμεν, οὐχ ὡς ἀγνῶτι – τίνι γὰρ* 20 *τούτῳ; ᾧ σοφία ὅση θνητή, ὅση θεία περιλιμνάζουσα τὸ ἄκρον μνηστεύεται τῶν νῦν ἐν τῷ παρόντι τὸ εὐδόκιμον ἀποφερομένων – ἀλλ' ἐπειδὴ τοῖς λύπῃ κατασχέτοις οἱονεὶ λιγνυώδεις ἀναθυμιάσεις αἱ τῆς περιπετείας διαπνεόμεναι τῷ ἀκριβεῖ λυμαίνεσθαι πεφύκασι τοῦ τῆς* 25 *ψυχῆς ὀφθαλμοῦ, ὡς μὴ καθαρῶς τὸ ἑαυτοῦ κατανύειν, ἡμεῖς οἱ ἔξω τοῦ πάθους ποσῶς ἐπίληθον τοῦτο καὶ νηπενθὲς ἐπαλείφομεν φάρμακον, ἐκεῖνο ἐπᾴδοντες, φείσασθαι ἀχρειοῦν τὸ ἐπιστίλβον σοι ἐκ γένους μακάριον, καὶ πρὸ τούτου τῷ τοῦ θείου Παύλου τῆς διδασκαλίας* 30 *σοφῷ ῥεύματι μὴ ἀντίξοος φέρεσθαι, ὡς οὔτε τῷ τε-*

1–4 Vit. Pind. 2, 19–21 Drachmann; Plut. Cons. ad Ap. 14, 109 A || **4–8** cf. Diog. Laert. 2, 13 || **12–15** Hippocr. Aphor. 1, 22 || **27–28** Hom. δ 220–221 || **30–31** 1 Thess. 4, 13–18

17 *προσκληρώματι* Wk: *-ρήματι* **M**

θνεῶτι πρὸς ἀγαθοῦ, οὐ τῷ πέρα τοῦ δέοντος πενθιζομένῳ. τὸν μὲν γὰρ ζημιοῖ τῶν μεθ' ἧς ἐν βίῳ κατώρθωκε γερῶν χρηστῆς ἐλπίδος τὸ δοξάριον ἀμαυρώσας, τὸν δὲ τῆς ἀποκειμένης ἡμῖν παλινζωΐας ἀπ' ἐλπίδος τὴν ἐνδημίαν
5 *ποιεῖσθαι· οὗ τί ἂν ἄλλο ζημιωδέστερον ἀνδρὶ Χριστιανῷ καὶ μὴ τῷ βίῳ τὴν ὕπαρξιν εἰδότι συγκαταλύεσθαι; εἰ γὰρ μὴ τοῦτο, ἀλλὰ προσδοκία ἀναβιώσεως, τίς τὸν μικρὸν ἡμᾶς ἀπολιπόντα καὶ πρὸς τὴν ἀποκειμένην οἰχόμενον πᾶσι ταμίευσιν θρηνῶν τοῖς σώφροσι προσ-*
10 *λογιεῖται;*

Διά τοι τοῦτο εἰς ἑαυτοὺς συννενευκότες καὶ τὰ ἐναπόθετα τῇ ψυχῇ ἀγαθὰ περὶ τῶν ἐπ' ἐλπίδι ζωῆς αἰωνίου κεκοιμημένων ἀνασοβοῦντες παυσώμεθα θρήνων ἀλόγων· παυσόμεθα δέ, ἵνα καὶ γυναικὶ καὶ φίλοις τοῦ ἀποιχο-
15 *μένου καὶ τῷ λοιπῷ συγγενικῷ τούτου φύλῳ τὸ μακροπενθὲς ἐκ τοῦ καθ' ἑαυτοὺς ὑποδείγματος μετριάσωμεν, τὸ τοῦ βίου ὑπόλοιπον αὐτοῖς τῷ ταμίᾳ τῶν ἀγαθῶν θεῷ ἐπιτρέψαντες, ὃς οἶδεν ὀρφανὸν καὶ χήραν ἀναλαμ|βάνεσθαι κηδεμονικῶς καὶ τὰ πρὸς χρείαν ἀγαθοδότως* 92r
20 *ἐπιχορηγεῖν, οὐχ ὅπως ἀνθρώποις, τῷ τιμιωτάτῳ αὐτοῦ ἔργῳ, ἀλλὰ καὶ τῇ λοιπῇ αὐτοῦ κτίσει. οἱ γὰρ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.*

18 Ps. 145, 9 ‖ **21—22** Ps. 144, 9

21 *κτίσει* Wk: *κτήσει* M

23

Στεφάνῳ ἐπὶ τοῦ κανικλείου, παραμυθητικὸς ἐπὶ τελευτῇ μητρός

Si recte putet Kougeas hunc Stephanum *ἐπὶ τοῦ κανικλείου* (ad quem et epp. 38 et 40 scriptae sunt) eundem esse qui postea a secretis fuit, sequatur hanc consolationem ante Opp. 51 (circa a. 900?) et 70 (a. 906) scriptam esse.

Αἰτεῖς τοὺς παραμυθητικοὺς λόγους; ἀλλὰ γὰρ τίς, καὶ τίνας, καὶ διὰ τίνα, καὶ παρὰ τίνος; ἄνθρωπος οὐ πόρρω τοῦ φιλοσόφου καὶ πράγματος καὶ ὀνόματος, δι' ἃ καὶ 5
ἑαυτῷ ἐξαρκεῖν εἰς παράκλησιν οἶμαι· καὶ λόγους ἐκείνους, οἳ καὶ φύσιν αὐτὴν μετασκευάσειάν τε καὶ παρενέγκαιεν τοῦ εἰκότος, μητρὸς ἐπιλησμοσύνην πεπραγματευμένους καὶ τῆς ἁπάντων γλυκίονος φυῆς ἀμνηστεῖν ἐκβεβιασμένους, ἅπερ ἀμήχανον ἐμποιῆσαι τέκνοις ἐπιεικείᾳ 10
τρόπων καὶ τοῖς οὐδέν τι προσήκουσι τὸ συμπαθὲς ἐπιδεικνυμένοις, μὴ ὅτι γε τὰ οἰκεῖα κατὰ τὸ μέτριον καὶ ἀπεριπαθές τε καὶ καρτερώτατον ἄγειν ἀνεχομένοις· καὶ τούτους οὐκ ἄλλον ὑμῖν διαπλέκειν ἢ τοῦτον ὅς, ἵνα τὸ ἐνὸν λέγω, οὐχ ἧττον ὑμῶν ἑάλωκα τῷ πάθει, τῆς 15
συγγενοῦς σχέσεως πρὸς τὸ ὅμοιον ἡμᾶς ἐκκαλουμένης τοῦ ἄλγους. εἰ γὰρ καὶ μὴ παρῆν τῷ νεκροφόρῳ σκίμποδι τῆς ἀποιχομένης, εἰ μὴ μετεῖχον τῶν κατὰ τὸ πένθος δρωμένων ὑμῖν, εἰ μὴ δακρύων λιβάσι τὰς παρειὰς ἔπλυνον, εἰ μὴ φωνὰς ἀφίειν ἀσήμους τὸ τῆς συμφορᾶς ἐξαγγελλούσας 20
ἀνύποιστον καὶ τὴν ἐντὸς σύγχυσιν ἐκτραγῳδούσας, ἃ πάντων οἶδα κοινὰ τῶν εἰς ἄμετρον τοὺς ὀλοφυρμοὺς

1 ante *ἐπὶ*] τῷ ind. **M** | *κανικλι*^{ου} **M**

ἐπισταμένων, ἀλλ' ὅμως κατατρύχει τὸ πάθος τῇ περιαγγελίᾳ τὸ εὐσταθὲς ἡμῶν ἅπαν ἐξαλλοιοῦν καὶ ὅτι ἄνθρωπος καὶ αὐτὸς ἀπελέγχον. ἀλλ' εἴπερ ἄρα καὶ ὁ τὸ ἀγριαῖνον παρακεκλημένος κατευνάσαι τοῦ πένθους, οὗτος τοῖς
5 ὁμοίοις κατείληπται καὶ δεῖ γε πάντως καὶ τούτῳ τοῦ πρὸς ἑαυτὸν ἐπανάξοντος, εἰκῇ καὶ μάτην ἡ προτροπὴ τῷ μηδὲν εἰς ἀνύσιμον ἔχοντι τῶν προσδοκωμένων. ἀλλὰ γὰρ οὕτως ἐκνικωμένῳ τῷ πάθει καὶ τῆς μόνης ὑμᾶς καταβάλλοντι χρηστῆς ἐλπίδος ἐμοὶ μὲν οἶμαι τὸ ἀφιλόσοφον
10 εἰς κατάγνωσιν ἐκπορισθείη, ὑμῖν δὲ πλειστηριάσαι περιγένοιτο τὰ τοῦ ἄλγους οὐκ ὄντος ἐν Γαλαὰδ ἰατροῦ, τὸ προφητευόμενον, οὐκ οὔσης ῥιτίνης, λόγων φημὶ μεθοδευόντων τὰ πάθη καὶ ἀπουλωτικῇ δυνάμει πᾶν τὸ ἐνδέον ἀναπληρούντων τοῦ τραύματος. ἐντεῦθεν ἀναλα-
15 βὼν ἑαυτὸν ὥς γε ἐνόν, ἑκατέροις τὸ πρόσφορον διοικήσομαι, αὐτῷ μὲν ἐμοὶ τὴν εὔροιαν τοῦ λόγου, ὑμῖν δὲ τὴν παράκλησιν προσαγόμενος. εἰ δέ τι μὴ πρὸς ἀκρίβειαν ἕξωμεν ἐν τοῖς λόγοις καὶ οἵους ἡμᾶς ἔσθ' ὅπῃ ἐπέγνωτε, συγγνώμη τῆς συμφορᾶς ἡμᾶς παρελομένης τὸ κατορ-
20 θοῦν καὶ τὴν ὁρμὴν προκατειργασμένης τῷ θλίβοντι.

Ὅτι μὲν οὖν μητρὸς ἀποβίωσις ἡ τοὺς θρήνους ἡμῖν | ὑφηγουμένη καὶ ὅτι βαρὺ τὸ συνάντημα παισὶν εὐγενέσιν 92v τὴν παραιτίαν τοῦ εἶναι ποθοῦσιν, τὴν ἐκ μακρᾶς συνηθείας ἀλγεινοτέραν ἐργαζομένην τὴν ἀπουσίαν, τὴν μὴ
25 μόνον μηδὲν ἐφυστερίζουσαν τῶν ὅσα μητρὸς κηδεμονίαν παρίστησιν, ἀλλά γε καὶ πολλῷ τῷ περιόντι κατά γε τοῦτο τὸ μέρος τὰς ἄλλας παρευδοκιμοῦσαν μητέρας, οὐδεὶς ἀντερεῖ λόγος. ἀλλ' ὅσῳ ταῦτα δοκεῖ τοὺς θρήνους ἐξαίρειν καὶ πρὸς ἀπαρηγόρητον ἐκφέρειν τὸ πάθος,
30 τοσούτῳ τὸ περὶ ταῦτα φιλόσοφον ὑποβαλλόμενα μακαριωτέραν τὴν καρτερίαν καὶ ἀξιέπαινον ὑποτείνει τῆς περὶ τὰ προκείμενα ἀκρασίας. ἐπεὶ δὲ ταῦτα, τί μὴ κἂν

11—12 Ier. 8, 22

1 ἐπισταμένων] leg. ἐπιτεταμένων? || **11** γαλαὰθ **M** || **27** παρευδοκιμοῦσαν Wk: -οῦσας **M**

τούτῳ τὸ κρεῖττον ὡς κἂν τοῖς ἄλλοις ἀποφερώμεθα καὶ ζηλωτοὶ τοῖς λοιποῖς τῶν ἀνθρώπων ἀναφαινώμεθα;

Μήτηρ, ἀλλ' ἄνθρωπος πάντως καὶ τοῖς ἀνθρωπίνοις πάθεσιν ὑποκειμένη· πλήρης ἡμερῶν, οὐκ ὠμόγηρος, ἀλλ' οὐκ ἐπὶ παισὶν ἀώροις, μακρότερον τὸ πένθος τοῖς 5 ἐξ αὐτῆς τῷ μὴ τοιούτου κατευμεγεθεῖν ἐνεργαζομένη προστάτου· ἀλλ' οὐκ ἐπὶ δυστυχοῦσιν ἀποιχομένη παισίν, οὐκ ἐπὶ φθονοῦσι τοῖς κατ' οἶκον, πᾶσι δὲ τοῖς ὅσα γε τὰ ἀνθρώπινα εὐδαιμονοῦσί τε καὶ ἀνθοῦσι καὶ μητρικῆς ἐλπίδος τε καὶ εὐχῆς ἐνάμιλλον ἀποφερο- 10 μένοις τὸ πλήρωμα. τί δέ; ὅτι μὴ πάρεστιν ἡ τῆς τοσαύτης ἀφορμὴ εὐετηρίας, τοῦτο μᾶλλον ἀνιᾷ; εἰ μὲν ἐπὶ τὸ πάντῃ μὴ ὂν μεταχωροῦσα ἢ μὴ ἔχουσα τοῦτο ᾧ καὶ μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν αὐτῇ τε τὸ εὐπαθεῖν περιέσται καὶ τῶν ἐγγόνων μὴ ἀκηδεῖν, ὅτι μηδέ τις 15 πρὸς τὸν ἁπάντων δεσπότην αὐτῇ ὑπολείπεται παρρησία, εἶχεν ἄν τινα πρόφασιν τὸ ἀλύειν ἅτε διολωλυίας ἡμῖν τῆς τῶν καιριωτέρων ἐλπίδος. ἐπειδὴ δὲ ζῆν τε πιστεύεται καὶ κατὰ τὸ ἄμεινον τῆς ἐκεῖσε ζωῆς, εἴπερ δικαίων ψυχαὶ ἐν χειρὶ θεοῦ, καὶ τῶν ἐνταῦθα οὐκ ἐπιλέλησται, 20 ὅτι τε μήτηρ φιλότεκνος καὶ οὔποτε τῶν ἐγγόνων, κατὰ τὸ ἱερὸν γράμμα, ἐπιλησθησομένη, ἆρά γε καθήκοντα πράττοιμεν τὴν πλησιαίτερον τῷ τῶν ἀγαθῶν ἐντυγχάνουσαν ἀπολοφυρόμενοι δοτῆρι καὶ τοῖς περὶ αὐτὴν θρήνοις ὑποτεμνόμενοι ταύτης τὸ παραιτεῖσθαι τοῖς 25 τέκνοις τὰ κρείττονα; φήσει γὰρ ἂν δήπου πρὸς ταύτην θεὸς δι' ὄχλου τούτῳ καθίστασθαι, ἐκείνοις ἐπιβραβεύειν τὰ κρείττονα κατασπεύδουσαν οἳ τοῖς ἀπίστοις τῷ περὶ τῶν ἀποιχομένων ἐξομοιούμενοι θρήνῳ οὐδ' εἶναι ἀνθρώπους μετὰ τὴν ἀποβίωσιν οἴονται. ῾οἷς δὲ τοιοῦτος 30 ὁ λογισμός, εἰς μάτην τὸ περὶ τούτων ἐντυγχάνειν ἐμοί. τίς γὰρ ἀπὸ μὴ ὄντων λήψεται ὄντα ἢ τῶν ἀπολωλέναι

25 mg. ad παραιτεῖσθαι] ἀντὶ τοῦ ἐξαιτεῖσθαι, ἀρχαϊκῇ χρήσει.

19—20 Sap. 3, 1 || **21—22** Is. 49, 15

6 τῷ Wk: τὸ **M** || **23** ante ἐντυγχάνουσαν] ἀπολαύουσαν ind. **M**

ὑποτοπαζομένων κληρονομήσει τὰ ἀπιστούμενα;' ὁρᾷς
οἷπερ ἡμῖν προβαίη τὰ τῶν ὀλοφυρμῶν ἀπαράκλητα καὶ
ὁ μακρὸς γόος, ὃν ἐπὶ μητρὶ καὶ ταῦτα θεοφιλεστάτῃ
ἐξαρτώμεθα; τί γὰρ ἐνέλιπε ταύτῃ; τὸ μὴ θεοφιλεῖ καθ-
5 εστάναι; τί δὲ θεοφιλεῖ ἐμποδὼν καὶ παῖδας καταλλήλως
ἐκθρεψαμένῃ τὸ μὴ τοῖς τέκνοις | καὶ μετὰ θάνατον 93r
ἐκπορίζειν τὰ κατὰ τὸν βίον συμφέροντα, ἐκείνῳ προσ-
λιπαρούσῃ ταῖς ἐντυχίαις ὃς ἀγαθὰ δόματα διδόναι ἐξ
ἀκενώτων ταμείων ἐπίσταται; ὅτι δὲ ταῦτα μὴ λῆρος μηδ'
10 ἄλλως εἰς παραμύθιον ἐπεισόδιον, οὐδεὶς ἂν ἀμφιβάλοι ἢ
ὅστις οὐδὲν οἴεται μέγα χηρείαν σεμνότητι βοηθουμένην.
τὴν δὲ οὕτω μὲν διαγενομένην τῷ βίῳ, οὕτω δὲ πρὸς
τὰς ἐκεῖσε μεταταξαμένην μονάς, οὕτω δὲ πεπαρρησια-
σμένως τῷ παμβασιλεῖ θεῷ παρεστάναι ἠξιωμένην, ἆρ' οὐ
15 τῶν ἀτοπωτάτων ὀλοφυρμοῖς ὑποβάλλειν καὶ θρήνοις
ἀφοσιοῦσθαι τὴν ἀποβίωσιν καὶ λύπῃ μακρᾷ τοῦ τῶν
πιστῶν ἑαυτοὺς ἐξωθεῖσθαι συντάγματος; ἐγὼ μὲν
οἶμαι, κἂν μή τις ἄλλος τοῦτο δοκῇ.

Τί δαὶ καὶ ὀδυρόμενοι ἀναστένομεν ὅτι μὴ τὸ σωματι-
20 κὸν εἴδωλον βλέπομεν τῆς τεκούσης; ἀλλ' ἐὰν ἐπὶ νοῦν
ἡμῖν ἔλθῃ ὡς τὸ ὀστρεῶδες τοῦτο περίβλημα μέχρις μὲν
ἂν τὸ ἡγεμονεῦον εὐτύχει μιᾷ τινὶ περιεῖργε τὴν τεκοῦσαν
γωνίᾳ, ἣν μὴ καταλαβοῦσιν οὐδ' ὁρᾶν ἐξῆν τὸ ποθούμενον,
ἀπορραγέντος δὲ τούτου καὶ τοῖς οἰκείοις ἀποπταμένου
25 τοῦ κρείττονος ἀδεέστερον καὶ παντὶ τόπῳ ταύτῃ συνεῖναι
τοὺς ποθοῦντας ἀκώλυτον (καὶ γὰρ πάρεστιν, οἷς ἂν τὸ
θέλειν ὑπάρξῃ, ταῖς νοεραῖς ἐπιβολαῖς παρεχομένη τὸ
ἐμφανίζεσθαι), οὐ μόνον οὐχὶ τὸ ζέον τοῦ πάθους κατα-
μαράνομεν, ἀλλ' ἤδη δοκῶ μοι καὶ τὴν ἄχρι τοῦ δεῦρο
30 τῶν τοιούτων ἀναβολὴν ὡς ὑπερβάλλουσαν ζημίαν εἰσό-
μεθα. τί γὰρ ἐπικερδέστερον ἀνθρώπῳ νοερᾶς συνουσίας

19 mg. γν(ώμη), σημ(είωσαι).

7—9 Mt. 7, 11

2 οἷπερ Wk: οἶπερ **M** || **12** δὲ[1]] δὲ aut δὴ **M** || **28** καταμαρά-
νομεν] fort. -ωμεν, sed cf. p. 347, 4

ἢ χαριέστερον, ᾗ καὶ θεὸς τοῖς ἑαυτοῦ ἀξίοις προσομιλεῖ καὶ πᾶν ἄλλο τῶν κατὰ τὸν παρόντα αἰῶνα κρατίστων προσκτώμεθα; μὴ δὴ οὖν ὧν χάριν εἰδέναι τῷ κτίσαντι ἐποφείλεται, ταῦτα βλασφημίας ἀρχὴν καὶ ἀχαριστίας καταστησώμεθα, μηδ' ἀντιπράττωμεν νόμῳ θεοῦ, τοῦτο 5 μὲν πρεσβυτέρῳ τε καὶ ἡλικιώτῃ ἀνθρώπων, τοῦτο δὲ νεωτέρῳ καὶ Παύλου τοῦ θείου τοῖς κατ' ἐκεῖνο διακεκονημένῳ ἀνθρώποις, ἤδη δὲ καὶ ἡμῖν, ὃς τοὺς θρηνοῦντας πέρα τοῦ δέοντος τοὺς κεκοιμημένους τῇ τῶν ἀπίστων ὑπάγεται συμμορίᾳ, μηδ' ὀργιζόμενον ἴδοιμεν τὸν εὐεργέτην. 10 κἂν γὰρ φιλάνθρωπος οὗτος καὶ ἀνεξίκακος χρηματίζῃ, ἀλλ' οἶδε κινεῖσθαι καὶ ἀηδέστερον τούτοις οἳ τοῖς αὐτοῦ κρίμασιν ἀπειθοῦντες καὶ ἀντιπράττοντες ἀχαριστίᾳ τῇ τούτου χρηστότητι ἐλυμήναντο.

Καί μοι μὲν καὶ ταῦτα πρὸς βίαν ἐρεῖν περιγέγονεν, ἵνα 15 μὴ τὴν ὑμετέραν ἀξίωσιν ἀτιμάσωμεν, ἀλλ' ὥσπερ αἰτηθέντες οὐ παρὰ φαῦλον τὴν αἴτησιν λελογίσμεθα, καίτοι φλεγμαίνοντες καὶ αὐτοὶ τῇ περιπετείᾳ τῆς ψυχῆς τὸ ἀλγοῦν, ὅμως κατεστείλαμεν τὸ ὑπερβάλλον φιλοσοφίαν προκεκρικότες τῶν ἀνθρωπίνων παθῶν, τοῦτο καὶ 20 ἡμεῖς ὑμᾶς ἀνταξιοῦν ἔγνωμεν, εἴτε τῶν εἰς παράκλησιν ὑμῖν παρενηνεγμένων κατὰ τὸ ἐμφιλόσοφον συνιέντας, εἴτε καὶ ἡμᾶς τῆς ὑπακοῆς ἀντιδεξιούμενοι ὃ κάλλιστον.

23 mg. ad ὑπακοῆς] 'ἕνεκ(α)' προσυπακουστέον.

5—6 Gen. 3, 19; cf. Sir. 14, 17 || 6—10 1 Thess. 4, 13

5 καταστησώμεθα Wk: -σόμεθα M || 15 leg. Κἀμοί?

24

Ἰουλιανοῦ ἐκ τῶν κατὰ τῶν ἁγίων εὐαγγελίων τοῦ Χριστοῦ λήρων καὶ τούτων ἀνατροπὴ Ἀρέθα ἀρχιεπισκόπου

Rogaverat Iulianus in libris contra Christianos, quomodo Christus peccata mundi sustulisse dicatur, cum fides Christiana potius causa innumerabilium rixarum et caedium extiterit. cui respondet Arethas ab hoc quidem saeculo peccatum tolli non posse nisi rationali natura hominis ipsa quoque sublata. omnia quae sensibus percipiantur paulatim ad perfectam conditionem accedere. exponit doctrinam Platonicam, secundum quam individui homines particulae tantum humanitatis sint. sed etiam in hoc saeculo aliquatenus tolli peccatum, quippe cum videamus apud quosdam fideles morum sanctitatem qualis apud Cynicos nulla inveniatur. talibus vero opinionibus et gentilium philosophorum placita de vita restauranda et de iudicio post mortem futuro convelli. quod porro dicat Moysen quoque mundum a peccato solvisse eo quod meliores mores induxerit, id partim quidem verum esse, haec tamen ad temporalem vitam tantum pertinere, ut etiam Isaiae promissa.
Utrum totum opus legerit Arethas, non constat; praeter locos hic adductos unum dumtaxat alibi citat (p. 168, 2–5; 180, 27 u. ad 181, 2; 310, 6–7).

'Πρῶτον μὲν ὅπως ἦρε τὴν ἁμαρτίαν ὁ τοῦ θεοῦ λό-
5 γος, αἴτιος πολλοῖς μὲν πατροκτονίας, πολλοῖς δὲ παιδο-
κτονίας γενόμενος, ἀναγκαζομένων τῶν ἀνθρώπων ἢ
τοῖς πατρίοις βοηθεῖν | καὶ τῆς ἐξ αἰῶνος αὐτοῖς εὐσε- 93v
βείας παραδεδομένης ἀντέχεσθαι ἢ τὴν καινοτομίαν ταύ-
την προσίεσθαι.'

4 Io. 1, 29

24 Bidez/Cumont 135–138 || 4 ἦρε Wk: ἤρε M

Ἀλλ' ἀνεῖλε, φιλοπραγμονέστατε καὶ σκιαμάχε, κἂν σοι μὴ δοκῇ τυφλότητι ὡς ἔοικεν αὐθαιρέτῳ κατακρατουμένῳ καὶ βασκανίᾳ φαυλότητος ἐξαχρειουμένῳ. εἰ δ' ὅτι μὴ καὶ ἀπὸ τοῦ νῦν ἐνεστῶτος αἰῶνος, ὡς ἂν καὶ ἀπὸ τοῦδε μὴ ἁμαρτάνωσιν ἄνθρωποι, οὐ σωφρονοῦντος ἡ γνώμη, ὅτι 5 *μηδὲ σῴζοντος τοῦτο ἀλλ' ἀναιροῦντος τὸ τὴν λογικὴν φύσιν εἰδοποιοῦν, ἥτινι τὸ αὐτεξούσιον πρὸς διαφορότητα τοῦ ἀλόγου ἐξ αὐτῆς ὑπάρξεως ὑπὸ τοῦ κρείττονος ἐχαρίσθη. πῶς γὰρ ἂν ὁ ἐπὶ σωτηρίᾳ τῆς ἀνθρωπίνης οὐσίας ἐλθὼν ἀνῄρει τὸ ταύτης χαρακτηριστικόν; ἀφῆκε δὲ τέως* 10 *αὐτὸ τοῖς ἐν τῷ φθαρτῷ τούτῳ βίῳ κεχρῆσθαι εἰς γυμνάσιον τῷ ὄντι τῶν καθ' ὁποτερονοῦν ἐπαναιρουμένων, ὡς ἂν ἐκ μάχης καὶ πάλης τὸ λυσιτελέστατον ἑαυτοῖς ἄνθρωποι κατορθοῖεν ἀλλὰ μὴ προῖκα καὶ χάριτι ἀλογίστῳ τῶν ὑπερφυῶν ἀγαθῶν ἐπήβολοι καθίστωνται,* 15 *οἷς ἐξ ἐπαγγελίας ἀδιαψεύστου ἐπελπίσας ἡμᾶς καὶ σήνας ταῖς ὑπ' αὐτοῦ παρασχεθείσαις τῶν ἰαμάτων τοῖς μαθηταῖς δωρεαῖς ἀπαραλόγιστον ἐκ τούτων ἐνεσκίρρωσε ταῖς ψυχαῖς αὐτῶν πίστιν ὡς ἐπ' ἀναιρέσει παραγέγονε τῆς ἁμαρτίας, ἀπὸ τῶν σωματικῶν τῆς καθάρσεως νοσημάτων* 20 *καὶ τῶν ψυχικῶν τὴν ἀλλοτρίωσιν παθῶν ἐμπεδούμενος. οἷς καὶ ἡμεῖς ἐξ ἀπαραλογίστου πείρας θελχθέντες ἀκολουθῆσαι σωτήριον ἔγνωμεν.*

Εἰ δ' ὅτι τολμᾶταί τισι παρὰ τὸν ἐνεστῶτα τὰ αἴσχιστα εἰς ψεῦδος ἀπολήγειν διατείνῃ τὸ τὴν ἁμαρτίαν ἐλπίζειν 25 *ἀναιρεῖσθαι, ἀγνοῶν οἶμαι ὡς οὐδὲν τῶν κατ' αἴσθησιν ὑφισταμένων ἀθρόως λαμβάνει τὸ πρὸς τὸ ἑαυτοῦ τέλος ἀφικέσθαι· ὅπερ ἐπί τε τῆς ἑκάστου προόδου τῶν γενητῶν ἐστὶν ὁρᾶν, ἀφ' οὗπερ καὶ Δημοκρίτῳ τῷ Ἀβδηρίτῃ αἱ ἄτομοι κἂν ἐκτόπως ὑπετοπάσθησαν καὶ δὴ καὶ Ἐμπε-* 30 *δοκλεῖ τῷ Σικελιώτῃ ὁ ἀοίδιμος Σφαῖρος ἀρχαὶ καὶ*

14 mg. *ὡρ(αῖον).*

29–30 Democr. frg. A 1 (II 84, 10–11) D.-K. || **30** – p. 223, 2 Empedocl. frg. B 27–31 D.-K.

18 *ἐνεσκίρωσε* M

στοιχειώσεις τῶν ἐξ αὐτῶν ὑποστάντων ἐνομίσθησαν σωμάτων. φημὶ γὰρ ταῦτα οὐχ ὡς περισπούδαστα λαμβάνων εἰς κρίσιν, ἀλλ' ὡς ἂν καὶ ἀπὸ τῶν σεαυτοῦ ἀπελέγχοιο οὐ καθεστῶτι τῷ λογισμῷ τοῖς καθ' ἡμῶν
5 χρώμενος, ἄλλως τε καὶ ὡς τὸ ὁμόγνωμον τῆς τῶν ἀνθρώπων φύσεως οὐκ ἂν κατακρατοίη, εἰς ὅπερ, κατὰ τὸν σὸν αὖθις ἐρεῖν Πλάτωνα, κέρματα ἀνθρώπων οἱ καθ' ἕκαστα ὑπολαμβάνονται ἄνθρωποι, τῇ ἰδιοτροπίᾳ, ὡς ἂν αὐτὸς φαίη, τῆς τοῦ αὐτοανθρώπου κατακερματι-
10 ζόμενοι φύσεως. ἢ γὰρ ἄν, εἰ μὴ τοῦτο κατὰ τὸν ἀλλοιώσει σύστοιχον τοῦτον αἰῶνα ἑωρᾶτο, ὑφ' ᾧ καὶ ἡ ἐξ ἀλλήλων εἰς βίον ἡμῶν πρόοδος τὸ θνητὸν τῆς τῶν ζῴων φύσεως τῇ διαδοχῇ ἀντανήρει, τί ἂν ἐμποδὼν ἔτι μὴ κἀνθένδε τὴν τῆς ἁμαρτίας κατάπαυσιν βραβεῦσαι;

15 Ἀλλὰ γὰρ ἀκριβῶς σκοπῶν τις εὑρήσει τὰς τοῦ σωτῆρος ἡμῶν ἐπαγγελίας, καὶ πρό γε τῶν ἄλλων τὴν τῆς ἁμαρτίας ἀναίρεσιν, οὐ μόνον εἰς τὸν μέλλοντα αἰῶνα, ὅτε καὶ τὸ ἐντελέστατον ἡ ταύτης ἀναίρεσις σχοίη, ταμιευομένην, ὃς ἀκήρατός | τε καὶ ἀναλλοίωτος ὢν τῆς πρὸς τὰ χείρω 94r
20 ῥοπῆς διατελεῖ ἀνεπίδεκτος, ἀλλὰ κἀνθένδε ἤδη ἐνεργὸν τῆς ἁμαρτίας τὸν ὄλεθρον. τῷ γὰρ δραστικωτάτῳ τῶν τούτου ἐπαγγελιῶν, αἳ τὰ ἀπερινόητα ἀνθρώποις κατὰ τὸν μέλλοντα βίον ὑποτείνουσιν ἀγαθά, ἐπιρρώννυνταί τινες πρὸς ἀρετὴν τῶν ἀκροατῶν καὶ παραθήγουσι τὸ
25 κρεῖττον τῶν ἐν ἡμῖν πρὸς τὸ βέλτιστον, καὶ οὕτως ὡς τῇ τῶν ἐνταῦθα νομιζομένων ἀγαθῶν παροράσει τε καὶ ὀλιγωρίᾳ οὐδ' ὅσον εἰπεῖν εἰς ὑπερβολὴν τῶν θαυμαστῶν ὑμῶν Κυνῶν, οἳ καὶ σησαμοῦσιν ἄρτοις καὶ δρυπέπισιν ἐλαίαις τῆς δοξοκόπου διαίτης παρευδοκιμήθησαν, ἀλλ'
30 ὀλιγωρίᾳ μάλα σαφῶς ὑφισταμένῃ, ᾗ καὶ συγκροτούμενοι πρός τε κατάλυσιν καὶ φθορὰν ἀνεπιστρόφως διὰ βίου τῆς ἁμαρτίας χωρεῖν ἔγνωσαν, ἀργοῦσαν ἐν ἑαυτοῖς ἀπο-

5–10 Plat. Reip. III 395b 3–4

4 ⟨ἐν⟩ τοῖς ci. Bidez/Cumont || **19** τὰ] τὼ ut vid. **M** || **22** ἀπερινόητα] ἀπεριβόητα (?) **M**, νό in mg. || **28** δρυπεπέσιν Bidez/Cumont

φαίνοντες ταύτην, καὶ τῇ πρὸς αὐτὴν ἀπραξίᾳ εἰκόνα τῆς ἐκεῖθεν ὑφιστάνειν μακαριότητος, ἐν ᾗ τῶν ὧδε σκιωδῶν ἀφανιζομένων μόνη κατακρατήσει ἀλήθεια τῇ ἀτρεπτότητι τῶν πραγμάτων ἐνεργουμένη.

Τί δαί; εἰς λῆρον καὶ ταῦτα θείης δυσμάχῳ φρενοβλαβείας θρασύτητι; οὐδὲν πρᾶγμα ἅπαξ ἠφειδηκότα τῶν ἐλλογίμων κριμάτων παρὰ φαῦλον ἡγεῖσθαι μὴ ὅπως Χριστιανοῖς, ἀλλὰ καὶ τοῖς οἰκείοις, τῆς Ἕλληνός φημι δογματοποιΐας, ἀντίξοον φέρεσθαι, εἰς κόμπον ἄλλως ὀδόντων τὴν ἐκεῖσε παλινζωΐαν καὶ τὰ ἐν ᾄδου ἀπορριπτοῦντα μετὰ τῶν Κωκυτῶν Πλάτωνος καὶ τῶν δεινῶν Πυριφλεγεθόντων ἅτε συμφθειρομένην τῷ βίῳ καὶ τὴν ψυχὴν ὑπειληφέναι κράτιστον κεκρικότα. ἐπεί τοι εἰ μὴ τοῦτο, τί σοι ληρεῖν περιγέγονεν ἀνεπιστάτως καὶ ὄχλῳ ῥημάτων εἰκαίων ἐννοίας ἐπισωρεύειν οὕτω μὲν ἀτόπους ὡς κατὰ τῶν πατρίων ὑμῶν νεανιευομένας δογμάτων, ὡς ὁ λόγος ὑπέστησεν, οὕτω δὲ σφαλερὰς ὡς κατὰ τῆς Χριστιανῶν ἐναργείας κατεξανισταμένας καὶ πρὸς ἀναισθήτου σε δόξαν ἐξωθουμένας; ποῦ γὰρ αἰσθήσεως μοῖρα τῷ καὶ ἀπὸ τῆς παρούσης ζωῆς ὁρῶντι μὲν τὴν τῆς ἁμαρτίας ἀναίρεσιν, ὥς γε θνητῇ φύσει παρῇ, ἀπαρχομένην ἐνεργεῖσθαι, οὐδὲν δὲ οὐδὲ προσποιουμένῳ τούτων ὁρᾶν;

Ἀλλὰ γὰρ ἔρρε, κακὸν κάρα, ὁ κατὰ τῶν ἁγιωτάτων καὶ μετὰ πεῖραν (Χριστιανῶν γὰρ ποσῶς μετέσχηκας τῶν ἁγνοτάτων ὀργίων) ἀπαυθαδιζόμενος, ἀφ' οὗ γε καὶ τὸ εἰς κακότεχνον ψυχὴν μὴ εἰσελεύσεσθαι σοφίαν ἀληθὲς ἄγαν ἀπέφηνας. εἰ δὲ καὶ Μωσέα ἐρεῖς ἐπὶ τὸ ἄμεινον τοῦ βίου ἐπανάγοντα δι' ἐπαγγελίας ἀνθρώπους τῶν ἀγαθῶν, ‘καὶ διὰ τί μὴ καὶ τοῦτον ἀναιρέτην ἡγεῖσθε τῆς ἁμαρτίας;’ λέγεις μέν τι, οὐχ ὅσον δὲ καὶ οἴει. ποῦ γὰρ τοιοῦτο Μωϋσῆς εἰσηγεῖται, ὁ πᾶσαν τὴν πρὸς ἀρετὴν προτροπὴν καὶ παράκλησιν διὰ τὴν ἐν τῷ παρόντι μόνον βίῳ εὐετηρίαν

9—10 cf. Hom. *Λ* 417; *M* 149 || **11—12** Plat. Phaed. 114a 5–7 || **27** Sap. 1, 4 || **31** Plat. Reip. I 329e 6–7 || **31**—p. 225, 3 Ex. 20, 12; Lev. 18, 5; Deut. 4, 40

προφέρων; ‘ποίησον’ γάρ φησι ‘τόδε καὶ τόδε, ἵνα ζῇς
καὶ πολυήμερος ἔσῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς ἧς κύριος
ὁ θεὸς δίδωσί σοι ἐν κλήρῳ’. ἀλλὰ καὶ ὁ Ἀμὼς ‘Ησαΐας
συνῳδὰ τούτῳ διαγορεύει, ‘ἐὰν θέλητε’ λέγων ‘καὶ
5 εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε’, | θνητὴν 94v
ἀνταμοιβὴν καὶ συγκαταλυομένην τῷ μεμοχθηκότι περὶ
τὰ κράτιστα προβαλλόμενος· ὅπερ οὐχ ὅσον ἀναίρεσίς ἐστιν
ἁμαρτίας, εἰ μὴ καὶ ἀμβλύτερόν τε καὶ ὀκνηρότερον περὶ
τὸ πονεῖν τὸν ἐργάτην διατιθέμενον, μεγίστων πόνων
10 εὐτελεστάτην ὑποφαῖνον καὶ ῥέουσαν τὴν ἀντίδοσιν.
οὔκουν ἐνάμιλλος Μωϋσῆς τῷ ἡμετέρῳ σωτῆρι, ἀλλ' οὐδ'
ἐγγὺς τὰς περὶ τὸ κρεῖττον ἐπαγγελίας· οὐδ' ἀναιρέτης,
ὡς φῄς, ἐλθὼν Ἰησοῦς ἁμαρτίας πλειστηριάσας ταύτην
κατείληπται. ἐπεί τοι οὕτω φρονοῦντι καὶ ἰατρὸν αἰτιά-
15 σασθαι δεξιώτατον φανεῖται τὰς εἰωθυίας τοῖς πάθεσιν
ἐφεδρεύειν κακώσεις παραδηλοῦντα τοῖς μοχθηρίᾳ κά-
μνουσι φύσεως, ὅτι μὴ καὶ πρὸς ἀναίρεσιν τούτων ἀπεῖδεν,
⟨ἢ⟩ ἀπὸ τῶν νοσερῶς ζῆν αἱρουμένων ὑπεύθυνον ἀπο-
φαίνειν τῆς τῶν λυπούντων φορᾶς.
20 Ἀλλ' ἐπειδὴ ταῦτα, τί ἂν ἔτι λοιπὸν ὑμῖν προσερεῖν ἢ
τοῦτο ὡς ὅπερ σὺ μεμψιμοίρως προβάλλῃ, ὅτι μὴ κἀντεῦ-
θεν ἤδη τὴν ἁμαρτίαν ἀπὸ πάντων ἀνθρώπων ἀνεῖλεν, οὐ
τῶν λυσιτελούντων τῇ φύσει, ὡς ἔφθημεν εἰρηκότες,
ἀξιοῖς, εἰ μὴ καὶ τῶν φθειρόντων; τοῦ γὰρ αὐτοκρατοῦς
25 τῆς λογικῆς ψυχῆς ἀναιρεθέντος τί ἂν ἔτι διοίσῃ ἄνθρωπος
ὄνου; ὃν εἶναί σε συνήνεγκεν ἄν σοι κατὰ πολὺ ἢ τοιούτους
ἐμπλήκτους ἀπερεύγεσθαι λόγους.

3 Is. 1, 1 || 4–5 Is. 1, 19 || 22–24 supra p. 222, 3–10

5 post φάγεσθε] ἐὰν δὲ ind. M || 10 ὑποφαῖνον Wk: ὑποφαί-
νων M || 18 ἢ add. Bidez/Cumont

25

Ἀπολογητικός

Arethas 73 annos natus reus fit ex spuria epistula, qua Symbatium quendam ad seditionem in Peloponneso movendam sollicitasse arguebatur. accusator, blaesus homo, per totam Peloponnesum ob talia facinora notus, qui iisdem artibus episcopum Patrarum de peculatu accusaverat, et paenitentiae septem annorum subiectus erat propter linguae incontinentiam, nihilominus adiuvatur a ceteris episcopis.

Opponit Arethas Symbatium vix nomine sibi notum fuisse, amicitia eius sibi nihil opus fuisse iam ad summa progresso, per litteras autem de talibus agere et alioquin periculosissimum esse; nihil se habuisse quod imperatori vituperaret, cui adfuisset ipse in restauranda pace ecclesiastica, cui longum imperium augurasset. vaticinia vero qualia litterae illae contineant se semper derisisse, 'apocalyptarios' appellantem monachos talium oraculorum studiosos. sin autem vera essent, cur Symbatium ea non detulisse, hominem iracundum et sibi cum maxime infensum, qui et alios ob similia vinctos Constantinopolim misisset? iam porro accusatorem, cum id temporis auctore Aretha a patriarcha propter adulterium in Studii monasterium conclusus esset, unde epistulam accepisse? vix enim a Symbatio, qui per eos dies supplex Aretham rogaret ut in gratiam secum rediret. testes qui dicant eam epistulam se coram a Symbatio recitatam esse, manifeste mentiri, nam Symbatium neque amicum evulgaturum fuisse neque inimicum postea factum celaturum. si tamen iis credas, ipsos ob silentium condemnandos esse.

Habita est oratio aliquanto post a. 921, quo pax ecclesiae restituta est. Symbatius ille, quisquis fuit, interim mortuus erat, quippe qui ipse testimonium non dixerit. quod Kougeas putat accusatorem fuisse Anastasium quaestorem cognomine *τὸν Τραυλόν*, id nec refutari nec comprobari potest.

25 Šangin[2] 250–254

Οὗτος ἐκπεφώνηται ὁπηνίκα ἐκ πλαστογραφίας ἔγκλημα ἐπῆγον αὐτῷ πρὸς τυραννίδα τινὰ κατὰ Πελοπόννησον δι' ἐπιστολῶν ὑπαλείφειν.

Αἰδοῦμαι μὲν ἀπολογίαν συνείρων ὑπὲρ ὑπονοίας, τὸ
5 ᾀδόμενον, φαντασιῶν, καὶ ταῦτα τοῦ θεοπάτορος 'ἐν
τῷ συστῆναι' διαγορεύοντος 'τὸν ἁμαρτωλὸν ἐναντίον μου
ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ
τὸ ἄλγημά μου ἀνεκαινίσθη'. τίς γὰρ ἀνάγκη πονηροτάτοις ἀντεξαγόμενον τὸ εὐσταθὲς ἡμῶν δολοῦν τῆς
10 ψυχῆς, τὸν οἶνον τῆς ἀκακίας τῷ ὕδατι καπηλεύοντα τῆς
πανουργίας; ἀλλ' οὖν ἵνα μὴ τοῖς φιλαιτίοις αἰτίαν παρέχοιμεν ὡς συνειδήσει τῶν καταφλυαρουμένων ἀφασίᾳ
ἑάλωμεν, βραχέα τε καὶ ἁπλοϊκὰ καὶ οἷα τῷ ἡμετέρῳ
ἤθει ἐνάμιλλα διεξίωμεν.

15 Ἀρκτέον δὲ τῷ ἀπὸ τοῦ Σωφρονίσκου Σωκράτει συναγορεύουσι κατὰ καιρόν· νῦν ἐγὼ πρῶτον, τάχα δὲ καὶ
τελευταῖον (οὐ γὰρ ὁ κλῆρος νικῴη τῶν ἐξαμαρτανόντων)
ἀπὸ γραμμάτων παραποιήσεως ἐπὶ συστάσει τυραννίδος
ἐνδιαβάλλομαι ἔτη γεγονὼς τρία καὶ ἑβδομήκοντα. τίς
20 ὤν; ἀρχιερέως πρώτου τε καὶ μεγίστου θεοῦ τὰ δευτερεῖα
φερόμενος, ἐκ βρέφους τοῖς τῶν καλῶν καλλίστοις ἀσκούμενός τε θεοῦ χάριτι καὶ κατωρθωκὼς ἤδη καὶ οἷά τις
λαμπτὴρ εὐσεβείας ἐξ ἤθους χρηστοῦ τοῖς πᾶσιν ἀποβλεπόμενος. ἀπέστω δὲ φθόνος καὶ περιαυτολογίας
25 ἐπίκλημα, ὅτι τῷ ἐπανάγκῳ τῶν κατειληφότων οἱ λόγοι,
ἀλλ' οὐκ ἀλαζονείας καὶ αὐθαδείας. ἐπεὶ καὶ Δαυὶδ τὰς
ἑαυτοῦ κατὰ θηρίων ἀριστείας οὔπω τισὶ διεγνωσμένας τῇ
κατὰ τοῦ ἀλαζόνος Γολιὰθ ἐπιχειρῶν ἀγωνίᾳ εἰς μέσον
προάγεται καὶ Παῦλος ὁ θεῖος τὰ ὑπερφυῆ κατορθώματα
30 καὶ τὴν εἰς τρίτον αὐτοῦ ἁρπαγὴν οὐρανὸν ἔκφορα | καθιστὰς 'γέγονα' φάσκει 'ἄφρων καυχώμενος, ὑμεῖς με   95r
δηλαδὴ ἠναγκάσατε· ἐγὼ γὰρ ὤφειλον', φησίν, 'ὑφ'
ὑμῶν συνίστασθαι'. ἀλλ' ὑπέρευγε τῆς ἀποστολικῆς

15 mg. τὸ ἑξῆς οὕτως· 'ἀρκτέον δὲ ἡμῖν συναγορεύουσι κατὰ
35 καιρὸν Σωκράτει τῷ ἀπὸ τοῦ Σωφρονίσκου'.

5–8 Ps. 28, 2–3 ‖ **15–19** Plat. Apol. 17d 2–3 ‖ **26–29** 1 Reg. 17, 34–36 ‖ **29–31** 2 Cor. 12, 2–4 ‖ **31–33** ib. 11

ῥήσεως κατὰ καιρὸν ἡμῖν ἐπιγενομένης. ἐρῶ γὰρ καὶ αὐτὸς ἐξ ἐκείνου λαβὼν τὸ 'ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι', ὑφ' ὑμῶν τῶν τὰ ἐμὰ ἐγνωκότων (καὶ τίνα ταῦτα; ἔντιμα, σωφρονικά, τὰ πρὸς παράδειγμα ζηλωτὸν πᾶσι προκείμενα) καὶ τούτοις περικροτεῖν ὑμᾶς, τούτοις περιποιεῖν 5 τὸ ἀνεπηρέαστον, ἀλλὰ μὴ χεῖρα ἐᾶν ἁμαρτωλῶν σαλεύειν με μηδὲ ἄφρονι ὄνειδός με διδόναι ποιεῖν. οὐκ ἄφρονι δέ· καὶ τοῦτο μὲν γάρ, ἀλλὰ κακίας ἁπάσης ὅση ψυχῆς κακεντρεχεστάτης, ὅση σώματος βδελυρίᾳ τῇ πάσῃ κατακεχραμμένῳ καὶ γνώρισμα τούτων τὴν τῆς γλώττης 10 τραυλότητα περιφέροντι (καὶ οὐ ψιλὸς οὗτος ὁ λόγος καὶ κακηγόροις μολύσμασιν ἄλλως ἐπιφημιζόμενος· βοᾷ Πελοπόννησος ἅπασα τὸ θηρίον, καὶ μάλα γε ὁ τῶν Πατρῶν τῆς Πελοποννήσου ἀρχιερεύς, ἐξ οὗ καὶ κληρονομίας συμβόλαιον αὐτῷ γραφῆναι ἰδιοχείρως ἐπλάσατο, 15 ὅσοι τε ἄλλοι τῆς τούτου ἀπέλαυσαν μοχθηρίας) καί, ἵνα μὴ τὸ καιριώτατον λέγω καὶ πρὸς ἀγνωμοσύνης τισί, ὑπὸ σοφῇ κρίσει τοῦ τῆς θεοῦ κατάρχοντος ἐκκλησίας ἑπταετίας προστίμῳ δι' ἀσέλγειαν γλώσσης τῶν θείων ἀνακτόρων ἐληλαμένῳ. εἶτα τοιοῦτον τοσούτῳ ἐπιφύε- 20 σθαι παραχωρεῖν τῶν ἐπαινετῶν; ἀλλὰ καὶ ὑπὸ τῶν συλλειτουργῶν συγκροτεῖσθαι καὶ συνηγορεῖσθαι περιπτωτικῶς ἑαυτοῖς αἰδοῦς τε πάσης ἀπογυμνώσει καὶ οὕτω σφοδρῶς, ἆρα θεῷ καταθύμιον τοῦτο ἢ τοῖς πρὸς θεὸν ἀφορῶσιν; καὶ τίς ἡ πρόφασις τῶν συλλειτουργεῖν λαχόν- 25 των τῆς κατ' ἐμοῦ τούτῳ συνηγορίας; ἀνταπόδοσις κακῶν, ἐπεὶ καταδιώκομεν ἀγαθωσύνην ταῖς τινῶν ἁμαρτίαις μὴ κοινωνεῖν ἀνεχόμενοι. εἶτα τιμᾶν ἔδει καὶ μέγαν ἄγειν τὸν τούτων ὑφηγητὴν καὶ σὺν εὐμενείᾳ περιέπειν τε καὶ καλῶς ἕπεσθαι χάριν εἰδότας τῆς τῶν 30 ἐπαινετῶν εἰσηγήσεως ἢ οὕτως ἀπηρυθριακότως βασιλεῖ τε εἰσάγειν πρὸς κρίσιν καὶ γνώμῃ προυνείκῳ τε καὶ προπετεστάτῃ συντρέχειν τῷ πονηρῷ καὶ μετὰ μοιχοῦ τὴν μερίδα τίθεσθαι.

6–7 Ps. 35, 12 ‖ **7** Ps. 38, 9 ‖ **26–27** Ps. 37, 21 ‖ **33–34** Ps. 49, 18

Ἀλλὰ γὰρ ἰτέον καὶ ἐπὶ τὴν κατηγορίαν. Συμβατίῳ, φησίν, ἐξ ἐπιστολῆς ὑμῶν εἰς βασιλέα χρηματισμός, καὶ τὸ πιστὸν ἀπὸ συμβολαίων τῆς ὑμετέρας χειρὸς παρεχόμενος. ἐγὼ δέ, εἰ μὲν μηδεὶς νόμος ἠθέτει τὴν ἀπὸ τῶν
5 συμβόλων πίστιν καὶ δή γε καὶ συμπτωμάτων διηνεκὴς φορά, εἶχον ἄν τι καὶ πλέον εἰπεῖν· ἐπειδὴ δὲ πλήρη τὰ δικαστήρια τῶν τοιούτων κακουργιῶν καὶ ὅσαι ἡμέραι οἱ ἔλεγχοι τούτων διαγινώσκονται καὶ ἐγγύτατα τῶν ἀληθῶν προβαίνοντα γραμμάτων, ἆρα τῶν εὐγνωμόνων
10 ἔτι ὁ τούτοις προσανέχων; ἢ θύραν ἀνοῖξαι τῇ τοιαύτῃ μηχανουργίᾳ σπουδή; εὐξαίμην ἂν τοῦτο. θυμοῦ δὲ δικαίου μεστὸς ὁ λόγος· πῶς γὰρ ἂν λάθοιεν οἱ τούτων συνίστορες | καθ' ἑαυτῶν βάλλοντες; οἷς καὶ τὸ ὀλοθρευθῆναι αὐτοῖς περιγένοιτο ἢ τὸ ἐξ ὁμοιότητος γραμμάτων 95ᵛ
15 δολοφονεῖν· ὃ καὶ τοῖς Ἡρῴδου τοῦ ἐξ Ἀντιπάτρου παισὶ δι' ἐπηρείας ὑπῆρξεν ἀπὸ τοῦ ἐκ Δωρίδος τῆς ἀναδέλφου μανίας.

Πλὴν ἴδωμεν καὶ τὰ περὶ Συμβατίου. εἰπὲ γάρ μοι· τίνι τρόπῳ Συμβατίῳ θαρρῶν ἢ πόσῃ φιλίᾳ ὑπαγόμενος
20 τούτου καὶ κέρδεσι τίσι, τιμῆς δὲ τίνος ἐπαγγελίᾳ ἀνὴρ τὴν πρώτην ἐν ἐπισκόποις τάξιν ἐπέχων τοιαῦτα θαρρεῖν εἶχον τῷ μέχρις ὀνόματος μόνον γνωρίμῳ, τῷ ἄρτι μοι πρὸς φιλίαν τοῦτον καθιστᾶν ἐπιχειρουμένῳ, ἀφ' οὗ καὶ πρώτῃ ταύτῃ ἐκεχρήμην ἐπιστολῇ; ἢ γνώμης τοσοῦτον
25 ἡμάρτανον ὥστε τὸ μόγις καὶ ἀπὸ χειλέων εἰς χεῖλος διαδιδόμενον δι' ἐπιστολῶν ἐξαγγέλλειν, καὶ τοσούτῳ διαστήματι τόπου, καὶ διὰ γραμμάτων κηρῷ κατασεσημασμένων, καὶ οὐδὲ δι' ἀνθρώπων ἐκ πολλοῦ μοι τὸ γνώριμον μετὰ πίστεως εἰληχότων καὶ οἷς τὸ θαρρεῖν οὐ
30 πεῖρα καὶ χρόνος ἐβεβαιώσατο; τί δαὶ καὶ ἐγκαλεῖν ἔχων ὑβριοπαθῶς τῷ ἐκ θεοῦ βασιλεύειν λαχόντι, μᾶλλον δὲ τί μὴ τῶν πρὸς τιμὴν ἡμῶν τούτου ἐνηργηκότος, δι' ἃ καὶ

15–17 Ioseph. Bell. Iud. 1, 527–529

4 τῶν s. l. add. M ‖ 5 συμβόλων ex συμβολαίων M

πρὸς τὴν ἐκκλησιαστικὴν εἰρήνην, τὸ μέγα καὶ θεοφιλέστατον αὐτοῦ ἔργον, τῷ πλείστῳ μέρει τούτῳ συνεβαλόμεθα, πολυχρονίου κράτους αὐτῷ ὑποτείναντες ἐλπίδας, ὥσπερ δὴ περιφόρητον πολλοῖς λόγιον, οὕτω πλημμελῶς καὶ ὀλεθρίως ἐμαυτῷ πρὸς τοῦτον διεγινόμην; 5
ἀλλὰ καὶ τίς ὢν καὶ τίνα γνώμην ἔχων περὶ τῶν τὰ τοιαῦτα ματαιαζόντων ἀφρόνων ἀνθρώπων καὶ μοναχῶν ἀστηρίκτων; ἆρα οὐχ ὁ παντὶ καταγέλωτι τούτους μωκώμενος, οὓς καὶ διαπαίζων ἀεὶ ἀποκαλυπταρίους κατονομάζω; ἢ πρὸς τὸ πέρας μοι τοῦ βίου ἀφικομένῳ πρὸς 10
ματαιότητας ἀποβλέπειν καὶ μανίας ψευδεῖς ἐπαράτως ἐπέσπασται; πῶς δαὶ καὶ μετὰ τοῦτο, ἔχθρας ἀσπόνδου ἡμῖν μεσιτευσάσης καὶ ἀπηνῶς ἡμῶν ἀλλήλοις ἀντεφορμώντων, τίνος ἕνεκεν ὁ Συμβάτιος οὗτος ἠνέσχετο, ἄνθρωπος θυμῷ καὶ ἐπιθυμίᾳ κατάληπτος, τοσοῦτον 15
ὄλεθρον ἡμῶν παρορᾶν καὶ οὐ πρὸς βασιλέα παρέπεμπεν, ἑτοίμην ἡμῶν πάγην καὶ ὄλεθρον, ὁ τὴν γῆν σείων καὶ οὐρανὸν συνταράσσων καὶ τὰς ἑτέρων ἀνερευνώμενος οἰκίας ἐφ' ᾧ τε τοιοῦτον ἀνευρεῖν καθ' ἡμῶν, εἰ καὶ λύκος ἀπῆλθε χανών, τὸ τοῦ λόγου, διὰ κενῆς; τὸ γάρ τοι μὴ 20
καθ' ἑαυτοῦ ταῦτα ὑποβλεπόμενον κινεῖν, εἰς ἀπολογίαν ἀνευρημένον προβάλλεσθαι ὑπὸ τῶν σοφωτάτων, ἱκανὸν παρανοίας ἐλέγξαι μεγίστης τοὺς τούτων λήρους τὸ ἐπὶ Νικολάῳ τῷ πρωτοσπαθαρίῳ καὶ Θωμᾷ τῷ ἐκ Τεγέας τῆς Πελοποννήσου πρωτοσπαθαρίῳ, οὓς ἐνταῦθα Συμβά- 25
τιος ἐμφρούρους παρέπεμπεν ἔγκλημα τούτοις ἐπάγων τὸ εἰς βασιλέα αὐτὸν ἐνδιαβάλλειν καὶ διάδημα πεποιηκότα, οἷς καὶ τὸν φημιζόμενον ποιητὴν Χρυσοχόον ἐπαπ-
96r ἔστειλεν. ὁ τοίνυν | τοσαύτης μὴ φεισάμενος καὶ οὕτω τρανοτάτης κατηγορίας, ἆρά γε εἰ τὸ προκομιζόμενον 30

17–19 cf. Agg. 2, 6; 21; Hebr. 12, 26 || **19–20** CPG I 273; II 121 || **30**—p. 231, 2 Athan. Apol. 63, PG 25, 364 B 6–10; Socr. Hist. eccl. 1, 27–29

4 *δὴ* Wk: *δὲ* **M** || **9** *ἀποκαλυπταρίους* Sangin: *ἀποκαιλυπταρίους* **M** || **14** *ἠνέσχετο*] *ἠν-* aut *ἐν-* (vix *ἀν-*) **M** || **23** *τὸ* Wk: *τῷ* **M** || **24, 25** *ἀσπαθαρίῳ* **M**

γραμμάτιον ὡς ἄλλην Ἀρσενίου χεῖρα ηὐπόρει λαβών, τί οὐκ ἂν ἐπεποιήκει;

Πόθεν δὲ καὶ λαβὼν ἔχει ὁ ἀλιτήριος οὗτος εἰπάτω. διὰ τὴν μοιχείαν αὐτοῦ εἰς τὰ Στουδίου ὑπὸ τοῦ πατρι-
5 άρχου φρουρεῖσθαι ἀπέσταλτο· καὶ τοῦτο γνωστὸν αὐτῷ ὡς ἐξ ἐμῆς ἐπεπόνθει ἐπισκήψεως τοῦτο. ὁ τοίνυν πρὸς βασιλέα κατὰ τοῦ Πατρῶν μητροπολίτου γραμμάτιον σκευωρήσας ἐπὶ χρημάτων συλήσει δημοσίων, ἐφ' οἷς καὶ ἑάλω συκοφαντίας ὁ δείλαιος, ἆρα εἰ κατ' ἐμοῦ τοιοῦτον
10 τι εἶχε, πῶς οὐ προτιμότερον ἐπεποίητο τὸν ἐμὸν ὄλεθρον βασιλεῖ ἐπιδοῦναι τοῦ προφανῶς τοῦτον συνέχοντος, εἰ μὴ τῷ ἥττονι ἐπεχείρει; ἀλλ' οὐκ εἶχεν, ὅτι οὔπω ἀνεπεπλήρωτο τῶν εἰς ὕστερον ἐπιδεδωκότων αὐτῷ χρηστῶν ἀδελφῶν τὸ πονήρευμα. εἰπάτω οὖν πόθεν καὶ πότε τοῦτο
15 λάβοι καὶ παρὰ τίνων. τὸ γάρ τοι ἐκ Συμβατίου εἰληφέναι αὐτό, καὶ κατὰ τοῦτον καιρὸν ὅτε καὶ οἱ ἄγαν ἀπονενοημένοι καὶ ἀσεβεῖς ἐπιγνώμονες ἑαυτῶν καθίστανται τοιαῦτα κακουργεῖν, καὶ οὕτως ὁπλίζειν καὶ κατ' ἐκείνου ᾧ θερμοτάτοις δάκρυσι δι' ἐπιστολῆς σφοδρὰν
20 ἐποιεῖτο ἐξομολόγησιν, ἀξιῶν συγγνώμης τυχεῖν ἐφ' οἷς ἀβουλήτως κακοθελῶν ἀνθρώπων ἀνάγκαις τὴν εἰς ἡμᾶς ἐνεστήσατο ἔχθραν, – ὁ οὕτως τὸν ἑαυτοῦ ἔλεον διὰ τῶν αὐτοῦ γραμμάτων ἐνώπιον ἡμῶν ἐκχέων ἆρα πίστις τῇ μὲν τὸν ἔλεον ἀφ' ἡμῶν ἕλκειν, τῇ δὲ ἀπηνῶς τὰ πρὸς
25 ἡμᾶς διατιθέμενος ἐχθρὸν τοσοῦτον ἀσκεῖν καθ' ἡμῶν βιβλίων ὀλεθρίων ἡμῶν ἐπιδόσει; εἰ τοῦτο λόγου ἐχόμενον, προσδεχέσθω· εἰ δὲ ἡ ἀδικία ἐψεύσατο ἑαυτήν, τὸ τῆς ἐπιφορᾶς τὸ ἀπὸ τοῦδε λοιπὸν παρ' ὑμῶν.

Ἀλλὰ γὰρ πυνθάνομαι ὡς ἐμβροντησίᾳ φερόμενος ὁ
30 κακόσχολος οὗτος περιάγει τοὺς ἐρασιλοιδόρους ἀναψύχων, ὡς ἔχοι παρασχέσθαι μάρτυρας εἰς ἐπήκοον αὐτοῖς Συμβάτιον μαρτυροῦντας τὸ πλαστογράφημα τοῦτο ἀνεγνωκότα. ἀλλ' ὅτι καὶ οὗτοι πλαστοὶ οὐχ ἥττονες τῆς

33 mg. ση(μείωσαι).

12 ἀνεπεπλήρωτο Wk: ἂν ἐπεπλ- M

δολογραφίας, αὐτόθεν ἐστὶ μαθεῖν. ἐρωτάσθωσαν γάρ· πότε, βέλτιστοι, Συμβάτιος ἀνέγνω ὑμῖν τὸ ἐπιστολίδιον τοῦτο, φίλος εἰσέτι μένων πιστὸς ἢ πρὸς τὴν ἔχθραν ἡμῶν ἀποκλίνας καὶ παντοίως ἡμᾶς βλάπτειν ἐνεσκευασμένος; ἀλλ' εἰ μὲν φίλος, κακοδαιμονέστατος οὗτος ἁπάντων ἃ 5 πρὸς τιμῆς αὐτοῦ καὶ ἀπόρρητα μένοντα εἰς καιρὸν μὴ ἐχεμυθῶν σωτηρίως ἑαυτῷ, ἀλλὰ τοῦ καιροῦ προεξανιστάμενος κονιορτὸν ἑαυτῷ συμφορῶν ἐπεγείρων τυραννικόν. εἰ δὲ τῆς ἔχθρας ἤδη ἀναφλεχθείσης, ἆρα οὐκ ἐμφρονέστερον τὸν παντοίως ἡμᾶς βλάπτειν διεγνωκότα τὸ 10 μὲν τῆς ὑμετέρας ἀκοῆς παρ' οὐδὲν τίθεσθαι, πρὸς βασιλέα δὲ ἀναπέμπειν ἀναντίρρητον ἡμῶν ὄλεθρον; ἐγὼ 96ᵛ μὲν οἶμαι, καὶ οὐκ ἀφρόνως | οὐδ' ὥσπερ ὑμῖν πέπλασται, φοβεῖν ἡμᾶς φόβον οὗ φόβος οὐκ ἔστιν δι' ἀφροσύνην ὑμῶν. πλὴν ὁποτέρως ἔχει, ἢ φιλοῦντος ἡμᾶς Συμβατίου ἢ 15 καὶ ἐχθραίνοντος, ἐπεὶ τὸ πρὸς τυραννίδα ἡμῶν γραμμάτιον ὑπαλεῖφον αὐτὸν ἠκούσατε, χρόνου δὲ τοσούτου παρῳχηκότος οὐ πρὸς βασιλέα ἐφωράσατε, κατείχετε δὲ παρ' ἑαυτοῖς ἀνεκλάλητον, οὐκ ἀτιμώρητοι δίκαιον ἀπολυθῆναι ὡς συνεργοὶ καὶ συνεπίβουλοι τῶν κατὰ τοῦ 20 κυρίου ἐπανιστώντων καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ. καὶ οὕτως ἀπελεύσεσθε μισθὸν ἔνδικον ἀπενεγκάμενοι χρηστῆς ψευδομαρτυρίας. ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ, ὡς ἂν καὶ κατὰ τοῦτο ὁ μακάριος κροτοῖτο Δαυὶδ 'ἐν τῇ παγίδι' φάσκων 'ᾗ ἔκρυψαν συνελήφθη ὁ πους αὐτῶν' καὶ 25 ἡ πρὸς θεὸν αὐτοῦ ἔντευξις ἔργῳ ἐκπληρωθείη 'κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν' εὐχομένου 'δὸς αὐτοῖς, κύριε, καὶ τὸ ἀνταπόδομα αὐτῶν ἀπόδος αὐτοῖς' ὡς ἑκατέρως τυφλώττουσι, πρός τε τὰ τοῦ κυρίου ἔργα καὶ πρός γε τὰ ἑαυτῶν, οὓς τὸ καταλύειν ἀλλὰ μὴ οἰκοδομεῖν κακὸν 30 ἐῶντας τῷ βίῳ ὑπόδειγμα καὶ τῆς προφητικῆς εὐχῆς συνεργὸν καὶ τῆς τοῦ κινοῦντος αὐτὸν θείου πνεύματος κατοχῆς οὐκ ἀνάρμοστον ὡς πρὸς θεοπείθειαν ἐκκαλούμενον.

14 Ps. 13, 5 || **20—21** Ps. 2, 2 || **23** Luc. 10, 7; 1 Tim. 5, 18 || **24—25** Ps. 9, 16 || **26—28** Ps. 27, 4 || **30** cf. Gal. 2, 18

26

Πρὸς τὸν ἐν Δαμασκῷ ἀμηρᾶν, προτροπῇ Ῥωμανοῦ βασιλέως

Epistulae imperatoriae ad ameram missae priorem hanc partem, quae de fide tractat, confecit Arethas; alteram partem de permutatione captivorum addendam aliis mandaverat imperator, ut docet nota in fine subiuncta ab Aretha. unde efficitur revera epistulam esse, non libellum contumeliosum Christianis lectoribus destinatum. quin autem genuina sit et ipsa epistula et inscriptio et notula marginalis de genere dicendi (cum qua cf. persimilem notam ad Op. 82), dubitare non licet, donec in ceteris fides corporis Mosquensis intacta manet. nam quod auctor tituli ameram a veziro non distinguit, id in Aretham ipsum quoque cadit (p. 242, 1–8). itaque scripta est Romano imperante (m. Dec. a. 920), sed ante insignem victoriam a Radeno a. 922 reportatam, quam non commemorat. de tota re vide quae praefata est P. Karlin-Hayter et quae contra disputavit R. J. H. Jenkins, Recueil des travaux de l'Institut d'Etudes byzantines, VIII 1, 1963, 167–175.

Ad quaestiones quas de religione proposuerant Saraceni, haec respondet Arethas: (1) credimus in Christum propter prophetias et miracula; (2) Adam et Christus ambo sine patre nati sunt, sed non eodem modo; (3) Ezechiel non revera, sed in visione homines e mortuis suscitavit; (4) Deus filium generare potuit sine uxore, id quod Saraceni, qui carnales sint, non intellegunt; quid sit Dei Filius, quid Spiritus Sanctus, comparatione solis eiusque luminis et caloris explicatur; (5) crucem Christiani venerantur minus absurde quam Saraceni Mahumetis pallium, hominis spurcissimi, qui dolo uxore amici sui Rusulule potitus est; Christi vero doctrinae fidem affert veneranda eius vita et miraculum quod apud sepulcrum eius quotannis fieri solet; (6) Christus volens quidem crucifixus est, tamen Iudaei reprehendendi, quia non id facere volebant quod Christus fieri voluit; (7) quid significaverit Christus

1 mg. *ἰδιωτικῶς ἐξεδόθη τῇ φράσει εἰς σύνεσιν τῶν Σαρακηνῶν.*

26 Compernass[1] 1–9; Karlin-Hayter[2] 293–302

cum diceret 'ascendo ad Patrem meum et Patrem vestrum'; (8) miraculum Iosue quo differat a solis defectu miraculoso in crucifixione Domini facto; (9) Saracenorum fortuna prospera ex eo explicanda est, quod Deus filios suos castigat; nonnumquam tamen cladibus afflicti sunt: a Caramita, ab Andronico, ab Hemerio; (10) Paradisus qualem fingunt Saraceni absurdus simul et impurus est; (11) quare incarnatio necessaria fuerit.

Τὰ ἀπὸ τοῦ Ἔμετ ἀποσταλέντα πρὸς ἡμᾶς γράμματά σου, οὐιζήρ, ἐδεξάμεθα, καὶ ἐχάρημεν ἐπὶ τῇ σωματικῇ σου ὑγείᾳ, ὡς ἔθος ἐστὶν ἡμῖν τοῖς Χριστιανοῖς χαίρειν ἐπὶ τῇ σωματικῇ ὑγείᾳ τῶν ἐχθρῶν. Χριστοῦ γὰρ τοῦ ἀληθινοῦ θεοῦ ἐστιν ἡ διδαχὴ αὕτη, 'ἀγαπᾶτε τοὺς 5 *ἐχθροὺς ὑμῶν καὶ τὸ καλὸν θέλετε τοῖς μισοῦσιν ὑμᾶς'. πῶς δὲ καθαρὰν καὶ ἀμώμητον τὴν τῶν Σαρακηνῶν καλεῖν ἠνέσχου πίστιν, ἥτις ἀπὸ τοῦ πλανήσαντος ὑμᾶς Μωάμετ τῆς ἐντολῆς ὡς τὸ κουρὰν καὶ τὸ φορκὰν διδάσκει ὑμᾶς; οὐ πλήρης ἀκαθαρσίας ἐστί, ταῖς πρὸς τὰς γυναῖκας* 10 *μάλιστα πορνείαις καὶ ἄλλοις πολλοῖς αἰσχροῖς καὶ ἀτόποις ἔργοις ὑποβαλλούσης ὑμᾶς;*

Καὶ ὅτι μὲν οὐ καθαρὰ ἡ πίστις ὑμῶν, φανερὸν ἐκ τούτου· ἐπεὶ δὲ ἠξιώσατε ἡμᾶς νουνεχῶς ἀκούειν τῶν παρὰ σοῦ γραφομένων ἡμῖν, μᾶλλον αὐτὸς μετὰ φρονήσεως 15 *τῆς πρεπούσης ἀνθρώποις ἄκουσον. ἡμεῖς οἱ Χριστιανοὶ ἀπὸ πολλῶν προφητῶν τὴν τοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ καὶ θεοῦ παρουσίαν εἰς τὸν κόσμον προκαταγγειλάντων ἠκούσαμεν, καὶ διὰ τῶν ἔργων ὧν ἔπραξεν ἐπὶ τῆς γῆς αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἐπληροφορήθημεν καὶ ἐπιστεύ-* 20 *σαμεν εἰς αὐτόν. ὅσα γὰρ οἱ προφῆται, Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, Μωσῆς τε καὶ οἱ μετ' αὐτὸν τὸν Μωσῆν προφῆται προκατήγγειλαν περὶ τοῦ Χριστοῦ, ταῦτα καὶ ἐπληρώθησαν* 97ʳ *ὑπ' αὐτοῦ· ὅτι ἐκ παρθένου μέλλει γεννᾶσθαι, | καὶ ὅτι θαύματα ποιήσει ἐπὶ τῆς γῆς πολλά, νεκροὺς ἀναστήσας,* 25 *δαίμονας ἀπελάσας ἀπὸ τῶν ἀνθρώπων, καὶ νοσοῦντας ὑγιεῖς ποιήσει· καὶ ὅτι σταυρωθῆναι ἔχει ὑπὸ τῶν ἀνόμων Ἰουδαίων, καὶ ὅτι μετὰ γ̅ ἡμέρας πάλιν ἀναστῆναι ἔχει*

5–6 Mt. 5, 44; Luc. 6, 27 || **9** cf. Alcor. 25, 1

7 *καλεῖν*] *-εῖν* ex *-ῶν* **M** || **9** *φορκὰν*] *-ο-* aut *-υ-* **M**

καὶ εἰς οὐρανοὺς ἀναληφθῆναι· καὶ ὅτι διὰ πτωχῶν καὶ ἰδιωτῶν ἀνθρώπων δώδεκα ὄντων τῆς πίστεως τῆς εἰς αὐτὸν ὁ κόσμος γεμισθήσεται.

Ὅτι δὲ ἐματαιολογήσατε ὅτι καὶ ὁ Ἀδὰμ οὐκ ἐγεννήθη 5 ἐκ γυναικός, ἐγελάσαμεν πολλὰ τὴν ἀσυνεσίαν τῶν τοῦτο λεγόντων. ὁ μὲν γὰρ Ἀδὰμ μὴ ἄλλου ὄντος ἀνθρώπου ἐπλάσθη πρῶτος ἀπὸ τοῦ θεοῦ, ὁ δὲ Χριστὸς ὁ υἱὸς ὁ τοῦ θεοῦ καὶ θεὸς πολλῶν ὄντων ἀνθρώπων καὶ γεννωμένων ἐκ γυναικὸς ἀπὸ συνελεύσεως ἀνδρῶν μόνος ἐκ μόνης 10 παρθένου μητρὸς ἄνευ ἀνδρὸς ἐγεννήθη. τοῦτο δὲ οὐχὶ καὶ ὑμεῖς αὐτοὶ ὁμολογεῖτε, ὅτι ὁ λόγος ὁ τοῦ θεοῦ εἰσῆλθεν εἰς τὴν ἁγίαν Μαρίαν τὴν μητέρα τοῦ Χριστοῦ διὰ τῆς ἀκοῆς αὐτῆς καὶ συνέλαβε τὸν Ἰησοῦν Χριστὸν καὶ ἐγέννησεν αὐτόν; ἀλλὰ λόγον λέγοντες τοῦ θεοῦ διὰ τῆς ἀκοῆς 15 εἰσελθεῖν εἰς τὴν ἁγίαν Μαρίαν, τί νοεῖτε; ὅτι ἡ φωνὴ εἰσῆλθεν εἰς τὴν ἀκοὴν τῆς παρθένου; ἀλλ' ἡ φωνὴ οὐκ ἔστι πρᾶγμα ὑπόστασιν ἔχον καὶ διαμεῖναι δυνάμενον, ἀλλ' εὐθὺς διαλύεται εἰς ἀέρα· ὥστε οὐχὶ ἡ φωνὴ εἰσῆλθεν εἰς τὴν παρθένον, ἀλλ' ὁ διὰ τῆς φωνῆς νοούμενος τοῦ θεοῦ 20 υἱὸς καὶ θεὸς εἰσῆλθε καὶ ἐνῴκησε καὶ ἐγεννήθη ἐξ αὐτῆς εἰς σωτηρίαν τῶν ἀνθρώπων. ἔλαβε γὰρ ἐκ τῶν καθαρῶν αἱμάτων τῆς ἁγίας παρθένου, ὥσπερ πᾶς τεχνίτης λαμβάνει ὕλην τινὰ καὶ ποιεῖ ἔργον, ὡς ὁ χρυσοχόος διὰ τοῦ χρυσοῦ ποιεῖ ἐνώτιον ἢ δακτυλίδιν καὶ ἄλλο τίποτε, οὕτως 25 ὁ τοῦ θεοῦ υἱὸς εἰς τὴν κοιλίαν τῆς ἁγίας Μαρίας τῆς παρθένου ἔλαβεν ὡς ὕλην τὰ καθαρὰ αὐτῆς αἵματα καὶ ἐποίησεν ἄνθρωπον καὶ ἐνῴκησεν εἰς αὐτὸν καὶ ἐγεννήθη ἐξ αὐτῆς ἄνθρωπος τέλειος μετὰ τοῦ διαμεῖναι καὶ αὐτὸς τέλειος θεὸς ὡς υἱὸς θεοῦ καὶ θεός· καὶ συνανεστράφη 30 μετὰ τῶν ἀνθρώπων καὶ ἐποίησε καὶ ἔπαθε θέλων ὑπὲρ ἡμῶν ὅσα καὶ οἱ μαθηταὶ αὐτοῦ οἱ ἀπόστολοι λεγόμενοι ἔγραψαν. ὅτι δὲ οὐχὶ ἡ φωνὴ εἰσῆλθεν εἰς τὴν ἁγίαν Μαρίαν τὴν παρθένον, ἀλλ' ὁ διὰ τῆς φωνῆς νοούμενος

4–6 Alcor. 3, 59 (52) || **10–14** ib. 4, 171 (169); cf. 3, 45–47 (40–42)

27 αὐτὸν] leg. -ὴν? (cf. p. 236, 11)

υἱὸς τοῦ θεοῦ καὶ θεός, ἄκουσον. ἐάν τίς σοι διηγῆται περὶ ἀνθρώπου τινὸς ὅτι 'ἔστι τοιοῦτος καὶ τοιοῦτος', ἆρα ἡ φωνὴ ἐκείνη εἰσέρχεται εἰς σὲ ἢ τὸ νόημα τὸ διὰ τῆς φωνῆς καὶ ὁ ἄνθρωπος ὃν ἡ φωνὴ ἐμήνυσεν ἔστι καὶ διαμένει εἰς τὴν ψυχήν σου; πάντως εἰ ἔχεις φρόνησιν, 5 εἰπεῖν ἔχεις ὅτι 'ὁ διὰ τῆς φωνῆς μηνυθείς μοι ἄνθρωπός ἐστιν ἐν τῇ ψυχῇ μου, ἀλλ' οὐχὶ ὥσπερ ἡ φωνὴ διελύθη εἰς ἀέρα, οὕτω καὶ ὁ διὰ τῆς φωνῆς δηλωθεὶς ἄνθρωπος'. οὕτως οὖν καὶ ἐπὶ τῆς ἁγίας παρθένου Μαρίας διὰ τῆς φωνῆς τοῦ ἀγγέλου ὁ ὑπὸ τῆς φωνῆς ἐκείνης δηλούμενος 10 υἱὸς θεοῦ καὶ θεός, ὡς προείρηται, ἐνῴκησεν εἰς αὐτὴν καὶ ἐγεννήθη μετὰ τοῦ διαπλασθέντος ὑπ' αὐτοῦ ἀνθρώπου καὶ συνανεστράφη μετὰ τῶν ἀνθρώπων. εἰ δὲ λέγεις ὅτι 'πῶς ὁ ὑπεράγιος θεὸς εἰς κοιλίαν εἰσῆλθε παρθένου, ὅπου αἵματα καὶ κόπρος;' λέγω σοι καὶ ἐγὼ ὅτι 'πῶς 15 97v ὑπέμεινεν | ὁ θεὸς κατ' ἀρχὰς πλάττων τὸν Ἀδὰμ καὶ τὴν Εὔαν τὴν χεῖρα αὐτοῦ ἐμβάλλειν καὶ ποιεῖν ἀνδρὸς μόρια καὶ γυναικός;' ὥσπερ οὖν τότε οὐδὲν ἀνάξιον ἑαυτοῦ ἐποίει ὁ θεὸς πλάττων τὸν Ἀδὰμ καὶ τὴν Εὔαν, ἀλλὰ μᾶλλον καὶ ἔπαινον μέγαν ἔχει ὅτι οὐκ ἀπηξίωσε ταῦτα 20 ποιῆσαι, οὕτως καὶ νῦν διὰ σωτηρίαν τῶν ἀνθρώπων ἐπὶ τῆς ἁγίας παρθένου Μαρίας ποιήσας ἐπαίνου ἐστὶν ἄξιος, ἀλλ' οὐχὶ μέμψεως ἢ βλασφημίας. εἰ οὖν οὕτως καὶ ἐπὶ τοῦ Ἀδὰμ συνέβη καὶ ἐπὶ τοῦ Χριστοῦ, πῶς ὅμοιος κατὰ τὸ ἄνευ πατρὸς γεννηθῆναι ὁ Ἀδὰμ τοῦ Χριστοῦ; 25

Πρὸς δὲ τοὺς λέγοντας ὅτι καὶ Ἰεζεκιὴλ ἀνέστησε νεκρούς, πολλὰ κατεγελάσαμεν τῶν ταῦτα λεγόντων. αὐτὸς γὰρ ὁ Ἰεζεκιὴλ ἐν τῇ προφητείᾳ αὐτοῦ τῇ περὶ τῶν νεκρῶν ὀστῶν λεγούσῃ ἡρμήνευσεν ὅτι οὐχὶ περὶ νεκρῶν ὀστῶν λέγει, ἀλλὰ τοὺς ἀπὸ τῆς αἰχμαλωσίας τῆς εἰς 30 Βαβυλῶνα ἀπαχθέντας καὶ πάλιν εἰς τοὺς ἰδίους ὑποστρέψαντας τόπους, ἐκείνους λέγει νεκρούς. ἐπάγει γὰρ ὅτι 'υἱὲ ἀνθρώπου, τὰ ὀστᾶ ταῦτα οἶκος Ἰσραήλ ἐστιν· αὐτοὶ

32 — p. 237, 4 Ezech. 37, 11–13

18 ἀνάξιον] ˏἄξιον M, mg. ˏἀν

γὰρ λέγουσι "ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, διαπεφωνήκαμεν", τουτέστιν ἐνεκρώθημεν· καὶ εὐθὺς ἐπάγει 'καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν εἰς τὴν γῆν ὑμῶν, λαός μου'. πῶς οὖν τὸ ἐξ ὁμοιότητος λεγόμενον ὑμεῖς εἰς
5 ἀληθῆ πρᾶξιν λογίζεσθε;

Καὶ περὶ τοῦ λέγειν ὑμᾶς ὅτι 'πῶς λέγετε ὅτι υἱὸν ἔχει ὁ θεὸς καὶ ἐγέννησεν αὐτόν; ἢ γυναῖκα ἔχει ὁ θεός, ὡς καὶ οἱ ἄνθρωποι;' ἐκεῖνο λέγομεν ὅτι τοῦτο ἄνθρωπος ἀνθρώπου ἔχων ψυχὴν οὐ δύναται οὔτε ἐννοῆσαι οὔτε
10 εἰπεῖν, ἵνα ἀκούων γέννησιν εὐθὺς ἐπιζητῇ γυναῖκα καὶ ἄνδρα καὶ σωματικὴν μίξιν, καὶ μὴ ὡς πρέπει διανοεῖται τὴν θεῷ πρέπουσαν γέννησιν. οὗτος γὰρ ὁ ἀσύνετος καὶ ὅταν ἀκούσῃ ἀνθρώπου ὅτι ἐχορτάσθη ὁ ἄνθρωπος, εὐθὺς ἵνα λογίζηται καὶ νοῇ ὅτι χόρτον φαγὼν ἄνθρωπος
15 ἐνεπλήσθη, ἀπὸ γὰρ τοῦ χόρτου λέγεται τὸ χορτάζεσθαι. εἰ οὖν τὸ χορτάζειν ἀκούσας νοῦν ἔχων ἄνθρωπος οὐκέτι διὰ χόρτου νοεῖ ὅτι ἐκορέσθη — οὐ γὰρ χόρτον ἐσθίει ἄνθρωπος, ἀλλ' ἄρτον καὶ κρέας, καὶ οὕτως κορέννυται — οὕτως καὶ ὅταν γέννησιν ἀκούων πρὸς τὸ προκείμενον νόει
20 καὶ τὴν γέννησιν, οὐ κατὰ τὴν τῶν ζῴων σύστασιν. ὅμως ὑμεῖς οἱ Σαρακηνοί, ἐμπαθεῖς ὄντες καὶ ὥσπερ τὰ κτήνη οὐ δυνάμενοι ἀνθρωπίνῳ λογισμῷ κρίνειν ἑκάστην φύσιν καὶ κατὰ τὴν τῆς φύσεως τάξιν νοεῖν καὶ τοὺς λόγους τοὺς περὶ αὐτῶν, ἀπὸ τῆς ἰδίας ἀκαθαρσίας καὶ μιαρίας καὶ τὰ
25 ἐπὶ τοῦ θεοῦ διανοεῖσθε. ἡμεῖς γὰρ λέγομεν τὸν θεὸν καὶ υἱὸν ἔχειν, ὃν καὶ λόγον λέγομεν, ἀλλὰ καὶ ἅγιον πνεῦμα, ὅπερ τριάδα λέγομεν ἁγίαν· υἱὸν μὲν καὶ λόγον καλοῦντες ἐπὶ θεοῦ, ἵνα διὰ μὲν τοῦ υἱοῦ νοήσωμεν ὅτι ὁμοούσιός ἐστι τῷ θεῷ πατρί, ὥσπερ καὶ οἱ τῶν ἀνθρώπων καὶ τῶν
30 ἄλλων ζῴων τὰ γεννήματα ὁμοούσια τῶν γεννησάντων εἰσίν, | διὰ δὲ τοῦ λόγον αὐτὸν καλεῖν ἐννοοῦμεν ὅτι ἄνευ 98r πάθους σωματικοῦ προέρχεται ἀπὸ τοῦ πατρός, ὥσπερ καὶ ἀπὸ τοῦ ἡμετέρου νοῦ ὁ ἡμέτερος λόγος ἄνευ πάθους προβάλλεται. ὡσαύτως καὶ τὸ ἅγιον πνεῦμα. ὥσπερ γὰρ

5 λογίζεσθε Cs: -σθαι (comp.) M ‖ 19 νοεῖ ci. Kalitsunakis

ὁ ἥλιος οὗτος εἷς ὢν καὶ ὁρώμενος ἔχει φῶς καὶ θέρμην ἀφ᾽ ἑαυτοῦ προβαλλόμενα ἄνευ πάθους καὶ εἰσὶ καὶ τὸ φῶς καὶ ἡ θέρμη οὐκ ἀλλότρια τοῦ ἡλίου ἀλλὰ γνήσια ἐκ τῆς ἑαυτοῦ προερχόμενα φύσεως, καὶ καλεῖται τὸ μὲν φῶς, τὸ δὲ θέρμη, καὶ οὐκ ἔστιν ἀλλότρια ἀλλήλων, ἀπὸ γὰρ τοῦ 5 ἡλίου εἰσὶν ἐκ μιᾶς πηγῆς, καὶ τὸ μὲν φῶς τὰ βλεπόμενα πάντα δεικνύει τὰ ἐν τῷ κόσμῳ, ἡ δὲ θέρμη ἡ ἀπὸ τοῦ ἡλίου πάντα ζωογονεῖ, τὰ φυτὰ καὶ τὰ ζῷα, οὕτως καὶ ὁ θεὸς πατὴρ διὰ μὲν τοῦ υἱοῦ αὐτοῦ τοῦ ἐπὶ σωτηρίᾳ ἡμῶν ἐνανθρωπήσαντος κυρίου Ἰησοῦ Χριστοῦ καὶ θεοῦ φω- 10 τίζει τῶν λογικῶν φύσεων τὴν διάνοιαν εἰς τὸ ἀξίως τῶν ὑποκειμένων πραγμάτων νοεῖν καὶ τὰ περὶ αὐτὰ τὰ πράγματα συμβαίνοντα καὶ διανοεῖσθαι· ὅνπερ ὑμεῖς οἱ Σαρακηνοὶ μὴ ἔχοντες εἰς τὰς καρδίας ὑμῶν ὡς τυφλοὶ διάγετε μὴ δυνάμενοι διακρῖναι θεῖον καὶ ἀνθρώπινον πρᾶγ- 15 μα· τὸ δὲ ἅγιον πνεῦμα, ἵνα ἁγιάζῃ ἡμᾶς καὶ τῶν ἁμαρτιῶν ἀπαλλάσσῃ, ἵνα μὴ ὡς ὑμεῖς οἱ Σαρακηνοὶ ὡς χοῖροι ἐν βορβόρῳ καὶ ἀκαθαρσίᾳ διαμένωμεν. καὶ καλοῦμεν καὶ τὸν υἱὸν θεὸν καὶ τὸ ἅγιον πνεῦμα θεόν, ὥσπερ καὶ τὸ φῶς τοῦ ἡλίου λέγομεν ἥλιον. ὅταν γὰρ δι᾽ ὀπῆς τινὸς εἰς 20 τὴν οἰκίαν ἡ τοῦ ἡλίου ἀκτὶς εἰσέλθῃ καὶ φωτίσῃ τὸν οἶκον, λέγομεν ὅτι ὁ ἥλιος εἰσῆλθε καὶ ἐφώτισε τὸν οἶκον· καὶ πάλιν, ὅταν ὁδεύοντες θερμανθῶμεν ὑπὸ τῆς θερμαντικῆς ἐνεργείας τοῦ ἡλίου, λέγομεν ὅτι ὁ ἥλιος ἐθέρμανεν ἡμᾶς.

Καὶ περὶ μὲν τοῦ ὅτι ἐν τριάδι διὰ τοῦτο νοεῖται παρ᾽ 25 ἡμῶν ὁ θεὸς καὶ πιστεύεται, αὕτη ἀπόδειξις. ὅτι δὲ καὶ τοῦτο φλυαρεῖτε, ὡς ὅτι 'τὸν σταυρὸν τοῦ Χριστοῦ τιμῶντες οἱ Χριστιανοὶ ἰσότιμον τοῦ Χριστοῦ διὰ τὸ σταυρωθῆναι αὐτὸν ἐν αὐτῷ ποιεῖτε', ἀλλὰ καὶ τοῦτο λέγειν οὐκ ἔστι φρονίμων καὶ ἐμπείρων πραγμάτων 30 ἀνθρώπων. ἐπεὶ καὶ ὑμεῖς ὅταν τὸ τοῦ Μωχούμετ μαντίον προσκυνεῖτε, ἐρωτῶμεν ὑμᾶς ὅτι 'πῶς προσκυνεῖτε τὸ μαντίον καὶ ἴσον ποιεῖτε παννίον ἀνθρώπου;' εἰ οὖν

9 ἡμῶν mg. add. **M** ‖ **13** ὑμεῖς] ὑ- ex ἡ- **M** ‖ **31** μοχούμετ h. l. **M** ‖ **31, 33, p. 239, 3** μαντίον Kalitsunakis: -εῖον **M**

μέμφεσθε ἡμᾶς προσκυνοῦντας τὸν σταυρὸν διὰ τὸ προσηλωθῆναι ἐν αὐτῷ τὸν Χριστόν, πολλῷ μᾶλλον ἡμεῖς μεμφόμεθα ὑμᾶς προσκυνοῦντας τὸ μαντίον τοῦ Μουχούμετ ὡς τὸν Μωχούμετ. καίπερ ὁ Χριστὸς σταυρωθεὶς
5 ἀνέστη ἐκ τῶν νεκρῶν, ὁ δὲ Μωχούμετ οὐδὲ ὑπὸ προφητῶν προκαταγγελθεὶς οὐδὲ νεκροὺς ἀναστήσας οὐδὲ αὐτὸς ἀναστὰς ἄξιός ἐστιν ἢ αὐτὸς τιμᾶσθαι ἢ τὸ παννίον αὐτοῦ. ὥστε εἰς δ ματαιολογεῖτε αὐτοὶ μᾶλλον μέμψεώς ἐστε ἄξιοι, ὅτι ἄνθρωπον μήτε ὑπὸ προφητῶν προκαταγγελ-
10 θέντα μήτε θαύματα ποιήσαντα μήτε ὑπὸ παρθένου μητρὸς ἄνευ ἀνδρὸς γεννηθέντα ἐλογίσασθε καὶ τιμᾶτε ὡς προφήτην.

Πῶς γὰρ τολμᾶτε λέγειν | τὸν Μωχούμετ προφήτην, 98ᵛ ἄνθρωπον ἀκάθαρτον καὶ πορνοκόπον; ὅστις ἰδὼν τὸν
15 φίλον αὐτοῦ τὸν Ῥουσουλουλὲ ὅτι ἔχει εὔμορφον γυναῖκα, βουλόμενος αὐτὴν πορνεῦσαι καὶ μὴ ἔχων πῶς, εἶπεν πρὸς τὸν Ῥουσουλουλὲ ὅτι ‛ ὁ θεὸς εἶπέ μοι ὅτι ἡ γυνή σου ἐπόρνευσε᾽· καὶ ἐκείνου τοῦ Ῥουσουλουλὲ εἰπόντος ὅτι ‛ καὶ φονεύσω αὐτήν, ἐπεὶ τοῦτο ἐποίησεν᾽, ὁ Μωχούμετ
20 εἶπεν αὐτῷ ὅτι ‛ μὴ αὐτὴν φονεύσῃς, ἀλλὰ χωρίσθητι ἐξ αὐτῆς καὶ λαβέτω αὐτὴν ἄλλος· καὶ μετὰ τὸ καθαρισθῆναι αὐτὴν ἀπὸ τῆς πορνείας αὐτῆς διὰ τὸ ἄλλον λαβεῖν αὐτήν, πάλιν ἐπιστράφου αὐτὸς καὶ λάβε αὐτὴν ἐξ ἀρχῆς, καὶ λύεται ἡ πορνεία αὐτῆς᾽. τοῦ δὲ Ῥουσουλουλὲ ποιήσαντος
25 οὕτως καὶ χωρισθέντος ἐξ αὐτῆς προσελάβετο αὐτὴν ὁ Μωχούμετ. καὶ ὅτε ἐπόρνευσεν αὐτὴν καὶ ἐπλήρωσε τὴν ἀσέλγειαν αὐτοῦ, εἶπε πάλιν πρὸς τὸν Ῥουσουλουλὲ ὅτι ‛ λάβε αὐτὴν ἐκ νέας᾽· ὅπερ καὶ ἐγένετο. καὶ ἔδωκεν ὑμῖν νόμον τοῦτο ποιεῖν καὶ ὑμᾶς, ὅτε σκανδαλισθῆτε ὅτι ἐπόρ-
30 νευσεν ἡ γυνὴ ὑμῶν. ** ὅτι ‛ ναὶ ποιοῦμεν αὐτό, ἀλλὰ ἀναλαμβάνονται τὴν γυναῖκα ἄνδρες εὐλαβεῖς, οἱ λεγόμενοι καθαρισταί, καὶ κοιμῶνται μετὰ τῆς γυναικὸς

13–28 Alcor. 33, 37–38; Io. Damasc. de haeres. 101, PG 94, 769 B8–D7 || **28**–p. 240, **2** cf. Alcor. 2, 230

3 *προσκυνοῦντας* Cs: -ες **M** || **30** lac. statuit Kalitsunakis

ἐκείνης εἰς ἕνα κράββατον, βάλλοντες μέσον γυμνὸν σπαθίον'· καὶ οὐ νοεῖτε, ἀνόητοι, ὅτι ἄλλοι καὶ κρημνοὺς πηδῶσιν, ἵνα μόνον ἐπιτύχωσι τῆς τοιαύτης ἀκαθαρσίας, αὐτοὶ δὲ μέσον βάλλοντες τὸ σπαθίον γυμνόν, ὁ συγκοιμώμενος τί κόπον ἔχει περισκελίσαι αὐτὸ καὶ μιανθῆναι 5 μετ' αὐτῆς; τίς γάρ ἐστιν ἄνθρωπος ὅστις κοιμώμενος μετὰ γυναικὸς εἰς ἓν κρεββάτιον οὐχὶ καὶ μιαίνεται μετ' αὐτῆς; πάντως σωφρονέστερος τοῦ Ἰωσὴφ οὐκ ἔστιν ὁ καθαριστὴς ὑμῶν· ἀλλ' ἐκεῖνος εἰ μὴ ἐξέφυγε τὴν κρατήσασαν αὐτὸν δέσποιναν αὐτοῦ, οὐδὲν ἐνεπόδιζεν ἵνα μὴ 10 μιανθῇ μετ' αὐτῆς. ἀλλὰ τοῦτο καὶ ὁ Μωχούμετ ἐποίησε, τοῦ Ῥουσουλουλὲ τὴν γυναῖκα πορνεύσας, καὶ πρὸς ὑμᾶς τοῦτο ἐνομοθέτησεν, ἵνα μὴ μόνον κρυπτοὶ κερατάδες ἦτε, ἀλλὰ καὶ φανεροί. ἐκεῖνος γὰρ οὐδὲν ἄλλο ἐσπούδασεν εἰ μὴ ἰδὼν ὑμᾶς ἀκρατεῖς ὄντας περὶ τὴν λαγνείαν, ὃ 15 ἔγνω ὅτι ἀγαπᾶτε μάλιστα, τὴν ἀκαθαρσίαν τὴν πρὸς τὰς γυναῖκας, τοῦτο καὶ ἐνομοθέτησεν ὑμῖν ποιεῖν. πῶς οὖν τοῦτον τολμᾶτε προφήτην λέγειν καὶ ἀπὸ θεοῦ ἀπεστάλθαι πρὸς ὑμᾶς; ἡμᾶς μὲν γὰρ πείθει τὰ θαύματα τοῦ Χριστοῦ καὶ ὁ σεμνὸς αὐτοῦ βίος ὃν ἐποίησεν καὶ ἐνομο- 20 θέτησε καὶ ἡ ἀπὸ τῶν νεκρῶν ἀνάστασις αὐτοῦ σέβειν καὶ προσκυνεῖν αὐτὸν ὡς θεὸν ἀληθινόν, ὅτι καὶ ἃ προκατήγγειλαν οἱ προφῆται περὶ αὐτοῦ ἐποίησεν. ἀλλὰ καὶ μέχρι τοῦ νῦν ὁ ἅγιος καὶ τίμιος αὐτοῦ τάφος καθ' ἕκαστον ἔτος τῇ ἡμέρᾳ τῆς αὐτοῦ ἀναστάσεως θαυματουρ- 25 γεῖ· παντὸς γὰρ πυρὸς σβεσθέντος ἐν Ἱερουσαλήμ, ὅπου 99ʳ ὁ τάφος αὐτοῦ ὁ ἅγιός ἐστι, σκευάζεται | ὑπὸ τῶν Χριστιανῶν κανδῆλα μετὰ ἀπτρίου καὶ τουβίου, καὶ ἱσταμένου τοῦ μὲν κατὰ τὴν Ἱερουσαλὴμ ἀμηρᾶ ἐγγὺς τοῦ ἁγίου τάφου ἐσφραγισμένης τῆς θύρας ὑπὸ τοῦ αὐτοῦ ἀμηρᾶ, 30 τῶν δὲ Χριστιανῶν ἱσταμένων ἔξω εἰς τὸν ναὸν τῆς ἁγίας ἀναστάσεως καὶ κραζόντων τὸ 'κύριε ἐλέησον', ἐξαίφνης ἀστραπῆς γινομένης ἀνάπτει ἡ κανδῆλα φῶς καὶ ἐξ αὐτοῦ

9–11 Gen. 39, 6–12 || **23**—p. 241, 2 cf. Bibliotheca hagiographica Graeca[3] III 176 (1318n)

5 περισκελλίσαι **M** || **28** ἀπτρίου **M**

τοῦ φωτὸς πάλιν πάντες οἱ κατοικοῦντες Ἱερουσαλὴμ λαμβάνουσι καὶ ἅπτουσι πῦρ. ὁ δὲ τοῦ Μωχούμετ τάφος καὶ σκότος καὶ ὀμίχλην ἔχει πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν.

5 Πρὸς δὲ τὴν ἀνόητον ἐρώτησιν ὑμῶν τὴν λέγουσαν ὅτι 'θέλων ἐσταυρώθη ὁ Χριστὸς ἢ μὴ θέλων;' πολλὰ γελῶντες ὑμᾶς καὶ εἰς τοῦτο ἀποκρινόμεθα ὅτι θέλων ὁ Χριστὸς ἐσταυρώθη κατὰ τὰς περὶ αὐτοῦ προφητείας. οὐ γὰρ διὰ ἁμαρτίας ἰδίας ἐσταυρώθη· λέγει γὰρ ὁ προφήτης 10 Ἡσαΐας περὶ αὐτοῦ ὅτι 'ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ' καὶ 'ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου' λέγει ὁ θεὸς διὰ τοῦ αὐτοῦ προφήτου Ἡσαΐου περὶ αὐτοῦ ὅτι 'ἤχθη εἰς θάνατον' καὶ 'αὐτὸς τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκεν καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται'. 15 ὥστε θέλων ἐσταυρώθη διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων. μεμφόμεθα δὲ τοὺς Ἰουδαίους οὐχ ὅτι τὸ θέλημα αὐτοῦ ἐξεπλήρωσαν σταυρώσαντες αὐτόν· οὐ γὰρ ἵνα πληρώσωσι τὸ θέλημα αὐτοῦ ἢ τὰ τῶν προφητῶν περὶ αὐτοῦ εἰρημένα τοῦτο ἐποίησαν οἱ Ἑβραῖοι, ἀλλ' ὡς ἀσε- 20 βεῖς ἰδίαν ἔχθραν ἀποτελοῦντες ἐσταύρωσαν αὐτόν. εἴπωμεν δὲ καὶ παράδειγμα. ἐάν τις ἔχων ἐχθρὸν ἔχοντα ἐπὶ τοῦ σώματος αὐτοῦ φύσημα ἤτουν ὄγκον βλάπτοντα αὐτὸν μεγάλως, ἔλθῃ δὲ ὁ ἐχθραίνων αὐτῷ βουλόμενος οὐχὶ σῶσαι αὐτόν, ἀλλὰ σφάξαι· καὶ διὰ τοῦ φυσήματος 25 ἐκείνου ξίφει πατάξας αὐτὸν ἵνα φονεύσῃ, αὐτὸς δὲ οὐκ ἀπέθανεν, ἀλλὰ τὸ φύσημα ἐκεῖνο τὸ καταπονοῦν αὐτὸν ἐσχίσθη καὶ ἠφανίσθη καὶ ἀπηλλάγη αὐτὸς τοῦ καταπονοῦντος αὐτὸν φυσήματος καὶ ἐγένετο ὑγιής· ἆρα ἔχων τις φρόνησιν καὶ νοῦν εἰπεῖν ἔχει ὅτι καλὸν εἰργάσατο τῷ 30 ἐχθρῷ αὐτοῦ; πῶς γάρ, ὃς βουλόμενος φονεῦσαι αὐτὸν μᾶλλον ἔσωσεν αὐτὸν ἀπὸ τῆς νόσου αὐτοῦ;

Καὶ πάλιν τοῦτο ματαιολογεῖτε, ὅτι 'πῶς λέγετε τὸν Χριστὸν θεόν, ὅπου αὐτὸς ὁ Χριστὸς εἶπε περὶ ἑαυτοῦ ὅτι "ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν

9—11 Is. 53, 9 || **11—13** ib. 8 || **13—14** ib. 4; cf. 12 || **34 — p. 242, 1** Io. 20, 17

καὶ θεόν μου καὶ θεὸν ὑμῶν'';' εἰπὲ γάρ μοι, ἐὰν ὁ τοῦ πρωτοσυμβούλου ὑμῶν υἱὸς λέγῃ πρὸς τὸ στράτευμα αὐτοῦ ὅτι 'εἰσέρχομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν καὶ ἀμερμουμνήν μου καὶ ἀμερμουμνὴν ὑμῶν', ἆρα ὡς ἔστιν ὁ ἀμερμουμνὴν τοῦ υἱοῦ αὐτοῦ πατήρ, οὕτως καὶ τοῦ στρατεύματος αὐτοῦ, καὶ ὡς ἔστιν ὁ ἀμερμουμνὴν τοῦ υἱοῦ αὐτοῦ ἀμερμουμνήν, οὕτω καὶ τοῦ στρατεύματος αὐτοῦ; | (99v) κατανοήσατε ταῦτα μετὰ φρονήσεως καὶ μάθετε τὴν ἀσυνεσίαν ὑμῶν, ὅτι οὐκ οἴδατε τί λέγετε οὐδὲ τί νοεῖτε.

Περὶ δὲ τοῦ Ἰησοῦ τοῦ Ναυῆ ὅτι ἔστησε τὸν ἥλιον πῶς τολμᾶτε λέγειν αὐτὸν ἴσον τοῦ Χριστοῦ; ὁ μὲν γὰρ τοῦ Ναυῆ Ἰησοῦς πρὸς τὴν χρείαν τοῦ πολέμου ἔστησε τὸν ἥλιον διὰ λόγου εὐχῆς αὐτοῦ πρὸς τὸν θεόν· τοῦ δὲ Χριστοῦ μηδὲν εἰπόντος ὁ κόσμος ἰδὼν τὸν δημιουργὸν αὐτοῦ σταυρούμενον καὶ ἀτιμαζόμενον ἔφριξε, καὶ ὁ μὲν ἥλιος ἐσκοτίσθη, ἡ δὲ γῆ ἐσείσθη καὶ ἐτρόμαξε βλέπουσα τὸν δημιουργὸν αὐτῆς θανατούμενον καὶ ἀτιμαζόμενον, ὥσπερ ὅταν δοῦλος ὁρῶν τὸν κύριον αὐτοῦ ἀτιμαζόμενον μὴ φέρων τὴν ὕβριν τοῦ δεσπότου αὐτοῦ τύπτῃ ἑαυτὸν καὶ ὀδύνης πληροῦται.

Περὶ δὲ τοῦ ὅτι τοῦ κόσμου ὅλου κατεκυριεύσατε, ἐκ τούτου μᾶλλον θρηνεῖν ὑμᾶς δεῖ καὶ οὐχὶ ἐγκαυχᾶσθαι. ἡμεῖς μὲν γάρ, ὡς υἱοὶ χάριτι ὄντες θεοῦ καὶ ἀγαπώμενοι ὑπ' αὐτοῦ, θλιβόμεθα· 'ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει', ἡ γραφὴ ἡμῶν λέγει καὶ 'ὁ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ παιδεύει αὐτόν'· καὶ ὅτι αὐτὸς οὗτος ὁ Χριστὸς καὶ θεὸς ἐπηγγείλατο ἡμῖν ὅτι 'ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε'. καὶ ὁ προφήτης Δαυὶδ λέγει 'μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν'. πῶς γὰρ οὐ παρανομεῖτε φονεύοντες ἀνθρώπους, τοῦ

11 Ios. 10, 12–13 || **25** Prov. 3, 12; Hebr. 12, 6 || **26–27** Prov. 13, 24 || **27–28** Io. 16, 33 || **28–30** Ps. 36, 7 || **31**–p. 243, 2 Sap. 1, 13

30 αὐτοῦ LXX: -ῷ M

προφήτου λέγοντος ὅτι ʿοὐ χαίρει θεὸς ἐπὶ θανάτῳ ἀνθρώπου οὐδὲ ἐπ᾽ ἀπωλείᾳ ζώντων᾽; καίπερ καὶ τοῦ ψευδοπροφήτου ὑμῶν Μωχούμετ ἐν τῷ κουρὰν λέγοντος ʿμὴ φονεύσῃς ἄνθρωπον τὸν μὴ πολεμοῦντά σε μηδὲ
5 *λαμβάνοντα ὅπλα κατὰ σοῦ, μηδὲ γεωργὸν μηδὲ γυναῖκα μηδὲ ἀβᾶν μηδὲ παπᾶν᾽. ὑμεῖς δὲ οὐδὲ τοῦ ψευδοπροφήτου ὑμῶν τὴν ἐντολὴν φυλάττετε, ἀλλὰ καὶ τοὺς ἀνθισταμένους ὑμῖν δι᾽ ὅπλων φονεύετε καὶ τοὺς μὴ πολεμοῦντας ὑμῖν. καὶ περὶ τοῦ ἐγκαυχᾶσθαι ὑμᾶς ὅτι ὡς ἀγαπώμενοι ὑπὸ*
10 *θεοῦ πολεμεῖτε καὶ κατακυριεύετε τοῦ κόσμου, τί εἰπεῖν ἔχετε ὅτι ὁ Καραμίτης ἐνίκησεν ὑμᾶς καὶ ἐξωλόθρευσεν; ἀλλὰ καὶ ὁ Ἀνδρόνικος, ὅτε εἰς τὰ μέρη τῆς Ταρσοῦ δεκαοκτὼ χιλιάδας εἰς ἕνα τόπον ἀπεκεφάλισεν, ποῦ ἦν ἡ καλὴ πίστις τῶν Σαρακηνῶν, ὅτε οὕτως εἰς ἓν αἷμα*
15 *ἔπεσον πάντες; ἀλλὰ καὶ ὁ Ἡμέριος ὅτε τὸν στόλον ὑμῶν ὅλον ἠφάνισε καὶ ἐξωλόθρευσε, ποῦ ἦν ἡ πίστις ὑμῶν; πλὴν ἐλπίζομεν ὅτι καὶ ὁ καιρὸς ὑμῶν ἐπληρώθη ἀπάρτι καὶ τελείως ἔχετε ἀφανισθῆναι.*

Ἐὰν δὲ ἀναλογισώμεθα καὶ ἅπερ ἐδίδαξεν ὑμᾶς ὁ αὐτὸς
20 *Μωχούμετ, ὅτι ἀποθνήσκοντες ὑμεῖς εἰς τὸν παράδεισον εἰσέρχεσθε καὶ ἔχετε ἐκεῖ ἑπτὰ ἱππάρια καὶ ἑπτὰ γυναῖκας, ἃς πορνεύοντες πάλιν εὑρίσκετε παρθένους, | καὶ ὅτι* 100r *τρεῖς ποταμοὺς ἔχετε ἐκεῖ εἰς τὸν παράδεισον ὑμῶν, οἴνου καὶ μέλιτος καὶ γάλατος, ἀφ᾽ ὧν τρέφεσθε καὶ ζῆτε –*
25 *ἐρωτῶμεν οὖν ὑμᾶς πρῶτον περὶ τῶν γυναικῶν, διὰ τί ἐποίησεν ὁ θεὸς τὴν γυναῖκα. πάντως ἵνα ἀπὸ ἀνδρὸς ἐγκυμονῇ καὶ ποιῇ παιδίον διάδοχον ἑαυτοῦ εἰς τὸν κόσμον, οὐχὶ διὰ ἡδονὴν καὶ ἀκαθαρσίαν. ἔπειτα περὶ τῶν ποταμῶν ἐρωτῶμεν ὑμᾶς· τρεφόμενοι ὑμεῖς ἐξ αὐτῶν ἆρα απο-*
30 *κοπρίζετε τὴν τροφὴν ἐκείνην ἢ οὐχί; πάντως γὰρ ὁ τρώγων τὴν τροφὴν ἐκείνην ἔχει τὴν μὲν ἀναλισκομένην εἰς σύστασιν τοῦ σώματος αὐτοῦ, τὸ δὲ περισσὸν καὶ ἄχρηστον ἀποκοπρίζει· ἆρα οὖν τὴν κόπρον ὑμῶν ἐκείνην ἐν τῷ*

2–6 cf. Abel 367 n. 3 || **19–22** Alcor. 56, 35–38 (34–37); 3, 15 (13) || **22–24** ib. 47, 15 (16–17)

παραδείσῳ ἐκβάλλετε; καὶ εἰ πάντες Σαρακηνοὶ ἐν τῷ παραδείσῳ ὄντες ἀποκοπρίζουσι, πῶς οὐχὶ ἐν ὀλίγῳ καιρῷ γεμίζουσι τὸν παράδεισον κόπρου; εἰ δὲ ὥς λέγουσί τινες τῶν δοκούντων ἐξ ὑμῶν εἶναι φρονίμων, ὅτι οὐκ ἀποκοπρίζουσι τὴν βρῶσιν ἐκείνην, ἀλλὰ διὰ ἱδρώτων 5 ὅλου τοῦ σώματος τὸ περιττὸν καὶ ἄχρηστον ἀποκενοῦται, πρὸς τοῦτο λέγομεν ἡμεῖς ὅτι εἰ νῦν ἐν τῷ φθαρτῷ τούτῳ βίῳ διὰ μιᾶς ὀπῆς ἀποκενουμένης τῆς κόπρου δυσώδης ἡ ὀπὴ ἐκείνη γίνεται, ἆρα ὁ διὰ ὅλου τοῦ σώματος ἀποβαλλόμενος διὰ ἱδρώτων τὸ ἄχρηστον τῆς τροφῆς οὐχὶ 10 δυσώδης ὅλος ἔσται καὶ βδελυκτός; ὥστε ὁ παράδεισος ὑμῶν καὶ ὑμεῖς κόπρου ἀνάμεστοι καὶ δυσωδίας ἐστέ. καὶ ποῦ εὑρήσετε τοσοῦτον μόσχον, ἵνα μυρίζεσθε, ὥσπερ καὶ νῦν ἐν τῷ φθαρτῷ τούτῳ βίῳ ἐπιτηδεύετε;

Ἐὰν δὲ λέγετε ὅτι ʻκαὶ τίς ἡ ἀνάγκη ἵνα θεὸς ἐνανθρωπήσῃ;ʼ ἄκουσον. 15 τὸν Ἀδὰμ ἁμαρτήσαντα ἐν τῷ παραδείσῳ κατέκρινεν ὁ θεὸς θανάτῳ· καὶ ἐπειδὴ ἔδει πάλιν τὸ κατάκριμα τοῦ θανάτου ἀθετηθῆναι, ἐξ ἀνάγκης ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν ἔπεμψε θεὸν ὄντα, ἵνα θεοῦ υἱὸς καὶ θεὸς λύσῃ τὸ κατάκριμα τοῦ θανάτου, ὥσπερ καὶ βασιλέως 20 υἱὸς ἀποστέλλεται ὑπὸ τοῦ πατρὸς αὐτοῦ, ἵνα ἀθετήσῃ τὸ τοῦ πατρὸς αὐτοῦ ἐπιτίμιον. καὶ ὅτι ἠθετήθη τὸ τοῦ θανάτου ἐπιτίμιον ὑπὸ τοῦ Χριστοῦ, φανερὸν ἐκ τούτου. αὐτὸς γὰρ ὁ Χριστὸς θανατωθεὶς ὑπὸ Ἰουδαίων ἀνέστη ἐκ νεκρῶν καὶ οὐκέτι ἀποθνῄσκει. εἰ δὲ λέγετε ὅτι ʻκαὶ 25 πῶς ἔλυσε τὸ κατάκριμα τοῦ θανάτου; ἡμεῖς γάρ, ὥσπερ καὶ πρὸ τοῦ Χριστοῦ, οὕτως καὶ μετὰ τὸν Χριστὸν ἀποθνῄσκομενʼ, ἀκούσατε ὅτι πολλῶν ὄντων τῶν μελλόντων ἐν τῷ κόσμῳ εὐαρεστεῖν θεῷ, οὓς καὶ πρὸ τοῦ ποιῆσαι αὐτὸν τὸν κόσμον κατὰ τὸ ἀκατανόητον αὐτοῦ τῆς σοφίας 30 βάθος προώρισεν, οὐκ ἦν δίκαιον ἐπαγαγεῖν τὴν τελευταίαν ἀνάστασιν τῶν ἀνθρώπων τὸν θεὸν καὶ ζημιωθῆναι τοὺς μέλλοντας αὐτῷ δι᾽ ἀγαθῆς πολιτείας οἰκειωθῆναι.

16—17 Gen. 3, 19 || **24—25** Rom. 6, 9 || **29—31** Rom. 8, 29–30

13 *μυρίζεσθε*] *-εσθε* potius quam *-ησθε* **M**

ὅθεν ἀναστὰς ὁ Χριστὸς ἐκ νεκρῶν ἔδειξεν ἡμῖν ὅτι οἱ | φυλάξαντες τὰς ἐντολὰς αὐτοῦ τῆς ὁμοίας ἔχουσιν 100v ἀξιωθῆναι δόξης καὶ ἀναστήσονται καὶ αὐτοὶ μετὰ τῶν σωμάτων αὐτῶν, μεθ' ὧν ἐπολιτεύσαντο ἐν τῇ γῇ. πρὸ
5 γὰρ τῆς Χριστοῦ παρουσίας οὐδεμία ἦν ἐλπὶς ἀναστάσεως νεκρῶν, ἀπὸ δὲ τῆς Χριστοῦ ἀναστάσεως ἐφανερώθη ὅτι καὶ οἱ λοιποὶ ἄνθρωποι ἀναστήσονται μετὰ τῶν σωμάτων αὐτῶν, ἵνα οἱ μὲν τὰ ἀγαθὰ πράξαντες ἀπολάβωσι μετὰ τῶν σωμάτων αὐτῶν ἀγαθά, οἱ δὲ τὰ κακὰ πράξαντες ἀπο-
10 λάβωσι μετὰ τῶν σωμάτων αὐτῶν ὧν ἔπραξαν τὰ κακά.

Ταῦτα μὲν περὶ τῶν ληρημάτων αὐτῶν· τὰ δὲ λοιπά, ὅσα περὶ ἀλλαγίων κατεφλυαρήθη, ὑμῶν τῶν ταῦτα τεταγμένων ἀπὸ τοῦ ἀγαθοῦ βασιλέως διοικεῖν ἡ πρὸς αὐτὰ ἀπόκρισις καὶ διοίκησις καὶ ἀπολογία.

12 ὑμῶν] ἡμῶν (male) Cs

27

Πρὸς τοὺς βουλομένους ἀνατρέπειν τὰ παρ' ἡμῶν συνοδικῶς ὡρισμένα περὶ τῶν μεταθέσεων τῶν ἱερῶν θρόνων συμφώνως παρ' ἡμῶν ἐξενεχθέντα τῶν ἱερῶν κανόνων

De episcopis sedem mutantibus controversiam Arethae fuisse cum Nicolao ex Op. 14 (p. 149, 25–150, 24) videmus; praecepta renovaverat, Aretha fortasse auctore, synodus Constantinopolitana, nunc denuo in dubium vocantur. post Tomum Unionis (a. 920) scriptum esse hunc libellum colligas ex iis quae dicit de secundis matrimoniis. eundem vel similem casum tractat Op. 41.

„Canones neglegi non oportet. mos tunc solum pro lege esse potest, cum nulla lex invalidatur; si autem hic mos veteri legi praestaret, lege confirmatus esset, ut plurima alia in iure canonico. exempla vestra nihil valent, quia multitudine peccantium non excusatur reus; nec saluti ecclesiae, sed sibi consulunt qui id faciunt. sed praecepta viri qualis fuit Hosius spernere non licet, ob quae ipse Gregorius Nazianzenus sedem Constantinopolitanam relinquere coactus sit. in corporalibus matrimoniis tam severi sumus ut etiam mortua coniuge vix alterum conubium permittamus; quid ergo in spiritualibus faciamus? tamen etiam post synodicam constitutionem qui tunc nobiscum faciebant nunc defecerunt."

Ἔδει μὲν ἡμᾶς εὐγνώμονας καθισταμένους καὶ φιλο- 5
πάτορας ἐν ὅροις τε μένοντας τῆς εὐσεβείας καὶ ἀρχιερα-
τικὰ τελοῦντας ἐπιτηδεύματα, ἐκεῖνα κρατύνειν ὅσαι
ἡμέραι καταταχεῖν ὅσα πατέρες ἱεροὶ καὶ θεσπέσιοι
ἀπροσπαθεῖ κρίσει θείῳ κινούμενοι πνεύματι αὐτοί τε
διὰ βίου ἐτήρησαν καὶ τοῖς μετ' ἐκείνους ἐγγράφοις 10

27 Compernass[5] 94–97 || 7 ἐκεῖνα Cs: -αι M || 8 κατα^{τα}σχεῖν M

νομοθεσίαις κατοχυρώσαντες ἐβεβαίωσαν καὶ δή γε καὶ ἐνδίκοις προστίμοις τοὺς τούτων ἐδεδίξαντο παραβάτας. καὶ ἦν ἂν τοῦτο σοφὸν καὶ γνώμης ἐμφρονεστάτης ἐχόμενον, στοιχεῖν τοῖς γεγραμμένοις ἅτε δὴ θείοις συμβο-
5 λαίοις ἐκ θεοφορουμένων ἀνδρῶν τεθειμένοις καὶ μὴ ἄν ποτε μηδὲ μέχρις ἐννοίας παραποιεῖν τι τούτων βαλέσθαι ἐν νῷ, μηδὲ παρευδοκιμεῖσθαι τοῖς θύραθεν καὶ βεβήλοις τὰ τῆς ἡμετέρας αὐλῆς θεῖα καὶ ἄδυτα. ἦ γὰρ οὐχ ὑπὲρ μικρᾶς καὶ εἰκαίας γραμμῆς τὴν κεφαλὴν προὔτεινεν ὁ τοῖς τοιούτοις
10 ἐνασχολούμενος, ἀφ᾽ οὗ γε καὶ τὸ πολὺ τοῦτο περιφερόμενον 'τὰν κεφαλὰν καὶ μὴ τὰν γραμμάν'· ἀλλ᾽ οὕτω μὲν οὗτος καὶ ὑπὲρ τοιούτων, αἰσχύνῃ καθυποβάλλων ἡμᾶς τοὺς ὑπὲρ μεγίστων καὶ σωτηρίων κατόπιν οὐμενουν ὅσον εἰπεῖν ἐρχομένους ἐκείνου. ἐπεὶ δὲ ὁρῶ τινας τῶν δοκούν-
15 των εἶναί τι καὶ καθ᾽ ἡμᾶς τῶν μὲν χαρακτηρίζειν ἐχόντων Χριστιανοὺς ἱερῶν θεσπισμάτων παρὰ φαῦλον πεφροντικότας, ἔσθ᾽ ὅτε δὲ καὶ πρὸς ἀνατροπὴν τῶν θεοφιλῶς γεγραμμένων ἀδυσωπήτως χωρεῖν οὐκ ἀναινομένους, καὶ μάλιστα εἴ τινα ἐνορῷεν τῶν καθ᾽ ἡδονὴν ὑποτρέχουσαν
20 πρᾶξιν· ἢ καὶ ὑπόδικοι καταστάντες ἐκ τοῦ ἁλῶναι ἑαυτοῖς τι χαρίζεσθαι βεβουλημένοι, δέον ἐγκαλύπτεσθαι καὶ συγγνώμην αἰτεῖν ἐφ᾽ οἷς τῶν θείων ὠλιγώρησαν νόμων, τούτων μὲν ἐπιστροφὴν ἐσχήκασιν οὐδαμῶς, ἀνευλαβείᾳ δὲ | ὅσῃ πλείστῃ περικροτούμενοι καὶ ὑποδειγ- 101r
25 μάτων ὄχλῳ τὸ ἑαυτῶν αἶσχος περικαλλύνειν ἀπηυθαδίσαντο, οὐ συνιέντες, οἴμοι, ὡς ἄλλοι τινὲς οὕτω προϊόντες Χὰμ χρηματίσουσιν αἰσχύνην πατέρων εἰς ὕπαιθρον ἄγοντες, οὐδ᾽ εἴ τις τούτους βιαιοτάτη περίστασις τῆς ὀρθῆς ἀπεγύμνωσε κρίσεως λογιζόμενοι, ἀνθ᾽ ὧν περι-
30 βολαίῳ μᾶλλον σιωπῆς παραπέμπειν καλῶς εἶχεν αὐτοῖς ἢ μετ᾽ ἐκεῖνο καὶ τῷ Μωϋσέως τοῦ θείου προπετῶς ὑποκρούειν σοφῷ παραγγέλματι 'ἀσχημοσύνην' φάσκοντι

10–11 Elias, CAG XVIII 1, 28, 34–29, 2 || **14–15** Gal. 2, 6 || **26–28** Gen. 9, 20–27 || **31** – p. 248, **1** Lev. 18, 7

14 *δὲ* Wk: *καὶ* (?) **M** || **18** *ἀναινομένους* Wk: *ἀναιρομένους* **M**

'πατρός σου οὐκ ἀποκαλύψεις'· – ἐπεὶ τοίνυν πρὸς ταῦτα τὰ ψυχωφελῆ καὶ σωτήρια οὔτε ψυχῆς ὀφθαλμοῖς ὀξυωπεῖν ἔγνωσαν οὔτε ὠσὶν ἑστῶσι κατήκουσαν, κατὰ δὲ τὰς ἐπὶ σκηνῆς ὀρχηστρίδας τὰ ἄποπτα ἑαυτῶν δημοσιεύειν οὐκ ἐγκαλύπτονται, ἐκεῖνο πρὸς αὐτοὺς φιλικῶς σὺν 5 εὐμενείᾳ οὐκ ἀναινόμεθα ἐξειπεῖν, εἴ πως καὶ ἐπιγνόντες τὸ κεκριμένον γνωσιμαχῆσαι οὐκ ἀνανεύσαιεν· ὑποδείγμασι, βέλτιστοι, τὰς μεταθέσεις κρατύνειν ἐγνώκατε; εὖ ὑμῖν γένοιτο, εἰ πρὸς σώφρονας αἰτίας ἀποδραμεῖν ὑμῖν ὁ σκοπός· νῦν δὲ δέδοικα μὴ τοῖς ἐκ διαμέτρου ἁλῷητε, 10 ἐπὰν μήτε ἄγραφόν πω κατὰ ἐγγράφου τὸ κράτος ἠνέγκατο μηδ' ἀπὸ τῶν ἀποτευγμάτων τέχνη τις ἢ νόμος τὴν σύστασιν εἴληχε.

Τὸ γάρ τοι φάσκειν ὑμᾶς ὡς ἀνθορίζεται νόμος καὶ ἔθος, ὡς τὴν αὐτὴν δύναμιν ἀμφοῖν ἐχόντων, κάλλιστον τὸ ἐν- 15 θύμημα, εἰ λογισμοῦ εἴχετο τὰ τῆς ἐννοίας, ἀλλ' ἀγνοοῦντος, οἶμαι, τοῦτο τὸ εὐθές τε καὶ ἀξιέπαινον. ἐκεῖ γὰρ ἔθος ἰσχὺν ἔχει νόμου, ὅπου μὴ καταργεῖται νόμος, οὗ δὲ γραπτὸς νόμος, οὐχ εἷς, οὐ δύο, εἰ μὴ καὶ τρεῖς, οἶμαι δὲ καὶ πρὸς τὸ περαιτέρω τοῦ ἀριθμοῦ ἐκτεινόμενοι, πῶς τὸ 20 ἐξ ἀβουλίας ἔθος τοῦ βεβουλευμένως γραφέντος τὸ πλέον ἀποίσεται; καὶ ὅτι ἐξ ἀβουλίας τὸ τῆς μεταθέσεως ἔθος, ἐκεῖθεν ἔσται σαφές. οὐδαμοῦ γὰρ συνόδου ἀποφάσει αἱ μεταθέσεις ὑπέστησαν· ἢ γὰρ ἂν καὶ ἐγγράφως ἐβεβαιώθησαν, τῶν προεκτεθέντων τὸ ἧττον ἀνευρισκόντων τοῖς 25 νεωτέροις. οὕτως ἐπὶ τῶν μετὰ τὴν χειροτονίαν γαμεῖν τοὺς ἱερωμένους νεωτέρα νομοθεσία παρείλετο. οὕτως καὶ τὰς διὰ Κλήμεντος διατάξεις ἄλλη σύνοδος εἰς ἀριθμὸν περιστείλασα τὰ περιττὰ περιττῶς ἀπεπέμψατο. ἐπειδὴ δὲ οὐ συνόδοις τὰ τῶν μεταθέσεων, τολμηρίᾳ δὲ ἢ καὶ ἀνάγκῃ 30 τῶν ἀπαυθαδισαμένων τῶν ἱερῶν κανόνων τῇ τοῦ θεοῦ

26–27 Can. apost. 27 (Lauchert 4, 3–4); Can. Trull. 6 (Lauchert 104, 20–29) || **27–29** Can. Trull. 2 (Lauchert 101, 10–19)

1 *ἀποκαλύψεις* Cs: *-ης* **M** || **7** *κεκρυμμένον, -υμ-* ind., **M** || **12** *ἀπὸ τῶν*] bis **M** || **24** *ὑφέστησαν, -φ-* exp., **M**

ἐκκλησίᾳ παρεισέδυ, κλοπῇ καὶ κρυφιότητι τῶν δεδρακότων ὑπὸ τῷ λανθάνοντι χρόνῳ τὸ ἀκανόνιστον ἐναφανισάντων, ἆρα τοσαύτῃ διαμαρτίᾳ τῶν σωφρονεστέρων κατισχυόμεθα, ὡς τὸ ἀπαρρησίαστον παρρησιάζειν· μὴ
5 εὐλαβεῖσθαι; οὐκ ἂν τοῦτο ἐγὼ κρατύνειν ὑμᾶς ἀνασχοίμην, φιλάδελφός τε ὢν καὶ τὰ τοῦ πλησίον ἐμὰ λογιζόμενος ἀστοχήματα. |

Ἀλλὰ καὶ πρὸς τὸ πλῆθος τῶν ἀλλοκότων ὑποδειγμάτων 101v ἐκεῖνο ἂν δοκῶ μοι ἐρεῖν τὴν τοῦ θεοῦ ἐκκλησίαν· ʽἐπὶ
10 τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶνʼ. ὡς γὰρ τὰ ὑπὸ τῷ νώτῳ τεκταινόμενα λανθάνει τὸν πρὸς τὰ ἔμπροσθεν ἀφορῶντα, οὕτως καὶ τὰ ἀκανονίστως πραχθέντα λανθάνουσαν ἔχοντα τὴν προχείρισιν, πρὸς μόνον τοῦ αὐθαδῶς καταπραξαμένου τὸ
15 τόλμημα προφερόμενα, ἀδρανῆ καὶ ἀσύστατον κληροῦται τὴν διαμονήν. αἰσχύνομαι δὲ τοῖς πολλοῖς ὑμῶν ὑποδείγμασιν, οἷς τὸ τηνικαῦτα ἀποδεδεγμένος συνθήσομαι, ὁπηνίκα καὶ τὸν πολλοῖς συνενεχθέντα ἀτόποις τῷ πλήθει τῶν τολμηθέντων ἐκνικηθεὶς ἀνένοχον ἀποφήνωμαι. καὶ
20 δὴ καὶ αὐτὸς τοιαῦτά τινα καὶ πολλὰ παρὰ τὸν ἐκκλησιαστικὸν τύπον ἀπὸ τῆς ἱστορίας πραχθέντα λαβὼν ὡς νόμον ἐκ πονηρᾶς συνηθείας τῇ τοῦ θεοῦ παραβύσω ἐκκλησίᾳ, εἰ μή τοι τὸ μὴ μελαγχολίᾳ κατάληπτος ὀφθῆναι ὑπείδωμαι, ἐκεῖνο καὶ νῦν ὑπὸ τῶν σωφρονούντων ἀκούων
25 τὸ ʽοὐκ ἂν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς;ʼ πῶς γὰρ ἂν ὀρθῶς οὗτος διέλοι ὁ μηδὲ συνιέναι βουλόμενος τὴν ἀτοπίαν ὅση τοῦ ἐγχειρήματος τῶν ἱερῶν θρόνων τῆς μεταθέσεως; πλεονεξίας γὰρ χάριν ἐνεργουμένη καὶ δόξης ἐφέσει κενῆς, ὧν ἑκάτερον τὸ μὲν πρὸς
30 εἰδωλολατρείαν ἀποδιοπομπεῖται τὸν μετερχόμενον, εἴ γε Παῦλος ὁ τὰ θεῖα πολὺς ἀξιόπιστος τὴν πρᾶξιν πιστώσασθαι, τὸ δὲ βδελυκτὸν ἀποφαίνει κυρίῳ σοφὰ καὶ

9—11 Ps. 128, 3 || **25** Gen. 4, 7 || **29—32** Col. 3, 5 || **32**—p. 250, 2 Prov. 16, 5

19 ἀποφαίνωμαι (η supra αι), -αι- exp., **M** || **29** καινῆς (ε supra αι) **M**

ὑ ˀφορούμενα χείλη, ʿβδέλυγμαˀ φάσκοντα ʿπαρὰ κυρίῳ πᾶς ὁ ὑψηλοκάρδιοςˀ. ὁ τοίνυν ὡς μικρὰ ταῦτα καὶ περὶ μικρῶν παραγκωνιζόμενος ἀδεῶς τε χρῆσθαι ἢ διαφόρως ἀντινομοθετῶν, κατὰ τοιούτου ἀνδρὸς ἀνέδην ἐξανιστάμενος ὃν εἰ καὶ μὴ τοῦ ὀνόματος ἡ σεμνότης τῶν ῥευστῶν 5 καὶ περιπεζίων τῆς φροντίδος ἀνείλκυσεν (τί γὰρ ἂν ἄλλο ἡ ὁσιότης αἰνίττεται;), πρὸς δὲ καὶ ὁμολογίᾳ τῆς διὰ Χριστὸν πίστεως τὸ μεγαλεῖον αὐτῷ τοῦ ἀξιώματος προσεπόριζεν, ἀλλ᾿ οὖν ὅσα καὶ τοῖς ἀρχιερεῦσιν ἀναμφιλέκτως παρομαρτεῖ τὸ ἀπαράγραπτον αὐτῷ τῶν θεσπι- 10 ζομένων ἐπιρρωννύντων· ʿστόμα γὰρ ἱερέως λαλήσει κρίσιν καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγελος κυρίου παντοκράτορός ἐστι ˀ – τοσούτοις οὖν καὶ τοιούτοις κατοχυρουμένου τοῦ τὰς μεταθέσεις τῶν ἱερῶν θρόνων ἐνδίκως ποιναῖς αὐστηροτέραις, πρὸς ὅπερ εὐολί- 15 σθως ἐσχήκασιν ἄνθρωποι, ποινηλατήσαντος θεσμογράφου, τίς ἂν ὁ κατὰ τοσούτου καὶ τοιαύτης θεσμοθεσίας καταθρασυνόμενος λογισθείη;

Ἀλλὰ γὰρ ἵνα μὴ καὶ ὁ τοσοῦτος κίνδυνος, τοῖς λογο- 102ʳ μάχοις συνενεχθῆναι, μεμφθείη | ὅσον ὁ σώφρων λόγος 20 ὑπέστησεν τοῦ τῶν ἱερῶν θρόνων μεταγγισμοῦ, περὶ μικρὰ δῆθεν κενολογοῦσι μὴ τὰ εἰκότα ποιεῖν τὸν ἀφορήτοις ἐπιτιμίοις τὸ κοῦφον δήπουθεν τοῦ ἐγκλήματος ὑποβάλλοντα, – οἴονται μὲν οὗτοί τι λέγειν, ἀλλ᾿ οὐ καθαροὶ πλημμελείας. ἵνα γὰρ καὶ τοῦτο δοίη τις, ἀλλ᾿ οὔπω 25 συνιεῖσιν ὅλως ὡς καὶ τὰ μικρὰ τῶν ἁμαρτανομένων τῷ πολλοῖς ὡς εὐτελῆ δοκοῦντα ἀπεριμεριμνότατα ἀφειδεῖσθαι μειζόνων τετύχηκε τῶν αἰτιαμάτων, ὁ τῷ σαββάτῳ ξυλευόμενος παρὰ Μωϋσεῖ τῷ πρᾳοτάτῳ πένης ἐχέγγυος τὸν λόγον πιστώσασθαι. 30

7 mg. ὑπὲρ Χριστοῦ γὰρ ἐπὶ Ἰουλιανοῦ τῆς βασιλείας ἐμαρτύρησεν. || **19** mg. ad λογομάχοις] ʿτοῖς λογομάχοις συνενεχθῆναιˀ ἀντὶ τοῦ ʿἵνα τὰ τῶν λογομάχων καταδεξάμενοι ἐροῦμενˀ.

2–18 Can. Sard. 1–2 (Lauchert 51, 8–52, 24) || **7–9** Socr. Hist. eccl. 2, 31 || **11–13** Mal. 2, 7; cf. Ps. 36, 30 || **28–30** Num. 15, 32–36

20 ὅσον Wk: ὅσος **M** || **21** θρόνῶν (ου supra) **M** || **22** κοινολογοῦσι (ε supra) **M** || **26** συνίεισιν **M**

Εἰ δὲ καὶ ταῦτα παρῶμεν οὕτω μεγάλα καὶ περὶ μεγίστων ἀποφανθέντα, ἅπερ καὶ Γρηγόριον προταθέντα, ᾧ τὸ θεῖον εἶναι τὸν λόγον εἰς γνῶσιν ἀνθρώποις παράσημον, μετὰ πολλοὺς καὶ σωτηρίους ἱδρῶτας τοὺς ὑπὲρ τῆς
5 ἀμωμήτου πίστεως ἡμῶν πρὸς τοὺς αἱρετίζοντας αὐτῷ διηγωνισμένους τῆς ἐνταῦθα τοῦ θρόνου ἐκκλησίας ἀδυσωπήτως ἀπήλασε, τί ἂν ἐροῦμεν ἐφ᾿ ὧν ἐλαχίστων ἅτε σαρκικῶν καὶ περὶ τὴν ἔνυλον ματαιότητα στρεφομένων καταπραχθέντων ἡμῖν ἀγνωμονεστάτως; ἢ οὐχὶ τὸν μὲν
10 κώνωπα διυλίζοντες, τὸ ᾀδόμενον, φωραθείημεν, τὴν δὲ κάμηλον καταπίνοντες; ἑνὶ γὰρ λόγῳ, εἰ ταῖς μεταθέσεσι τῶν ἱερῶν θρόνων ἀφειδεῖν ἡμῖν ἕτοιμον οὕτω μεγίστου καὶ ὑπὲρ μεγίστων τολμήματος, τί μὴ καὶ τοὺς σαρκικοὺς γάμους ἀμείβειν καὶ μεταγγίζειν ἐκθύμως νενόμισται,
15 τῆς πενιχρᾶς καὶ ἀμόρφου τὴν εὐοπτοτάτην ἀντικαταλλάττουσι καὶ εὐπάρυφον, ἀλλὰ τοὺς μὲν οὕτω διακριβοῦν κατηπείχθημεν, ὡς καὶ ζωῆς αὐτῆς ἀφειδῆσαι, οὐχ ὅπως τὸ ζώσης τῆς πρώτης συζύγου ἑτέρᾳ μὴ μεθεῖναι συνοικεῖν τὸν ὁμόζυγα, ἀλλὰ τὸ καὶ τελευτησάσης τῆς πρώτης
20 μόγις ἐφεῖναι δευτέραν ἁρμόσασθαι; ὅπου δὲ πνευματικὸς ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος, πῶς ἂν ἔτι σωφρονοῖεν οἱ τὸ μὲν φθαρτὸν καὶ κοινὸν κιβδηλεύεσθαι ἀποικονομούμενοι, τὸ δὲ θεῖον καὶ ὑπεράγιον βεβήλως δολοῦν κατασπεύδοντες; καὶ ταῦτα μετὰ τὸ συνοδικῇ ἡμῶν ἀποφάσει τὸ μὲν πολὺ
25 τοῦτο καὶ κεχυμένον τοῖς φορτικοῖς ὑποδείγμασι πρὸς τοὺς ἑαυτοῦ φωλεοὺς ὑποδῦναι βεβαιωσάντων εἰς ἀνακάθαρσιν τῶν πάλαι καὶ ἱερῶν νόμων, τῶν ἤδη προχωρησάντων τὴν ἀμοιβὴν ὑπὸ φιλανθρωπίᾳ τοῦ ἐκεῖ παραπέμψαντες δικαιωτηρίου· ἐν οἷς συνέπαινοι ἑωρῶντο τῆς
30 ἀποφάσεως καὶ οὗτοι οἱ νῦν, οἴμοι, ταῖς χρείαις μεταποιούμενοι καὶ πρὸς τὰς χρόας τῶν προστυχόντων πολύποδι τρόπῳ μεταχρωννύμενοι.

9—11 Mt. 23, 24 ‖ **20—21** Hebr. 13, 4

4 τοὺς Wk: τῶν M ‖ **24** μετὰ τὸ] μὲν τῇ Cs

28

Στεφάνῳ πατριάρχῃ τῷ εὐνούχῳ εὐλαβῶς ἔχοντι τῇ ἐκ ψιλῶν λόγων αὐτοῦ ἀποφάσει μετ᾽ ἐπικρίσεως ἀρχιερέων ἀντιπρᾶξαι

Intercedit apud Stephanum patriarcham (29 Iun. 925–18 Iul. 927) pro episcopo quodam, de quo ob pertinaciam sententiam tulerat patriarcha, sed viva voce tantummodo, nunc sine litteris episcoporum poenam remittere recusat.

„Sapiens consilium audit; Deus ipse mandata sua duriora in mitius mutavit, nec fidei nostrae tantum, sed etiam sapientum Graecorum praecepta ad clementiam hortantur. nihil est quod Deo magis displiceat quam ira implacabilis. sed timore cavillatorum anxius veniam dare recusas sine auctoritate scripta, quae et nobis coepiscopis tuis et tibi ipsi vitio vertetur. memento quantum molestiae nobis attulerit quod pactionem de tua electione factam chartae commiseramus. ego et mecum omnes seniores hanc rationem suademus, iuniorum ferocitati iure praeferendam, qui hac occasione abutuntur ut se ipsos criminibus purgent. si quid unquam boni consilii tibi dedi, nunc me audi, ne iterum sero sapiens Arethae vaticinium evenisse queraris."

῾Σοφὸς καρδίᾳ δέξεται ἐντολάς᾽, ὁ σοφώτατος φησὶ
102ᵛ *Σολομών, καὶ ῾εἰσακούει ¦ δὲ συμβουλίας σοφός᾽, ὁ* 5
αὐτὸς οὗτος εἰσηγεῖται ἡμῖν· καὶ τὸ τούτῳ ἑξῆς σιωπῶ, τὸ
βλάσφημον ἄγαν περιϊστάμενος. οὔτε γὰρ τὰ αὐτόθεν
ὀνησιφόρα ἐπέχειν σοφόν, ὅτι μηδὲ τῶν καιρίων ἀθιγεῖς
μένειν εὐδόκιμον, οὐ τὸ πρὸς μῶμον ἐλαῦνόν τε καὶ
κατάγνωσιν αὐτῇ γενέσει παρρησιάζειν τοῖς πέλας 10

4 Prov. 10, 8 ‖ 5 ib. 12, 15

28 Karlin-Hayter[1] 366–370

ἐπαινετόν. τὸ μὲν γὰρ ἐπιπολαίου καὶ ἀλογίστου θερμότητος, τὸ δὲ γνώμης βαθείας καὶ συνετῆς, καὶ ᾗ φησὶ τὸ σοφὸν λόγιον 'ἐν στόματι ἀσυνέτου καρδία αὐτοῦ, καρδία δὲ σοφῶν στόμα αὐτῶν' καὶ 'λογισμοὶ δικαίων κρίματα'
5 ἕτερος αὖθις φιλοσοφεῖ. ἄνθρωπον μὲν οὖν ὄντα, φύσεως ἐφημέρου καὶ σφαλερᾶς καὶ οὐκ αὐτάρκους ἑαυτῇ μόνῃ χρήσασθαι σωτηρίως, λαβεῖν δὲ τὸ δέον πρὸς τοῦ ὁμοφύλου καὶ συγγενοῦς τούτῳ γε δὴ τῷ διὰ τῆς λεκτικῆς δυνάμεως ἡμῖν ἐγκαθιδρυμένῳ πορθμείῳ ὑπὸ τοῦ κρείττονος
10 παρασχεθέντι, οὐκ ἂν οἶμαι ἀδόκιμον τὸ μὴ ἐν ἑαυτοῦ οἴεσθαι μένοντα ἑλεῖν τε παρὰ τοῦ κεκτημένου τὸ ἐνδεὲς καὶ χάριν εἰδέναι τῷ παρασχόντι, ἀλλ' οὐ τῇ ματαιότητι τῆς ἀνενδεοῦς ὑπολήψεως αὐτόν τε τὰ μέγιστα σίνεσθαι τοῖς ἐξ ἀβουλίας καὶ γέλωτα τοῖς συνετοῖς ὀφλισκάνειν
15 μονοτονίας καὶ ἀλογίστου ἐνστάσεως. τί γὰρ τῶν εἰς ὠφέλειαν τεινόντων, ὅση ψυχῆς, ὅση σώματος, ἀπηνέστερον δεδόχθαι ἀντικαθῆσθαι ὡσπερεὶ βασκαίνοντας τῆς πρὸς ἑαυτοὺς τοῦ θείου χρηστότητος, ὅπερ ἐνάμιλλον νέμειν ἡμῖν τὸ ἑαυτοῦ εὐμενὲς τῇ πρὸς ἑαυτὸ ἐξαιτήσει
20 παρεγγυᾷ τῆς πρὸς τοὺς ὀφειλέτας ἡμῶν συγχωρήσεως.

Ἥμαρτεν ἀπειθήσας τῇ προτροπῇ ὁ συλλειτουργός; τί δαί; οὐκ ἄνθρωπος καὶ αὐτὸς πάθεσιν ἐνισχημένος ὀργῆς, μίσους, καὶ εἴ τι τῆς τοιαύτης ἐχόμενον συστοιχίας; ἅ γε δὴ μεταποιούμενα μὲν εἰς τὸ βέλτιον εἰς ἀρετὴν μετα-
25 στοιχειοῦται θειότητος, τῇ δ' ἐξ ἀρχῆς ἐμφιλοχωροῦντα σκληρότητι παρδάλεων μισανθρωπίᾳ παρείκασται. 'ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται' θεοληπτούμενος ἠπείλησεν Ἰωνᾶς· ἀλλ' οὐκ ἐμμένει τοῖς ἀπηνεστέροις τὰ πράγματα, φθάνει δὲ τὴν ἀπειλὴν ἡ τοῦ
30 θεοῦ χρηστότης οὐδὲν ἐντραπεῖσα τῇ μεταμελείᾳ τῆς

10 mg. ad οἶμαι] τὸ ἑξῆς 'οὐκ ἀδόκιμον οἶμαι τὸ μὴ οἴεσθαι ἐν ἑαυτῷ μένοντα τὸ ἑλεῖν'. || **26** mg. σημ(είωσαι).

3–4 Sir. 21, 26 || **4** Prov. 12, 5 || **18–20** Mt. 6, 12 || **25–26** cf. Ier. 13, 23 || **26–28** Ion. 3, 4

8 δὴ] vel δὲ **M** || **25** θειότητος] -ει- ex -ε- **M**

ἀτρεπτότητος ἥτις θεοῦ καὶ τῶν περὶ θεὸν ἔστι καὶ πεπίστευται. σκληρὸς Φαραώ, ἀλλ' Ἐρυθρὰ καὶ κῦμα τὸ ἄτεγκτον αὐτοῦ μαλάττειν οὐκ ἀναβάλλεται. τί δαὶ καὶ ὁ θεάνθρωπος Ἰησοῦς, οὗπερ ὑποδρηστῆρες ποιητικῶς ἡμεῖς φάναι, καὶ τούτου κατ' ἴχνος τὴν οἶμον τοῦ βίου 5 πορεύεσθαι τὸ εὐθές· τί πρὸς τὴν Χαναναίαν τὴν θεραπείαν αἰτούσῃ τῆς θυγατρὸς ἀπεκρίνατο; ἆρ' οὐχὶ τὸ 'οὐκ ἀπεστάλην εἰ μὴ πρὸς σωτηρίαν τῷ Ἰσραήλ'; ἀλλὰ τὸν λόγον ἠλλοίωσεν τῇ χρηστότητι. τί καὶ τοῖς μαθηταῖς ἀποστέλλων σωτῆρας τῆς Ἰουδαίας ὁ αὐτὸς διεστέλλετο; 10 ἆρ' οὐ τὸ μὴ εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν καὶ εἰς Σαμαρειτῶν | 103r πόλιν μὴ εἰσελθεῖν; ἀλλὰ τῶν λόγων ἔτι ῥεόντων τῆς διαστολῆς αὐτὸς ὁ τούτων εἰσηγητὴς Σαμαρείᾳ μὲν ἐπὶ δυσὶν ἐνηυλίζετο ἡμέραις, τοὺς μαθητὰς δὲ μετὰ τὴν ἐκ τῶν νεκρῶν ἀνάστασιν ἑαυτοῦ τοῖς ἔθνεσιν ἅπασιν 15 εὐαγγελιστὰς ἐξαπέστειλε, μικρὰ φροντίσας τῆς τέως ἀπὸ τῶν ἐθνῶν ὑποστολῆς καὶ φειδοῦς.

Ἀλλὰ τὰ μὲν θεῖα καὶ τῆς καθ' ἡμᾶς ἱερᾶς ἁγιστείας· τί δαί, εἰ καὶ τοὺς Ἕλληνας εἰς ἔλεγχον ἀνευρίσκοιμεν ἀναντίρρητον, πῇ μὲν 'στρεπταὶ μέν τε φρένες ἐσθλῶν' 20 ἀποφαινομένους, ὡς τῶν ἰσχυρογνωμόνων τε καὶ αὐτογνωμόνων παντὸς διαμαρτανόντων τοῦ ἐσθλοί τε καὶ εἶναι καὶ λέγεσθαι, πῇ δὲ 'τὸν φίλον μὴ ἐχθραίνειν ἁμαρτάδος εἵνεκα μικρῆς' ἐπισκήπτοντας; καμήλων μὲν γὰρ τὸ πρὸς κακίαν μνημονικόν, ἀνθρώπων δὲ τὸ παρ' αὐτὴν τὴν ὀργὴν 25 ὑπεκλύειν ἀφέσεσι τὸ θυμούμενον. καὶ τίνος χάριν; ἵνα μὴ τῇ ἐμμονωτάτῃ διαθέσει λανθάνοιμεν τῷ μίσει τοῦ κτίσαντος βυθιζόμενοι· οὐδὲ γὰρ οὕτως ἀποστρέφεταί τι θεὸς ὡς μνησίκακον ἄνθρωπον καὶ διατηροῦντα ὀργήν. ἢ γὰρ οὐ μνησίκακος ὁ τῇ κακωτικῇ ἐκφωνήσει τὸ ἔμμονον 30 συντηρῶν; ἐγὼ μὲν οἶμαι, κἂν μή τις ἄλλος συντίθεται.

2–3 Ex. 7–15 ‖ **3–9** Mt. 15, 21–28 ‖ **4–5** Hom. *ο* 330 ‖ **9–12** Mt. 10, 5 ‖ **12–14** Io. 4, 40 ‖ **14–16** Mt. 28, 19; Luc. 24, 47 ‖ **20** Hom. *O* 203 ‖ **23–24** Carm. aur. Pythag. 7 ‖ **24–25** Bas. in hexaem. 8, 1, PG 29, 165C 9–13 ‖ **28–29** cf. Prov. 12, 28

22 *τε* del.? ‖ **23** *πῇ* Kh: *μὴ* M

Ἀλλὰ φόβος ἡμᾶς τῶν φιλαιτίων πρὸς τὸ ἀνύπεικτον συνωθεῖ καὶ δεῖσθαι πρὸς τοῦτον ἐγγράφου ἀσφαλείας καταναγκάζει; αἰσχρόν, οἶμαι, καὶ ἱκανῶς ἄλογον μὴ διὰ λόγου τὸ λόγῳ ἁμαρτηθὲν ἐξιᾶσθαι, ἀλλ' ἀνευρίσκειν
5 προφάσεις, αἳ τοὺς συλλειτουργοὺς ἡμῖν εἰς Φρυνώνδας ἀποδιοπομποῦνται καὶ Καλλικῶντας, καὶ φιλοπονηρίας ἑαυτοὺς ἐπισάττειν φορτίοις. ἄλλως τε δέ, ὅτι μηδ' ἡ πρὸς τῇ ἀρχαιρεσίᾳ ὑμῶν συνήνεγκεν ἡμῖν ἐγγραφή· ὑπὲρ ἧς ὅσος ὑμῖν νῦν ἐκφυσᾶται πραγμάτων χειμών, τίς
10 ἀγνοεῖ; πῶς δὲ καὶ ἁγνῶς ἁγνοὶ τὸ θεῖον πατοῖμεν ἀνάκτορον καὶ ζῶντες ἅτε τὰς ἱλαστηρίους ἐντεύξεις τῷ περιεστῶτι λαῷ καὶ τοῖς ἐν κυρίῳ τεθνηκόσιν αἰτοίημεν, αὐτοὶ τῇ κατὰ τῶν ἀδελφῶν τεθανατωμένοι κακότητι; ἢ γὰρ οὐ ʽμνησικάκων ὁδοὶʼ τὸ ἱερὸν γράμμα ʽπρὸς θάνατονʼ
15 ἀπεφήνατο;

Κἀγὼ μὲν οὕτως καὶ πᾶσα ἡ κατ' ἐμὲ σωφρονεστάτη καὶ ἔνθεος πολιά. εἰ δέ τινες νεώτεροι καὶ ἀρτιπαγεῖς πρὸς τὴν ἀρχιερατικὴν τελειότητα ἢ καὶ φθόνῳ τινὲς ἄλλοι τῶν πέλας ὑποτυφόμενοι τὰς τοῦ κυρίου διαστρέφειν εὐθείας
20 ὁδοὺς κατεπείγουσιν, ἐπειδὰν μάλιστα τὸν πειθόμενον ἀνευρίσκωσιν, οὐχ ὅσιον οἶμαι τοὺς νέους προὐργιαιτέρους τῶν πρεσβυτέρων ποιεῖσθαι, τὸν ἐν ταῖς Βασιλείαις ἀναπεμπαζόμενον Ῥοβοάμ· καὶ πρός γε τούτῳ κἀκεῖνο ἐννοεῖν ὡς οἱ ἀνασείοντες οὐκ ἀθῷοι, ἀνθ' ὧν ἕρμαιον τὸν
25 καιρὸν εἰληφότες εἰς οἰκείωσιν ἑαυτῶν πρὸς τὸν ἐξάντεις αὐτοὺς τῶν αἰτιαμάτων δῆθεν ἀποφανοῦντα μορμολύκεια δείματα παιδαριώδη κινοῦντες χρηστοὶ τῷ δοκεῖν σύμβουλοι ὡς ἐκ μηχανῆς ἀναδείκνυνται.

Πλὴν εἴ τι | καὶ ἄλλο τῶν ἡμετέρων ἔχεις φιλίας 103ᵛ
30 ἐχέγγυον εἰς προφήτας ἡμᾶς τῇ ἀποβάσει διαμορφοῦν, ἔχου τῇ πείρᾳ τῆς συμβουλίας. ἀλλὰ μὴ εἴη, κύριε τοῦ ἐλέους,

5 CPG I 376; II 716 || **6** CPG I 2; II 93 || **13—15** Prov. 12, 28 || **19—20** Os. 14, 10; cf. Prov. 10, 9 || **22—23** 3 Reg. 12, 24p–u || **28** CPG I 210; II 12

6 *Καλλικῶντας*] *κιλλικῶντας*, -ι-¹ ex -α-, M

αὖθις ἀναβοῆσαι, κἂν εἰ μέλλοιμι νομισθῆναι ψευδοπροφήτης, τοῦτο ἐκεῖνο, καλὸς σύμβουλος Ἀρέθας καὶ τῇ ἐπιτυχίᾳ προφήτου δόξαν ἀποφερόμενος μηδὲ ἐξ ὑστεροβουλίας μεγίστης αἰσθέσθαι ζημίας ὧν ἡ ἐν τοῖς Ἄισμασι μελῳδουμένη εὐθύτης τὰ πρὸς ἀγάπησιν περιέψεται. 5

4 Cant. 1, 4; cf. Greg. Nyss. in Cant., PG 44, 785 D 12

29

Λέοντι βασιλεῖ ἐρωτήσαντι τίνας καὶ ποίους ἡ τοῦ θεοῦ ἐκκλησία πρόσφυγας ἐξαιρεῖται τῶν ἡμαρτημένων αὐτοῖς καὶ τίνας οὐκ ἀθῳώσεται

De iure supplicum protegendorum quod debetur ecclesiae et praesertim Sapientiae templo a Leone imperatore interrogatus, respondet Arethas Deo multo magis quam principibus terrestribus licere eos qui ad se confugerint tueri, idque si sub vetere testamento valuerit, quanto magis nunc. ergo eos qui sponte ad Dei ecclesiam venerint peccata sua confessuri, poenae saeculari tradi non oportere. si quis vero aut poenam sceleris aut iram potentis vitans eo perfugerit, patriarchae permissu abductum iri, ita tamen ut poena leniatur. qui alienis potiti sint, nonnisi rebus redditis absolvendos esse. cf. Op. 30.

Ἀσυλίᾳ τιμᾶσθαι τὰ καθ' ἡμᾶς ἱερά, κράτιστε βασιλεῦ,
5 *καὶ μάλιστα τὸ τῆς σοφίας τοῦ θεοῦ τέμενος, παλαιὸν ἔθος καὶ καλῶς ἔχον. εἰ γὰρ τὸ ἐπὶ γῆς κράτος ἐχέγγυον τὸν ἑαυτοῦ ἱκέτην τῶν καταδιωκόντων ἀπαλλάξαι τοῦ δέους, πόσῳ μᾶλλον θεός. ἀλλ' οὔτε πάλιν παράκλησις πρὸς ἁμαρτίαν θεός (πῶς γάρ; ὃς ἀπροσωπολήπτους τὰς*
10 *κρίσεις ποιεῖσθαι παρεγγυᾷ καὶ δικαίως τὸ δίκαιον μεταδιώκειν εἰς πολιτείας καθαρᾶς προκοπήν τε καὶ πρόοδον καὶ νόμοις κολάζει τοὺς ἁμαρτάνοντας τοῦτο μὲν θείοις, οὓς κανόνας προσαγορεύομεν, τοῦτο δὲ καὶ πολιτείας θεσμοῖς, οὓς αὐτὸ τοῦτο νόμους κατονομάζουσιν) οὔτε*
15 *μηδ' ἥντινα τοῦ πρὸς ὃν καταπέφευγε λαμβάνοντας αἰδῶ*

9–11 Deut. 16, 19–20

29 Triantaphyllopoulos[2] 7–8

ἀφαιρεῖσθαι τὸν ἱκετεύοντα θεῷ δίκαιον, ὡς καὶ τὸν κατὰ Μωσέα νόμον τοῦ κατὰ Χριστὸν καθυπερτερεῖν, πόλεσιν ἐκείνου τῶν φυγαδευτηρίων εἰ καὶ τοῖς ἀκουσίως πεπλημμεληκόσιν ἀφορισαμένου, αὐτοῦ μηδὲν τοιοῦτον δείξασθαι δυνατοῦ ἀλλ' ἔκδοτον ἀπροφασίστως τὸν καταπεφευγότα παρέχοντος. καίτοι πόσον τὸ διαφέρον τοῦ ἀποκτέννοντος γράμματος πρὸς τὸ ζωοποιεῖν πεφυκὸς πνεῦμα τῆς χάριτος. 5

Διά τοι τοῦτο, εἰ μὲν ἐξαγορεῦσαι τὸ ἑαυτοῦ σφάλμα προσῆλθε θεῷ καὶ μετανοίᾳ τὸ ἁμάρτημα θεραπεῦσαι, οὐδεὶς ἄξιος ἐλέους θεοῦ ὃς ὑπὸ δίκην τὸν τοιοῦτον ἐλάσει, τὸ πᾶσιν ἀνθρώποις εἰς ὀφειλὴν ἀκεσώδυνον ἐπηρεάσας καὶ οὗ κατόπιν πᾶσα θυσία, ὅση καὶ ἥτις, ἀπὸ θεοῦ στόματος κέκριται. εἰ δὲ μετανοίας μὲν πρὸς οὐδὲν ἀπεῖδεν ὁ προσφυγών, ἁρπάζων δὲ τὸν καιρὸν καὶ τὸ αὐστηρὸν τῆς δίκης ἀποδιδράσκων, ἢ καὶ τῷ μὴ προπετῶς θυμῷ μάλιστα βασιλέως ἁλῶναι ἢ τινος ἄλλου τῶν ἐπεξουσίων τὸν θεῖον καταλαμβάνει σηκόν, οὐκ ἂν οἶμαι πρὸς τοὺς εὐγνώμονας μετατάττοιτο ὁ βίᾳ τοῦτον τοῦ ἱεροῦ ἀποσπῶν καὶ πρὸς εὐθύνην ἀνεπίσκοπον αὐτὸν παριστῶν. ὅθεν ὡς ἂν καὶ ἡ πρὸς τὸν τοῦ θεοῦ νεὼν αἰδὼς | διαφυλαχθῇ καὶ ἡ τῶν νόμων μὴ ἀτιμῷτο παιδαγωγία, ἀλλ' ἑκατέροις τὸ πρόσφορον διατηρηθῇ, γνώμῃ τοῦ ἀρχιερέως λαμβάνων αὐτὸν ὁ ἐκζητῶν τὸ δίκαιον προσηνῶς καὶ κρίσει λελογισμένῃ τὸ τολμηθὲν ἐξετάσας διαιτάτω τὸ κατὰ τὸν ὑπόδικον πρακτέον, ἂν μὲν εἰς ἐλάχιστον ἡ πλημμέλεια, πρὸς παντελῆ συγγνώμην διατιθέμενος, εἰ δὲ βαρὺ καὶ ἀσύγγνωστον τὸ κακόν, ἀλλ' οὖν καὶ οὕτως τυγχανέτω φειδοῦς ὁ ὑπόδικος ἀλλὰ μὴ κατ' ἀξίαν ὧν παρηνόμησεν ἐπιμετρείσθω τῷ ταλαιπώρῳ τὸ πρόστιμον, πρὸς τὸ κουφότερον δὲ καὶ ἐπιεικέστερον, ἀνθ' ὧν ἱκετεύων ὤφθη θεῷ, εἴτε ἱεραῖς ὑποτιμήσεσι 10 15 20 104r 25 30

2–4 Num. 35, 9–29 || **6–8** 2 Cor. 3, 6 || **13–14** Ps. 50, 18–19

18 *ἐπεξουσιῶν* **M**

κατὰ τὸ σφοδρὸν ἐκδιδόμενος εἴτε καὶ δημοσίαις ζημιώσεσι
καὶ φυγαδείαις ὑπεκκείμενος ἂν πρὸς ἀπαλλαγὴν τοῦ βίου
τὸ ἔγκλημα διευθύνοιτο. ἢ τίς ἡ περισσεία θεοῦ καὶ
ἀνθρώπων, εἰ φίλοις ἔσθ' ὅτε τοὺς ὑπευθύνους ἡμῖν
5 ἀπολύομεν ἢ καὶ τοῖς μέγιστα δυναμένοις, θεὸν δὲ μηδὲ
καθ' ἑαυτούς τινα λογιζώμεθα;

Οὗτος δ' ὁ τύπος, φιλάνθρωπε βασιλεῦ, ἐμὴν γνώμην
ἐφ' ὧν προδεδήλωται ἐγκλημάτων· ἐπὶ δὲ τῶν ἀδίκων τε
καὶ πλεονεκτῶν οὐκ ἔστι τις ἄλλη τῷ ἱκετεύοντι λύσις ἢ
10 τὸ τοῖς ἠδικημένοις τὸ πλεονεκτηθὲν ἀποτῖσαι. καὶ γὰρ
ἐπὶ τῶν ἄλλων κακῶν πάντως ἀπολήγει τῇ ὑποτιμήσει
τὸ τολμηθὲν καὶ καταργεῖται τῇ ἀπραξίᾳ ἡ ἁμαρτία, ὁ δὲ
τὸν πλεονέκτην συγγνωμονῶν ἀφιεὶς οὐδέν τι τούτων αὐτὸν
προστετίμηκεν ἀλλ' εἴασε τὸν τὰ ἀλλότρια κατανεμόμενον
15 τῷ ἑαυτοῦ ἁμαρτήματι ἀεὶ ἐνεργόν, τὰς συμφορὰς τῶν
πενήτων εἰς ἀνενόχλητον γεωργοῦντα καὶ τοῖς ἐκείνων
δακρύοις κατατρυφῶντα ἀδεῶς· οὗ τί ἂν ἄλλο τοῖς
πλεονέκταις εἰς ἕρμαιον χαριέστερον;

5 διαλύομεν (ἀπο supra lin.), δια- exp., M ‖ 6 fort. λογιζόμεθα

30

Κοσμᾷ μαγίστρῳ περὶ τῶν αὐτῶν

Cum epistula Arethae ad Leonem de iure supplicum scripta (Op. 29) incuria deperisset, nunc iterum post mortem Leonis Cosma magistro rogante de homicidis supplicibus factis sententiam dicit. quid sit homicidium primum definit, et cur perpetretur: ob invidiam, lucrum, odium, tyrannidem, sui defendendi causa, ad praeveniendas insidias, per bellum, Dei zelo ad exstirpandos impios, et ob alia similia. qui scientes homicidium fecerunt, si antequam convincantur confessi sunt, eos accipit ecclesia longam paenitentiam subituros; qui instantibus persecutoribus eo confugerunt, totum tempus vitae incarcerantur; si saepius in idem recciderunt, nulla venia datur. caedem in bello factam duorum annorum paenitentia puniendam censet Basilius, simili modo tractanda quae religionis causa fit. si quis invitus fecit, leviorem poenam sustinet. sunt et media quaedam, velut si quis iracundia excitatus gravius vulnus quam volebat inflixit, aut per ebrietatem caedem commisit; de quibus Basilium et Aristotelem secutus praecepta dat Arethas.

Iam provectus aetate, ergo aliquanto post a. 912, haec scripsit; non tamen post a. 925, quo Cosmas magistratu demotus est.

Ἃ μὲν τῷ μακαρίτῃ βασιλεῖ Λέοντι πυθομένῳ τίνας τῶν ἀνδροφόνων ἡ καθ' ἡμᾶς ἁγιωτάτη τοῦ θεοῦ ἐκκλησία τῷ τῶν ἀνδροφόνων ὑπάγεται ἐπικλήματι καὶ τίσιν ὑπανοίγει τὰ φιλάνθρωπα σπλάγχνα καὶ ποίοις λόγοις 5
ταῦτα κρατύνουσα τὸ ἀπρόσκοπον ἑαυτῇ διοικονομεῖται, ταῦτα παρ' ἡμῶν ἀπαιτοῦντι γέγραπται μὲν καὶ ἐπιδέδοται τῷ ἠξιωκότι, ἠφάνισται δὲ ῥᾳστώνῃ, ὡς ἔοικε, τοῦ λαβόντος, σύνδρομον τῇ γενέσει καὶ τὴν φθορὰν κληρωσάμενα. ἀφ' οὗ καὶ τῆς ὑμετέρας μεγαλονοίας 10

30 Triantaphyllopoulos[1] 172–174

ἐπιζητησάσης ἀπόρως ἐσχήκαμεν τὸν πόθον ἀφοσιώσασθαι. ἀλλ' εἴ τί γε χρὴ μὴ πάντη κενὸν ἀποπέμψασθαι τὸν αἰτοῦντα, ὅτι μηδ' ἄλλως ἐπαινετὸν ἐλπίδα καταισχῦναί τε καὶ καταβαλεῖν τοσούτου ἀνδρός, ἐφ' ᾧ μόνῳ
5 *σχεδὸν ἀποσαλεύει τὰ Θέμιδος ἀνεπηρεάστοις ῥοπαῖς τάλαντα, ἥκομεν μεθ' ὧν ἐκεῖ πεφιλοτιμήμεθα εὐγνώμονες καὶ αὖθις γεννήτορες, κἂν ἐπὶ γήραος οὐδῷ, τὸ τῶν θύραθεν σοφῶν φθέγξασθαι, τὸν τόκον ὑμῖν ὑ|πεκθέσθαι* 104ᵛ *ὑπὸ χρησταῖς μαιευτρίαις, ταῖς ὑμετέραις φημὶ συζητήσεσι*
10 *καὶ δοκιμασίαις ὡς ἄλλαις παιδοκομίαις, εἴτε πρὸς ζῶσαν τὸν τοῦ γήρως υἱὸν ἐπιδοῦναι κατάστασιν, εἴτε καὶ πρὸς ἀνεμιαίαν γονὴν νοθευόμενον ἀώρῳ τε καὶ ἀτρόφῳ παραβάλλειν δυστυχήματι.*

Ἀλλ' ἵνα καθ' ὁδὸν ἡμῖν ὁ τόκος προΐῃ, εἰρήσθω
15 *πρότερον καὶ περιωρίσθω, τί φόνος καὶ ὅσαις οὗτος ἀφορμώμενος αἰτίαις ὑποδίκους ἢ μὴ τοὺς τολμητὰς τούτου παρέχεται· ἔσται γὰρ οὕτως, ὥς μοι δοκῶ, ἐντελεστέρα τῶν φθασάντων ἡ μετὰ χεῖρα διάληψις. ἔστιν οὖν φόνος ἀνθρώπου τόλμα θυμῷ ζέοντι παρακεκινημένου καὶ πρὸς*
20 *ἀναίρεσιν τοῦ εἶναι τὸ συγγενὲς ἀδυσωπήτως τῆς φύσεως σπεύδοντος, ἤτοι φθόνῳ τῶν τοῦ πέλας προτερημάτων συσκευαζόμενος ἢ κέρδους κτημάτων δολοπλοκούμενος ἢ μίσει τῶν ἀπ' ἐναντίας ἠθῶν τοῦ πεπονθότος θηριωδῶς ἀνυόμενος ἢ τυραννίδος ἐλευθερίᾳ παραβολώτερον ἐγ-*
25 *χειρούμενος ἢ φθῆναι τὸ παθεῖν τῷ δρᾶσαι κατασπευδόμενος ἢ τῶν ἐπιβούλως ἐπιόντων τισὶ τῷ κράτει τῶν ἀντανισταμένων παρεισδυόμενος ἢ πολέμου συρράξει τῷ ἀριστείῳ τοὺς διαγωνιζομένους ὑπολιχνεύων εἰς πρόοδον ἢ ζήλῳ τοῦ πεποιηκότος θεοῦ εἰς ὄλεθρον τῶν ἀσεβῶν*
30 *προαγόμενος ἢ τισιν ἄλλαις οὐ πόρρω τῶν προκειμένων προφάσεσι συντελούμενος.*

18 mg. ὅρος φόν(ου).

6–7 Plat. Phaedr. 274e 9–275a 2 || **7–8** Hom. *X* 60 || **8–9** Plat. Theaet. 151b 8–c 5 || **11–13** ib. 150b 9–c 3; 151e 5–6

26 τῷ Wk: τὸ M

Ἀλλ᾽ ὅσα μὲν τούτων πρὸς ὑμᾶς ἀπονεύει τοὺς τὰς πολιτικὰς εὐθύνας μεταχειρίζοντας, ὑμεῖς ἂν εἰδείητε καὶ τὸ τίμημα ἐπιθεῖναι καταλλήλως οἶμαι τῇ τόλμῃ ἐπιβραβεύοντες. ἃ δὲ ταῖς ἐκκλησιαστικαῖς ἀνεῖται φροντίσι καὶ τῷ πολυπτύχῳ τούτων τῆς σωτηρίας ἀποκαθίσταται 5 *ἰατρείῳ, οἴκτῳ τῶν προσιόντων ἀκεσώδυνα φάρμακα κερασάμενοι μεθ᾽ ἧς ἐξουσίας ὁ τῶν ἁπάντων θεὸς τοῖς ἱεροτελεσταῖς ἡμῖν ἐδωρήσατο, ταῦτα συμπαθεστέρῳ ἐκλογισμῷ τοῦ ἕλκους διακαθάραντες καὶ τί μὲν ἰάσιμον τούτων ἐπεγνωκότες τί δὲ πρὸς τὸ πάντῃ ἀνήκεστον* 10 *ἀποκλίνει, τὸ μὲν πρὸς ἀπούλωσιν ἀφορῶν ἀνελάβομεν, τὸ δ᾽ οὐ τοιοῦτον νομικοῖς ἐτασμοῖς παρεπέμψαμεν, ἑκούσιον φόνον τηνικαῦτα παιωνείοις λουτροῖς καταιονᾶν ἐναρχόμενοι ὁπηνίκα μηδενὸς συνειδότος τῷ δεδρακότι τὸ ἄγος αὐτὸς οὗτος ἑαυτοῦ κατήγορος ἀναφανείη, ἐλέγχους* 15 *ἀπαραγράπτους τοὺς οἰκείους παραστησάμενος λογισμοὺς εἰς ἀπαραίτητον κρίσιν προάγοντας. καὶ τίς ἡ τοῦ τοιούτου ἔμπλαστρος μύσους; βίος ὅλος σχεδὸν ἀνθρώπου, καθ᾽ ὃν βαθμοῖς ἐναθλοῦντα τὸν τολμητίαν αὐστηροτέροις, καὶ δή γε καὶ πραϋτέροις λοιπὸν διαγόμενον, ἐπὰν διαβεβηκὼς ᾖ* 20 105ʳ *τὰ τοιαῦτα καθάρσια | μετὰ τῆς ἐμμελεστέρας ἀγωγῆς τε καὶ συντηρήσεως, οὕτως τῇ τοῦ ἀγαθοῦ μετοχῇ τε καθίσταμεν καὶ ἀπολαύσει. ὃν γὰρ ἐλέγχων ἰχνηλατεῖ στῖφος, εἰ μὴ φθάσας ἐκείνους τοῖς ἱεροῖς παρεισδύσῃ σηκοῖς, ἀφ᾽ ὧν τῇ διὰ βίου παραδοθείη κατάκλειστος* 25 *καταδίκῃ – οὐ γὰρ καὶ ἀποσπᾶν ὅσιον ἱκέτην τῶν ἀνακτόρων οὐδ᾽ ἀτιμάζειν ταύτῃ τὰ θεῖα καὶ νέα, οὐδ᾽ ὅσον εἰς ἐκδικίαν τῶν παλαιῶν τι φυγαδευτηρίων πλεονεκτεῖν ἔχοντα – εἰ γὰρ μὴ τοῦτο, καὶ μάλισθ᾽ ὅτε καὶ συνηθείᾳ κακουργοτάτῃ ὡς ἄλλῳ τινὶ γυμνασίῳ τῷ φόνῳ ἐγκαλλωπίζεται,* 30 *οὐκ ἔσθ᾽ ὅστις τοῦτον τῆς νομικῆς καταδίκης ἐξέληται, οὐδὲ εἰ Νῶε καὶ Δανιήλ, τὸ τοῦ προφήτου εἰπεῖν, ἐγγυητὰς παραστήσεται.*

15–17 cf. Rom. 2, 15 || **32–33** Ez. 14, 12–20

18 *ἔμπλαστρος* Gebhardt: *ἔμπραστρος* **M** || **28** *φυγατευτηρίων* **M** || **30** *ἐγκαλλωπίζεται*] *-εται* aut *-ηται* **M**

*Παραχωρεῖται καὶ τοῖς ἐν πολέμοις κατὰ τῶν ἀντι-
πάλων ἀνδραγαθοῦσιν ὁ φόνος ἐπὶ δυσὶν ἔτεσι μόνοις
τοῦ θείου Βασιλείου θεσπίσαντος τῶν μυστηρίων τούτους
ἀπείργεσθαι. τούτῳ τῷ τύπῳ καὶ οἱ θεοῦ ζήλῳ τὸν φόνον
5 κατεργαζόμενοι διατίθενται.*

*Τὰ μέντοι ἀκούσια, ὅσα μὲν πάντη τῷ ἀνευθύνῳ
περιστοιχίζεται μετριωτέρων τυγχάνει τῶν ἱερῶν τιμημά-
των. καὶ ποῖα ταῦτα; εἰ κατὰ τὸν Λυδόν τις Ἄδραστον
ἁλῷ ἀτυχήματι κεχρημένος, κατ' ἄλλου μὲν ἐπαφεὶς τὸ
10 ἀκόντιον, ἑτέρου δ' ἐκ παρόδου τὴν φορὰν ὑποδραμόντος,
ἢ καὶ λίθῳ κατασεῖσαι φυτοῦ καρπὸν πρὸς ἀπόλαυσιν
ὀριγνώμενος τὸν κατόπιν ἑστῶτα τοῦ δένδρου πληγὴν
βάλοι θανάτου, μηδὲν ὅλως τοῦ συγκυρήσοντος προϊδό-
μενος· ὡσαύτως δὲ καὶ κατὰ θηρός.*

*15 Ἔστι καὶ μεταξὺ ἑκουσίου καὶ ἀκουσίου πλημμέλεια. καὶ
ποία αὕτη; εἰ πρὸς πληγὴν ὀργάνῳ τις τοῦ πέλας θάνατον
αὐτῷ προεξένισεν· ὑπερτεῖνον γὰρ τὸ παιδαγωγὸν ὄργανον
τὴν ἰσχὺν τοῦ ὑποδεχομένου τὴν μάστιγα οὔτε πρὸς ἀκούσιον
ἀπορριπτεῖται τὸ ἔγκλημα (τί γὰρ ἐχρῆν βαρυτέρῳ τῆς
20 δυνάμεως ἀποχρήσασθαι ὅπλῳ;) οὐ μέντοι καὶ τοῖς ἑκου-
σίοις προσνέμεται· οὐδὲ γὰρ ἀποκτεῖναι σκοπός, ἀλλὰ
πληγῇ σώφρονι τὸ ἀνοιδοῦν τοῦ θυμοῦ καταστεῖλαι. εἰ δὲ
καὶ ξίφος τὸ ὄργανον, ἀναντιρρήτως οὗτος τοῖς ἐνόχοις
τοῦ φόνου ὁ ταῦτα τολμήσας ὑπάγεται. οὐ γάρ που ἠγνόει
25 ὡς μεταχείρισις ξίφους πληγὴν ἐπάγει θανάτου· εἰ δὲ καὶ
θυμὸς ὥπλισεν, καὶ τί τοσοῦτον ἀνδραποδισθῆναι παρεῖχεν
θυμῷ ὡς ἀγνοῆσαι τὸ δέον, ἕτερον τρόπον ὃν καὶ οἱ ἀγνοίᾳ
τύψαι προφασιζόμενοι τοὺς πατέρας; τύπτουσι γὰρ καὶ
τὰ νήπια τοὺς γονέας, ἀλλ' ἀγνοοῦντα τύπτουσι· καὶ οἱ
30 κάτοχοι οἴνῳ, ἀλλὰ τῆς μέθης αὐτοὺς εἰς ἄγνοιαν ἐκβακ-
χευσάσης. οὓς οὐδεὶς ἂν ἀγνοίας ὑποτιμήσεται ἐκδότους*

1–4 cf. Bas. Ep. 188, can. 13, PG 32, 681 B 12–C 2 || **8–10** Herod. 1, 43 || **11–14** Bas. Ep. 188, can. 8, PG 32, 676 A 15–B 6 || **15–22** ib. B 6–9 || **24–27** ib. C 8–10 || **27 – p. 264, 2** Aristot. Magna mor. I 33, 1195 a 27–b 4

16 *ὀργάνῳ*] fort. *ὀργῶν*, vel *ὀργάνῳ* ⟨*χρώμενος*⟩ || **23** fort. *οὕτως*

ἑαυτοὺς καταστήσαντας οἴνῳ· τί γὰρ ἔδει πίνειν τοσοῦτον
105ᵛ *ὡς ἀγνοῆσαι τύπτοντας τοὺς | πατέρας;*

Ταῦτα καὶ Βασιλείῳ τῷ ἡμετέρῳ προδιηκριβολόγηται καὶ ἡμῖν ἐξ ἐκείνου καὶ πάλαι καθ' ἣν ἐπεζήτησε γραφὴν ἡ ὑμετέρα μεγαλοπρέπεια κατετέθη· κἀκείνης προαπολω- 5 *λυίας, ὡς ἔφθημεν εἰρηκότες, ἡ προκειμένη σύνταξις τὰ ταύτης ὑπέδυ, διαχαράττουσα καὶ γνωρίζουσα οὐδὲν οἶμαι τῶν κατ' ἐκείνην φαυλότερον, εἰ μή τι καὶ πολλῷ τῷ μέσῳ σαφέστερόν τε καὶ εὐκρινέστερον.*

3 Bas. Ep. 188, can. 8, PG 32, 676 A 11–677 B 1

31

Ῥωμανῷ βασιλεῖ

Romano imperatori gratulatur de pace cum Bulgaris facta, dona offert, nepti imperatoris Petro Bulgarorum regi nuptae (d. 8 Oct. 927) felix matrimonium precatur.

Ἐπὶ μεγάλῳ κατορθώματι τῆς νῦν ἐνεργουμένης κοσμικῆς εἰρήνης καὶ ὃ μηδεὶς ἤλπισεν ἀνθρώπων, ἐκ μόνης δὲ τῆς τοῦ ὑπεραγάθου θεοῦ ἀνυπερβλήτου χρη-
5 *στότητος ἀποτελεσθέντι, αὐτῷ τῷ μεγάλα καὶ θαυμαστὰ ποιοῦντι θεῷ τὰς εὐχαριστηρίους ἀναπέμπομεν φωνάς, ὡς δυνατὸν ἀνθρωπίνῃ φύσει. σὲ δέ, βασιλεῦ θεόστεπτε, ἐφ' οὗ ταῦτα ηὐδόκησεν ὁ ἀγαθὸς θεὸς τοῖς ὑποχειρίοις ὑμῶν βραβευθῆναι, τιμῶντες καὶ τῆς εὐτυχίας τοῦ*
10 *τοσούτου μακαρίζοντες ἀγαθοῦ, ἀφ' ὧν ἡ πενία ἡμῶν εὐπορεῖ δεξιοῦσθαι τετολμήκαμεν, ἀνάξια μὲν ἴσως τῆς σῆς τοῦ λαμβάνοντος τύχης καὶ δόξης, ἀλλὰ τῆς προθυμίας ἡμῶν ἐκ περιχαρείας τῶν τελουμένων τοῦ μεγάλα νομισθῆναι οὐκ ἐλαττούμενα· καὶ μάλιστα ὅτι τοιούτοις*
15 *τὸ ἐπίγειον κράτος δωροφοροῦμεν ὁποίοις καὶ τὸν ἀνώτερον πάσης ἀρχῆς καὶ ἐξουσίας θεόν. θυμίαμα γὰρ ἐκλεκτὸν τὸ δωρούμενον ἐν χρυσαργύρῳ σκεύει τεταμιευμένον. τί διὰ τούτων αἰνιττόμενοι καὶ εὐχόμενοι; τὸ εἰς ὀσμὴν εὐωδίας θεῷ καὶ ἀνθρώποις προβῆναι τὰ νῦν ἐπὶ*

5–6 cf. Ps. 97, 1 || **15–16** Col. 2, 10 || **18–19** Ex. 29, 18 etc.; Eph. 5, 2

31 MC — Papadopulos-Kerameus[2] 269–270; Šestakov[1] 161; id.[2] 99 || **1** *Ῥωμανῷ βασιλεῖ* **M**: *Τοῦ αὐτοῦ Ῥ- τῷ β-* **C** || **6** *εὐχαριστηρίους* **M**: *εὐχαριστίους* **C** || **13** *μεγάλα* **C**: *-ου* **M** || **18** *τούτων* **M**: *-ου* **C**

τῇ κοσμικῇ εἰρήνῃ διοικούμενα καὶ τῷ ἀπὸ τῆς βασιλείου ὀσφύος εὐγενεῖ βλαστήματι εἰς σύνδεσμον ἀδιάσπαστον τῆς εἰρήνης πρὸς γάμον ἐκδιδομένῳ καλλίτεκνον καὶ πολύτεκνον προβῆναι τὸ ἔργον, ἵνα μὴ μόνον ἡ Ῥωμαίων ἀρχὴ καὶ βασιλεία διὰ τῆς σῆς κατακοσμῆται αὐτο- 5 κρατορικῆς δόξης, ἀλλὰ καὶ τὰ βάρβαρα ἔθνη διὰ τοῦ συγγενοῦς ὑμῶν ἐγκεντρίσματος ἐξημερῶται καὶ πρὸς ἀνθρωπίνης ζωῆς ἀρετὴν μεταποιῆται καὶ μεθαρμόζηται.

5 κατακοσμῆται **M**: κοσμεῖτε **C** || 8 μεθαρμόζηται **M**: -εται **C**

32

Νικήτᾳ σχολαστικῷ

Nicetae Paphlagonis orationem in laudem S. Gregorii Theologi (PGr. 105, 439–488) post lene exordium vehementer carpit ut informem et immensam, ut Gregorii dictionem intempestive imitantem, maxime autem ut nimiam in adhibenda comparatione, quam cum cetera materia orationis temere commiscuerit. ea vitia si sustulerit, dignam futuram Gregorio et se Nicetae magistro.

Ante a. 907 scriptum, quo ineunte Arethae et Nicetae familiaritas dirupta est.

Ἐπῆλθον τὸν λόγον σὺν ἀκριβεῖ τῇ ἐντυχίᾳ, ἀλλ'
οὑτωσὶ μὲν πρὸς χάριν ἐρεῖν καὶ ἵνα μὴ τοσοῦτον ὠγύγιον,
φασίν, ἔργον αἰτίαις καθυποβάλλων λυπῶ, κάλλιστον. τί
5 *γὰρ οὐ χρή με κενολογεῖν ὡς ἂν μὴ τὸ πρόθυμον ὑμῖν τὸ*
περὶ ταῦτα ἀμβλύνας λάθω σε τοῦ σπουδαιοτάτου ἐπιτη-
δεύματος ἀσχολῶν καὶ εἰς ἐτώσιον ἄχθος ἀρούρης μετα-
πλαττόμενος; δεινὸς γὰρ ὁ μῶμος καὶ τοῖς μεγίστοις
σίνεσθαι τῶν πραγμάτων καὶ πρὸς | τὸ ῥαθυμότερον 106r
10 *παραπέμπειν τὸ περὶ ταῦτα φιλότιμον. ἀλλὰ τὸ μὲν*
φιλίας οὐκ ἀκραιφνοῦς, φερούσης δέ τι καὶ μοχθηρίας,
οἷς ὁ ψόγος ὑποκαθήμενος ἀρρύτιδον οὔπω τοῖς ἄλλοις
τὸν φίλον παρέχεται· ἀφ' οὗ γε καὶ παλαιὸς ἀποθρῴσκει
λόγος, ὡς ἥδιον φιλοῦντος δριμύτατον δῆγμα ἐχθροῦ
15 *προσηνεστάτου φιλήματος. ἐπεὶ δὲ ταῦτα, καὶ οἷος ὁ*
φίλος ἐγνώρισται, ὃς καὶ τὸν ὅρον οἰκειοῦσθαι πεπίστευται

3–4 cf. CPG I 466 || **7** Hom. *Σ* 104 || **14–15** Prov. 27, 6

32 Kougeas 143–146 || **5** *κ$\overset{αι}{ε}$νολογεῖν, -ε-* ind., **M** || **9** *σίνεσθαι*] *-ε-* ex *-α-* **M**

ἄλλον ἑαυτὸν τὸν φίλον ἀφοριζόμενος, οὐδεὶς δὲ παίζων ἑαυτὸν τοῖς σώφροσι μετατάττεται, φέρε λοιπὸν ὡς οἰκείοις τοῖς προκειμένοις ἐποίσωμεν τὴν διάσκεψιν καὶ διακωδωνίσωμεν ἕκαστον τούτων, ὡς ἂν εἴ τι σαπρὸν ἀποφθέγγηται τῇ ἀχρηστίᾳ προσνείμωμεν, καὶ εἴ τι 5 *σιλλαῖνον τὸν λόγον καταλαμβάνηται πρὸς τὸ εὐθύτατον μετακλίναντες τὸ ἀξιέπαινον αὐτῷ πάντῃ καὶ παρὰ πᾶσι πορίζοιμεν, ὁποῖον δοκῶ μοι καὶ ὁ τοκεὺς τούτων κατ' ἐλπίδα προβῆναι βεβούληται.*

Ἀλλ' ἡ μὲν ὕλη καλὴ καὶ τιμαλφεστάτη καὶ οἷα οὐκ 10 *ἀγεννοῦς διανοίας ὠδίνων προέλθοι, τὸ εὐγενὲς τοῦ φύντος μηνύουσα, ὅση τε περὶ τὰ πρακτὰ ἐμφιλοχωρεῖν τέτακται τὴν ὕπαρξιν αὐτῶν ἐκπομπεύουσα καὶ ὅση περὶ τὸ θεωρητικὸν ἀπασχολεῖσθαι προῄρηται, ἀφ' ἧς καὶ τὸ πανυπέρτατον τῆς θεολογίας καὶ τολμηρότατον τεθεώ-* 15 *ρηται καὶ ἐκπέφανται καὶ εἴ τι ταύτῃ ἀξιοπρεπὲς ἀνθρώπινος νοῦς τῇ ἑαυτοῦ δυνάμει παραμετρούμενος ἐξεμάστευσεν, ἢ μᾶλλον ἐπιτευκτικώτερον φάναι, ἡ τῆς σοφίας αὐτῆς θειοτάτη πηγὴ τὸ περὶ αὐτῆς ἐρεῖν ἀγαθοδότως κεχάρισται, ἐνάμιλλον τῇ καθάρσει τοῦ τῶν τοιούτων ἐκφάν-* 20 *τορος παρασχομένη τὸ δώρημα. τοιαύτης δὴ τῆς ὕλης ὑπούσης, ἀπειροκαλία οἴμοι παρεισφθαρεῖσα ἐπηλυγάζειν καταταχεῖ περὶ τὴν χρῆσιν τὸ οἱονεὶ ἔμψυχον καὶ λαμπρόν τε καὶ περιδέξιον τοῦ λόγου καὶ πρὸς τὸ σκυθρωπότερον μεταχρωννύναι καὶ μεταμείβεσθαι. σωρῷ γὰρ ἔμοιγε* 25 *ἀπεικάζειν παρείκασται τὸν ὑμέτερον πόνον, ὃς ἐκ λίθων μὲν τιμίων συνείλεκται καὶ χρυσοῦ καὶ μαργάρων καὶ εἴ τινι ἄλλῳ τὸ βαρυτίμητον ὑπεμφαίνεται, ἀλλ' οὖν οὐ τάξει καὶ μέτρῳ τῷ πάντων ἀρίστῳ τὸν πρὸς ὃν παρελήφθη σηκὸν ἀνοικοδομεῖν κεχρημένος, ἀλλ' ἀταξίᾳ καὶ ἀμετρίᾳ* 30 *συμβιβαζόμενός τε καὶ συναρμολογούμενος καὶ πλῆθος ἄλλως ἐπισυρόμενος ἐννοιῶν κατεστοιβασμένων μεμεστω-*

1 Aristot. Eth. Nic. IX 4, 1166a 31–32; Hermias in Phaedr. 192, 10–11 Couvreur || **4–5** cf. Plat. Phileb. 55c 6–7; Theaet. 179d 3–4 || **31** Eph. 4, 16

4 leg. *σαθρὸν*? || **26** *παρείκασται*] fort. *παράκειται*

μένῃ μεσότητι τὸ ἔργον ἐξαχρειοῖ, τῷ πολυχουστέρῳ δῆθεν ἐπαγαλλόμενος, ὥσπερ ἐν τῇ πολυνοίᾳ οὐκ ἐν τῇ τάξει τῶν ἐννοιῶν κἂν ὀλίγισται ὦσι τῆς περὶ λόγους ἐνθεωρουμένης λαμπρότητος. καθάπαξ γὰρ ἀφειδήσας τῶν 5 *τεχνικῶν παρεγγυημάτων ἐρίῳ μὲν ἀνεδήσατο τὸ ʽοὐχ ὅσα δ᾽ ἂν εὕρωμεν θείημεν, ἀλλ᾽ ὅσα κρίνωμεν εἶναι ῥητέα᾽, πολυωρίας δὲ ἀξιώσας τὸ περιττόν, οὐδ᾽ αἴσθησιν ἔσχεν ὡς ὀλιγώρως πρὸς τὸ φυλάξασθαι ταύτην διατεθεὶς ψυχρολογίας ἁλῴη ἐγκλήματι. τί γὰρ ἄλλο τοῦ* 10 *περὶ τὸν λόγον ψυχροῦ μάλιστα γνώρισμα ἢ πλεονάζουσα φράσις; ἐντεῦθεν οἶμαι τοῖς πρεσβυτέροις* | *διὰ σπουδῆς* 106v *ὑπάρξαι γοργότητί τε τοὺς λογικοὺς αὐτῶν πόνους περιανθίζειν, καθάπερ καὶ ὁ προκείμενος οὗτος εἰς εὐφημίαν πατήρ, καὶ διδασκάλιον συγκροτῆσαι οἷς ἂν ἐξανυσθείη τε* 15 *γοργότης καὶ οἷς τὸ συγκεχυμένον τοῦ λόγου τεύξοιτο διορθώσεως.*

Ἀλλὰ γὰρ τίη τοι ταῦτα εἰδότι πάντ᾽ ἀγορεύω; οὐκ ἄν τίς τοι ἐναίσιμος εἴη ὃς ἔργον ἀτιμήσειε λόγου, ἀλλὰ ἑκών τε μεθίεις καὶ οὐκ ἐθέλεις, τὸ δ᾽ ἐμὸν κῆρ ἄχνυται καὶ εἴ 20 *τι τοῦ ἔπους ἑξῆς. ἀλλὰ γὰρ καὶ εἰδότι προσεπιβάλλω, τὸ ʽἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου᾽ ἄγαν ὑπεραγάμενος. ὅθεν καὶ εἰσηγοῦμαί σοι, ὡς ἂν ἤδη τῶν πρὸς σαφήνειαν ἐπαναγόντων φροντίσας τὸν λόγον, ὧν ὁ προκείμενος ἀστοχεῖ πόνος, ἅτε δὴ τῷ πλήθει τῶν* 25 *λαλουμένων προσφύεσθαι κεκρικὼς ἀλλὰ μὴ τοῖς πρὸς σαφήνειαν ἐκβιβάζουσι συγκροτεῖσθαι, ἐπαναλήψεων λέγω καὶ συμπληρώσεων καὶ εἴ τι λοιπὸν συνεργὸν σαφηνείας τοῖς περὶ ταῦτα κομψοῖς ἐκτεθέσπισται – τούτων δὴ πάντων τῶν μὲν ἀντισχόμενος ὅσοις ἡ τέχνη τὸ κράτος* 30 *προσμαρτυρεῖ τὰ δὲ ἀτιμάσας τῇ παροράσει, μηδ᾽ ὅλως ἐᾶν στυγνότητι ἀσαφείας τὸ περικαλλέστατον τοῦτο καὶ*

5 Plat. Reip. III 398 a 6–8 || **5–7** Hermog. de stat. 7 || **17** Hom. *Α* 365 || **17–20** *Ζ* 521–524 || **21** *Λ* 793; *Ο* 404 || **26–28** Hermog. de id. 1, 4

1 leg. *μεστότητι*? || **2** *ἐπαγαλλόμενος* Wk: *ἐπαγγελλόμενος* **M** || **19** *ἐθέλεις* Kougeas: *-ης* **M** || **24** *δὴ* Kougeas: *δὲ* (ut vid.) **M** || **28** *ἐκτεθέσπισται* Wk: *ἐκθέσπισται* **M**

τερπνότατον ἔργον, ὅσον ἐπὶ τῇ προθέσει τοῦ δεδρακότος, προσχραίνεσθαι. πρὸς τούτοις καὶ μίμησις ὕπαιθρος τῶν θεολογικῶν συγγραμμάτων ἐπὶ τῆς τῶν σχημάτων μεταχειρίσεως μὴ καθιστάσθω τοῖς μεμψιμοίροις εὐφώρατος· ἰδιωτικὸν γὰρ καὶ εἰς παρῳδίαν οὐκ εὐπροσήγορον 5 ἀποτελευτῶσα τοῖς θεσμοθέταις τῶν λόγων, ὅτι μηδ' οἷς οἱ παλαιοὶ μεταχειρισάμενοι τρόποις, εἴτε λαθόντες ὡς ἐπὶ πόνοις οἰκείοις τὸ κλέος ἠνέγκαντο ἢ καὶ πεφωραμένοι οὐχ ἧττον τῶν καταρξάντων ἐθαυμαστώθησαν, τούτοις κεχρῆσθαι διέγνω τὸ σύνταγμα. ἤδη δὲ καὶ ἡ τῶν 10 κεφαλαίων συγκεχυμένη προαγωγὴ τὸν συγκριτικὸν ἐκταράττουσα τόπον, ἀζήλωτον σχεδὸν κατεστήσατο. κατακερματίζουσα γὰρ τοῦτον ἑτέρων οὐ προσηκόντων ἐπιβολαῖς καὶ πῇ μὲν ἐμφανεστάτως ἔσθ' ὅτε δὲ καὶ μετ' ἐπικρύψεως οὐ μέντοι τὸ λανθάνειν ἐχούσης τοὺς διεσμι- 15 λευμένους τὴν σύνεσιν, ** τοῦτον ἀπέφηναν· ἐπειδὰν γὰρ δόξῃ τῶν ἑαυτῆς καιρῶν ἀπανίστασθαι καὶ τούτου παντελῶς ἀπηλλάχθαι, αὖθις τὸν ἀντεξεταστικὸν τρόπον ἀνασοβεῖν, τοῦτο μὴ ἄτοπον ἡγεῖσθαι καὶ ἄτεχνον, τίνος ὑπόληψιν ὑπόσχῃς τοῖς καὶ τῷ λιχάνῳ γευσαμένοις τῶν 20 Ἑρμογένους ὀργίων οὐκ ἄδηλον. διόπερ ὅσον ταῦτα τοῦ προσκοροῦς καὶ ὑβριστικοῦ καὶ πρὸς ναυσίαν ἑτοίμου τὸν φορυτὸν ἐγκολπίζεται, αὐτῷ σοι καταλιμπάνοντες κριτῇ, τὸ εὐφημότερον ἀπὸ τοῦδε τῇ γλώττῃ ἐπιδαψιλευόμεθα. αὐτὸς γὰρ ἂν εἰδείης ἐπιμελέστερον μετερχό- 25 [107r] μενος καὶ ἐπανορθούμενος, εἴ σοι μὴ | τὰ παρ' ἡμῶν ταυτὶ φιλικὰ σκώμματα εἰς ἀηδίαν φορτικῶς προχωρήσῃ· εἰ τούτοις δὲ πεπεισμένος περιέλοις τὰ τὸν μακρὸν ὑμῖν πόνον ἐξαχρειοῦντα, θαυμασιώτατον οἷον ἀπεργάσῃ τὸν τόκον, καὶ τῆς τοῦ τεκόντος ἰσοστάσιον πολυμαθίας 30 ὀλίγοις ὅσοις εὐζήλωτον· προσθείην δ' ἂν ὅτι καὶ ᾧ ἀφωσίωται θείῳ πατρὶ οὐκ ἀποθύμιον εἴη ἀνάθημα, καὶ εἴ τι κἀμοὶ παρ' ὑμῶν τῷ μαιευσαμένῳ ὑμᾶς καὶ πρώτως καὶ νῦν ἐπιβραβευθείη.

16 lac. indic. Wk. | ἀπέφηναν] fort. -νεν || **20** scr. λιχανῷ?

33

Τοῖς ἀπειθέσιν ἐκ παρακοπῆς Ἰουδαίοις, ἐν διαλέξεως τύπῳ

De unitate Dei publice disputans contra Iudaeos haec argumenta profert: si 'unus' vocabulum unanimitatem exprimere potest, profecto ibi unitas est ubi nihil nisi modus subsistendi differt. Moyses quidem, ne in idololatriam iterum inciderent Israelitae, de Trinitate non aperte locutus est; tamen de 'angelo Dei' loquens identidem Filium significat. sequuntur testimonia Psalmistae de eodem, et de incarnatione ex Michaia, item e Psalmo 110, ubi etiam de lege Mosaica abolenda mentio fit. quam rem et Ieremias praedixit: nam 'domum Israel et Iuda' Christianos esse voluit, qui novum testamentum acceperunt et vere sunt Israel, h. e. 'mens Deum videns', vere Iuda, h. e. 'confessio' sive 'eucharistia'. de Filio testimonium dat etiam Psalmus 44, de Spiritu Psalmus 103.

Cetera, cum propter infirmitatem diutius rectus stare non possit, coepiscopis se relinquere dicit; senex ergo haec disputavit et conscripsit.

Τίς ἡ διαφορὰ τῶν ἰουδαϊζόντων ὑμῶν πρὸς ἡμᾶς τοὺς Χριστιανούς, μάλιστα περὶ τῆς ὑπολήψεως τοῦ θείου;
5 *πάντως ἐρεῖς ὅτι αὕτη. ὑμεῖς μὲν γὰρ τὸν θεὸν ἕνα λέγετε, ὥσπερ τῇ φύσει οὕτω καὶ τῇ ὑποστάσει, ἡμεῖς δὲ οἱ Χριστιανοὶ ἕνα μὲν θεὸν ὁμολογοῦμεν τῇ φύσει καὶ τῇ οὐσίᾳ, ἐν τρισὶ δὲ ὑποστάσεσι, πατρὸς λέγω καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· καὶ ὑμεῖς μὲν οἱ Ἑβραῖοι ἕνα λέγετε τὸν*
10 *θεὸν τῇ φύσει καὶ τῇ ὑποστάσει, ὑπὸ Μωϋσέως τοῦτο παιδευθέντες, ἀφ' ὧν λέγει 'ἄκουε Ἰσραήλ, κύριος ὁ θεός*

11 — p. 272, 1 Deut. 6, 4

3 ὑμεῖς] ὑ- ex ἡ- M

σου κύριος εἷς ἐστιν'. ἐρωτῶμεν οὖν ὑμᾶς· τὸ εἷς καὶ ἓν καὶ μία ἀεὶ τὸ μοναδικὸν σημαίνει ἢ εὑρίσκεται καὶ ἐπὶ τῶν ὁμογνωμονούντων καὶ ὁμοτρόπων καὶ συμφωνούντων λαμβανόμενον; ὡς ὅταν λέγῃ ὁ θεὸς ἐπὶ τῆς πυργοποιΐας 'ἰδοὺ χεῖλος ἓν καὶ φωνὴ μία πάντων', οὐχ 5 ὅτι χεῖλος ἓν ἦν ἁπάντων καὶ μία φωνὴ πᾶσιν, ἀλλ' ἐπειδὴ πρὸς ἕνα τρόπον τὰ διάφορα χείλη τῶν οἰκοδομούντων τὸν πύργον συνέτρεχε καὶ πρὸς μίαν συμφωνίαν αἱ διάφοροι γνῶμαι αὐτῶν συνήγοντο, ἕνεκεν τούτου ὡς πρὸς τὴν ὁμογνωμοσύνην ἀποβλέπων τῶν διαφόρων χειλέων καὶ τῆς 10 διαφόρου φωνῆς τὴν ὁμοτροπίαν εἶπε τὸ 'χεῖλος ἓν καὶ φωνὴ μία'. ἀλλ' εἴπερ ἐπὶ τῶν πολλὰ τὰ ποιοῦντα ἐχόντων τὴν πρὸς ἀλλήλας τῶν ὑποστάσεων διαφοράν, θελήματος ἑτερότητα λέγω καὶ ἰδιοτροπίας ὑπαλλαγὴν καὶ ἄλλων δὲ μυρίων τῶν δυναμένων ἀπ' ἀλλήλων διαχωρί- 15 ζειν καὶ διαιρεῖν ἀπὸ τῆς μιᾶς φύσεως τὰς ἀνθρωπίνας ὑποστάσεις, τὸ ἓν καὶ μία διὰ τὴν συνδρομὴν εἰρημένα τοῦ τρόπου καὶ τὴν ὁμογνωμοσύνην καὶ συμφωνίαν οὐκ ἔδωκε νοεῖν καὶ μίαν ὑπόστασιν, πολλῷ μᾶλλον ἐπὶ τῆς θείας φύσεως, ἧς αἱ ὑποστάσεις ἐν οὐδενὶ ἄλλῳ τὸ διάφορον ὁρῶν- 20 ται ὑποβαλλόμεναι εἰ μὴ τῷ τρόπῳ τῆς ὑπάρξεως, τουτέστι πατρὸς καὶ υἱοῦ καὶ πνεύματος (τὰ γὰρ ἄλλα κοινὰ καὶ ἀδιάφορα πάντα ταῖς τρισὶν ὑποστάσεσι ταύταις ὑπάρχουσι τῶν τῇ μακαρίᾳ ταύτῃ φύσει θεοπρεπῶς ἐννοουμένων, οἷον τὸ παντοκρατορικόν, τὸ ἀγαθόν, τὸ παντοδύναμον, 25 τὸ τοῦ παντὸς καὶ ὑπὲρ τὸ πᾶν ἑκάστης πληρωτικόν, καὶ εἴ τι ἄλλο ἡμῖν περὶ τούτων μεγαλοπρεπέστατον ὑπολαμ- 107ᵛ βάνειν αὐταῖς δίδοται), | τὸ εἷς παραληφθὲν οὐκ ἤδη καὶ πρὸς μίαν ὑπόστασιν τὴν διάνοιαν ἡμῶν ἐπὶ τῆς θείας φύσεως περιστήσεται. 30

Τούτων οὖν οὕτως ἐχόντων λέγομεν ὅτι καὶ Μωϋσῆς ἐγίνωσκε μὲν ὡς τρισυπόστατον τὸ θεῖον, ἀλλ' ἐπειδὴ

5 Gen. 11, 6; cf. 1

1 *εἷς καὶ*] bis **M** || 11 *τὴν ὁμοτροπίαν* Wk: *τῆς -ας* **M**

πρὸς ἀνθρώπους ἣν αὐτῷ ὁ λόγος πολυθεΐαν εἰς Αἴγυπτον μαθόντας, τούτου χάριν ὡς πρὸς τὴν φύσιν τοῦ θεοῦ ἀποσκοπῶν εἶπε τὸ 'κύριος ὁ θεός σου κύριος εἷς ἐστί', τὰς ὑποστάσεις ἀποσιωπήσας, ἵνα μὴ πρόφασιν αὐτοῖς
5 *πολυθεΐας παράσχῃ. διὰ δὲ τοῦτο καὶ τὴν τῶν ἁγίων ἀγγέλων ὑπὸ θεοῦ δημιουργίαν ἀπεσιώπησεν ἐν τῇ τοῦ κόσμου ὑπὸ θεοῦ ποιήσει, ἵνα μὴ τῇ τῶν ἁγίων ἀγγέλων μνείᾳ ὑπόληψιν ἐμποιήσῃ πολυθεΐας. καὶ ὅτι ᾔδει καὶ Μωϋσῆς τρισυπόστατον τὸ θεῖον, ἄκουσον αὐτοῦ ἐπι-*
10 *κεκρυμμένως μὲν δι' ἃς εἶπον αἰτίας, πλὴν λέγοντος ἐπὶ τοῦ χρηματισμοῦ τοῦ βάτου καὶ παρεισάγοντος τὸν υἱὸν ἐν σχήματι ἀγγέλου δι' ὧν λέγει ὅτι 'ἐκάλεσεν αὐτὸν ἄγγελος κυρίου ἐκ τοῦ βάτου λέγων "Μωϋσῆ, Μωϋσῆ, μὴ ἐγγίσῃς ὧδε, λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου, ὁ*
15 *γὰρ τόπος ἐν ᾧ ἕστηκας γῆ ἁγία ἐστί"'· καὶ ἐποίησε Μωϋσῆς οὕτως. εἶτα ὁ εἰρημένος ὑπ' αὐτοῦ ἄγγελος λέγει πρὸς αὐτὸν 'ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ τοῦ πατρός σου'. ὁρᾷς ὅτι ὁ εἰρημένος ἄγγελος θεὸν ἑαυτὸν λέγει Ἀβραὰμ καὶ Ἰσαάκ· τίς δὲ οὗτος; ἢ πάντως ὁ υἱὸς*
20 *τοῦ θεοῦ, ὃν καὶ Ἡσαΐας ὁ προφήτης ἐν τῇ πρὸς ἀνθρώπους αὐτοῦ τοῦ υἱοῦ τοῦ θεοῦ παρουσίᾳ λέγει 'καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος'. πολλῶν δὲ καὶ ἄλλων οὐσῶν μαρτυριῶν ἐν ταῖς βίβλοις τοῦ Μωσέως ἐν σχήματι ἀγγέλου τὸν υἱὸν τοῦ θεοῦ καταγγέλλοντος*
25 *ὀλίγαις ταύταις ἀρκεσθησόμεθα· ὡς ἐπὶ τοῦ Ἰακὼβ ἀνερχομένου ἀπὸ τῆς Μεσοποταμίας, ὅτε λέγει 'καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος "ἐγὼ ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου"'· καὶ ἐπὶ τῆς Σοδόμων καταστροφῆς ὁ Ἀβραὰμ τὸν θεὸν ὡς τρεῖς ἀγγέλους ἰδὼν καὶ ξενίσας*
30 *αὐτοὺς οὐ πρὸς τρεῖς ποιεῖται τοὺς λόγους ἀλλὰ πρὸς ἕνα. τί διὰ τούτου δηλῶν; ὡς τρισυπόστατον μὲν τὸ θεῖον, ἀλλ' ἐπειδὴ καὶ ἡ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ὑπόστασις*

10–18 Ex. 3, 2–6 || **20–22** Is. 9, 5 || **25–28** Gen. 31, 11–13 || **28–30** Gen. 18

26 *λέγῃ*] -*η* ex -*ει* (?) M

οὐ τῇ διαφορᾷ τῶν προσώπων διαφορὰν εἰσάγει γνώμης (πάντα γάρ, ὡς ἤδη εἰρήκαμεν, κοινὰ ταῖς τρισὶν ὑποστάσεσιν τοῦ θείου τὰ θεοπρεπῶς τῇ μακαρίᾳ ταύτῃ φύσει ἐνθεωρούμενα καὶ οὐδενὶ ἄλλῳ τὸ διάφορον αὐταῖς ἐνορᾶται εἰ μὴ ἐν μόνῳ τῷ τῆς προαγωγῆς τρόπῳ), 5 *ἕνεκεν τούτου ὡς πρὸς ἕνα τὸν λόγον ποιεῖται ὁ Ἀβραάμ, τῇ ταυτότητι τῆς οὐσίας καὶ τὸ τῶν προσώπων ἐμφαίνων σύμφωνον καὶ ὁμόγνωμον. καὶ ὅτι μὲν τρισυπόστατον τὸ* 108r *θεῖον ἡμεῖς οἱ | Χριστιανοὶ γινώσκομεν καὶ πιστεύομεν, οὕτως ἐκ τῶν Μωσαϊκῶν βιβλίων ἐκ πολλῶν, ὡς* 10 *ἔφημεν, ὀλίγαις χρησάμενοι μαρτυρίαις παριστῶμεν. ὅτι δὲ καὶ ὑπὸ τῶν προφητῶν, μάλιστα τοῦ Δαυίδ, σαφέστερον υἱὸν ἔχειν ὁ θεὸς καταγγέλλεται μάθωμεν ἀφ' ὧν λέγει 'τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ κυρίῳ, ὁμοιωθήσεται τῷ κυρίῳ ἐν υἱοῖς θεοῦ;' υἱὸν πρὸς υἱοὺς συγκρίνων.* 15 *εἰ γὰρ μὴ τοῦτο, τί ἐκώλυεν εἰπεῖν 'ὁμοιωθήσεται τῷ κυρίῳ ἐν θεοῖς'; ὥσπερ καὶ ἀλλαχοῦ εἴρηκεν 'τίς ὅμοιός σοι ἐν θεοῖς, κύριε;'*

Ἀλλὰ καὶ φυσικῶς ἐξετάζοντες ἐροῦμεν ὡς ἐπειδὴ εἴρηκεν ὁ θεὸς 'υἱὸς πρωτότοκός μου Ἰσραήλ', οὐ 20 *φύσει δὲ υἱὸς ὁ Ἰσραὴλ τοῦ θεοῦ, ἀναγκαίως καὶ φύσει ἔχειν υἱὸν τὸν θεόν. ἀεὶ γὰρ τὸ θέσει καθ' ὁμοιότητα τοῦ φύσει ἐκτελεῖται, ὥσπερ ἡ τοῦ ἀνθρώπου εἰκὼν καθ' ὁμοιότητα τοῦ φύσει ἀνθρώπου γίνεται καὶ οἱ μὴ φυσικῶς γεννῶντες υἱοὺς καθ' ὁμοιότητα τῶν φύσει* 25 *γεννώντων θετοὺς υἱοὺς ποιοῦνται. ἐπεὶ οὖν καὶ ὁ θεὸς υἱοὺς θετοὺς καλεῖ τοὺς ἐναρέτους τῶν ἀνθρώπων, ἀναγκαίως εἰσάγεται ὅτι καὶ φύσει ἔχει υἱόν, ἵνα μὴ διάκενος ἡ τοῦ θεοῦ υἱοθεσία νομίζηται.*

Τοῦτον οὖν τὸν υἱὸν ἐνανθρωπῆσαι ἐπὶ σωτηρίᾳ ἡμῶν 30 *οἱ προφῆται κατήγγειλαν· Μιχαίας μὲν ὡς ὅταν λέγῃ 'καὶ σὺ Βηθλεέμ, οἶκος τοῦ Ἐφραθᾶ, μηδαμῶς ἐλαχίστη ἧς ἐν χιλιάσιν Ἰούδα, ἐκ σοῦ γάρ μοι ἐξελεύσεται τοῦ*

2 supra p. 272, 22—28 || **10–11** supra p. 273, 22–25 || **14–15** Ps. 88, 7 || **17–18** Ps. 85, 8; cf. 34, 10 || **20** Ex. 4, 22 || **31** – p. 275, **2** Mich. 5,1; cf. Mt. 2, 6

εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραὴλ καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος'. εἰ γάρ τις ἐπὶ τὸν Ζοροβάβελ ἀπευθύνει τὸν λόγον, πλανᾶται· οὐ γὰρ ἐν Βηθλεὲμ ἐγεννήθη, ἀλλ' ἐν Βαβυλῶνι, Βαβὲλ γὰρ ἡ Βαβυλὼν παρ'
5 Ἑβραίοις καλεῖται, ὅθεν καὶ τὸ Ζοροβάβελ ὄνομα εἰς τὴν Ἑλλάδα γλῶσσαν ἀπὸ τῆς Ἑβραΐδος ἀναπτυσσόμενον δηλοῦν βούλεται τὸ 'ἐγεννήθη ἐν Βαβυλῶνι', καὶ ἵνα κατὰ μίαν ἐκφώνησιν αὐτὸ προάξωμεν, Βαβυλωγέννητος ἂν ῥηθείη. καὶ οὕτως μὲν ἐπὶ τοῦ Ζοροβάβελ ἀπὸ τοῦ
10 ὀνόματος· τὸ δὲ 'καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος' καταισχύνει παντάπασι τοὺς ἐπὶ τὸν Ζοροβάβελ μεταφέροντας τὸν λόγον. πῶς γὰρ ἐξ ἡμερῶν αἰῶνος οὗτος ἔσχε τὴν εἰς τὸν κόσμον εἴσοδον ὁ μετὰ τετρακισχίλια καὶ μικρὸν πλέον τῆς τοῦ κόσμου γενέσεως γεννη-
15 θείς; τούτῳ δὲ καὶ ὁ Δαυὶδ συμφωνεῖ δι' ὧν περὶ τοῦ ἐνανθρωπήσαντος λέγει υἱοῦ τὴν θείαν αὐτοῦ γέννησιν δηλῶν 'ἐκ γαστρὸς' φάσκων 'πρὸ ἑωσφόρου ἐγέννησά σε'. καὶ τούτοις ἐπιφέρει τὸ 'ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν
20 τάξιν Μελχισεδέκ'.

Σκόπει δὲ καὶ ἄλλο ἐκ τοῦ νῦν ῥητοῦ· ἐκ γὰρ τοῦ εἰπεῖν 'κατὰ τὴν τάξιν Μελχισεδὲκ' | ἐξουδένωσε τὴν νομικὴν 108v λατρείαν, οὐ γὰρ 'κατὰ τὴν τάξιν Ἀαρὼν' εἶπεν, ἀλλὰ 'κατὰ τὴν τάξιν Μελχισεδέκ'. καὶ οὐχ οὗτος μόνος
25 ἐξουδένωσε τὴν διὰ Μωϋσέως νομοθεσίαν, ἀλλὰ καὶ ὁ προφήτης Ἱερεμίας εἰπὼν 'ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ διαθήσομαι διαθήκην καινὴν τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα· οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς
30 χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, καὶ ἐγὼ ἠμέλησα αὐτῶν, λέγει κύριος· ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι

2–3 Theod. Mops. in Mich. 5, 1, PG 66, 372 B 5–16 || **15–20** Ps. 109, 3–4 || **25 – p. 276, 7** Ier. 38, 31–34

13 fort. μετὰ ⟨ἔτη⟩ || **17** δηλῶν] διψῶν ut vid. **M**

τῷ οἴκῳ Ἰσραήλ, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς, καὶ ἔσομαι αὐτοῖς εἰς θεὸν καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. καὶ οὐ μὴ διδάξουσιν ἔτι ἕκαστος τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, "γνῶθι τὸν κύριον", ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν, λέγει κύριος, καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι'. εὐεπίβολοι γὰρ πρὸς σύνεσιν καταστάντες ἐκ φιλανθρωπίας θεοῦ τῶν τοῖς πολλοῖς ἀνεμβάτων καὶ ἀποκρύφων πρὸς ἃ καὶ θεοφορούμενοι ἄνδρες πολὺν ἔθρεψαν τὴν ἐπιθυμίαν, τίς ἔτι χρεία θνητῶν διδασκαλίας ἑτοίμως ὑπούσης τῆς γνώσεως τοῖς ἐθέλουσι κατανοεῖν τὰ ἀπόρρητα, συμμετρουμένης τῆς γνώσεως τῷ μεγαλείῳ τῆς ἐκζητήσεως, μικρᾶς μὲν εἰς ἀνεύρεσιν τοῖς νωθέστερον ἐγχειροῦσι πρὸς λῆψιν, μεγάλης δὲ τοῖς ἐκτενέστερον προσλιπαροῦσι. τοῦτο γὰρ βούλεται δηλοῦν τὸ 'ἀπὸ μικροῦ ἕως μεγάλου' εἰδῆσαι.

Ἀλλ' ἐρεῖτε ὑμεῖς οἱ Ἰουδαῖοι ὡς 'τῷ οἴκῳ' λέγει "Ἰσραὴλ' καὶ 'τῷ οἴκῳ Ἰούδα'. ἀλλ' ἀκούετε ὅτι πρῶτον μὲν ἕως τοῦ νῦν οὐκ ἐλάβετε διαθήκην καινήν, ἡμεῖς δὲ οἱ Χριστιανοὶ ἐλάβομεν τὸ ἐπιγινώσκειν τὸ θεῖον τρισυπόστατον διὰ τῆς τοῦ ἐνανθρωπήσαντος υἱοῦ ἐντολῆς, τοὺς προσερχομένους αὐτῷ βαπτίζειν παρακελευομένης εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ οὐχὶ πρώτως τοῦτο, τὸ ὅτι τρισυπόστατον τὸ θεῖον, τοῦ κυρίου Ἰησοῦ Χριστοῦ εἰσάγοντος ἡμῖν εἰς νομοθεσίαν τῆς καινῆς αὐτοῦ πρὸς ἡμᾶς διαθήκης, ἀλλ' ὅπερ καὶ οἱ προφῆται προκατήγγειλαν, μάλιστα Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν κυρίου, καθήμενον αὐτὸν τὸν κύριον ἐπὶ θρόνου, ὑψηλὸν καὶ ἐπηρμένον καὶ κυκλούμενον ὑπὸ τῶν ἑξαπτερύγων, ἅπερ ᾖδον 'ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ'. τίνος γὰρ χάριν ὁ τριπλασιασμὸς τῆς ᾠδῆς, εἰ μὴ καὶ τρισυπόστατον τὸ θεῖον διὰ τούτου ὑπέφαινε; ἤρκει γὰρ ἅπαξ εἰρημένον τὸ ἅγιος ἐνδείξασθαι τὸ ἑνιαῖον τῆς τοῦ

9—10 Luc. 10, 24 || **19—23** Mt. 28, 19 || **27—31** Is. 6, 1–3

θείου ὑποστάσεως. νῦν δὲ μὴ ἐπὶ μόνον τὸν ἕνα ἁγιασμὸν ἱστώντων τῶν ἑξαπτερύγων | τὴν ἑαυτῶν ᾠδήν, ἀλλὰ 109r *τριπλασιαζόντων, ἔδειξαν τῷ νέῳ ἡμῖν Ἰσραὴλ ὡς ὁρῶσι καθαρῷ τῷ νοῒ τὸν θεόν (καὶ γὰρ τὸ Ἰσραὴλ 'νοῦς ὁρῶν* 5 *τὸν θεὸν' ἑρμηνεύεται) ὅτι τρισυπόστατος ὁ θεός· ἔδειξαν δὲ τοῦ ἑνὸς τῆς ἁγίας τριάδος Ἰησοῦ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ὑπανοίξαντος ἡμῖν καὶ φωταγωγήσαντος ἡμᾶς εἰς κατανόησιν τοῦ μυστηρίου τῆς ᾠδῆς τῶν ἑξαπτερύγων διὰ τῆς νέας αὐτοῦ πρὸς ἡμᾶς* 10 *νομοθεσίας τῆς προστασσούσης βαπτίζειν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ταύτην ἡμεῖς λαβόντες τὴν νέαν διαθήκην ἀπὸ μικροῦ ἕως μεγάλου ἡμῶν ἐγνώκαμεν τὸν κύριον, ὅτι ὁ θεὸς κατὰ τὴν τοῦ κυρίου διάταξιν ἐν τρισὶν ὑποστάσεσι καὶ μιᾷ θεότητι* 15 *ἀνυμνεῖται· ἔγνωμεν δὲ ὡς κατὰ ἀλήθειαν Ἰσραὴλ ὄντες, νοῦς ὁρῶν θεόν, καὶ ὑπὲρ τῆς γνώσεως ταύτης ὡς καὶ νέος ἀναφανέντες Ἰούδας (σημαίνει γὰρ τὸ Ἰούδας ὄνομα ἐξομολόγησιν) ἐξομολογούμεθα αὐτῷ, τουτέστιν εὐχαριστίαν αὐτῷ προσάγομεν ὑπὲρ εὐεργεσίας μεγίστης, δι'* 20 *ἣν καὶ ἡ εὐχαριστία ἐποφείλως ἐξανύεται προῖκα τῆς εὐεργεσίας προβάσης δι' ὑπερβολὴν χρηστότητος τοῦ παρέχοντος. ἐρρύσατο γὰρ ἡμᾶς οὐ μόνον ἀπὸ τῆς Ἑλληνικῆς πλάνης, ἀλλὰ καὶ τῆς Ἰουδαϊκῆς ἀγνοίας προσδεξάμενος ἡμᾶς· τοῦτο γὰρ ἡ ἐξομολόγησις σημαίνει.*

25 *Ἀλλὰ παχὺς ὢν τὴν διάνοιαν, ὡς καὶ Ἡσαΐας ὁ προφήτης περὶ ὑμῶν μαρτυρεῖ, ὅταν λέγῃ 'ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου καὶ τοῖς ὀφθαλμοῖς ἐκάμμυσαν καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν', ζητεῖς τρανῶς ἀκοῦσαι ἀπὸ τῶν προφητῶν τὴν τοῦ κυρίου κλῆσιν καὶ ὅτι θεὸς ὁ σαρκω-* 30 *θείς. ἄκουσον τοῦ Δαυὶδ οὕτως ἐν τῷ μδ ψαλμῷ φανερώτατα λέγοντος 'ὁ θρόνος σου, ὁ θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε, θεέ, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς*

25—28 Is. 6, 10 ‖ **30**—p. 278, 1 Ps. 44, 7–8

μετόχους σου᾽. τί γὰρ ἐρεῖς; οὐχὶ τρανῶς θεὸν καλεῖ τὸν χρισθέντα ὑπὸ θεοῦ, δηλονότι τοῦ πατρός, τὸ τῆς ἀγαλλιάσεως ἔλαιον; θεὸν γὰρ εἰπὼν ὑπὸ θεοῦ χρισθέντα καὶ δύο πρόσωπα διὰ τούτου διδάξας, τί ἔτι ἀμφιβάλλεις εἰ οὐχὶ μία ὑπόστασις τὸ θεῖον ἀλλὰ τρεῖς; ἀλλὰ δύο μὲν διὰ 5 *τούτου τοῦ ψαλμικοῦ ῥητοῦ καταναγκαζόμενος ὁμολογήσεις, ζητεῖς δὲ καὶ τρίτον ὃ λέγομεν πνεῦμα ἅγιον; αὐτός σοι καὶ τοῦτο ὁ προφήτης παραστήσει ἀφ᾽ ὧν ἐν ργ̅ ψαλμῷ λέγει τὸ ῾ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς᾽. ὡς* 10 *γὰρ τὸν υἱὸν διδάξαι βουλόμενος ἡμᾶς θεὸν εἰσήγαγε χρίοντα θεόν, οὕτω καὶ τὸ ἅγιον πνεῦμα φανερῶσαι βουλόμενος εἶπε τὸ ῾ἐξαποστελεῖς τὸ πνεῦμά σου᾽, ἄλλος γὰρ ὁ ἀποστέλλων τοῦ ἀποστελλομένου.*

Ταῦτα εἰπὼν ἐγὼ διὰ τῆς γραφῆς ταύτης, καθότι 15 *ἀσθενῶς ἔχω ταῦτα ἑστὼς διαγορεύειν τὰ ἐπίλοιπα τῆς* 109v *τοῦ υἱοῦ τοῦ θεοῦ πρὸς ἡμᾶς | παρουσίας τοῖς τιμιωτάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς μου ἀναπληρῶσαι παραχωρῶ.*

7—10 Ps. 103, 30

18 *παραχωρῶ* ex *παρακαλῶ* **M**

34

Θεοφίλῳ κοιαίστωρι

Laudat Theophili quaestoris iustam severitatem in quandam nobilem feminam, infamem ob patrem crudeliter vexatum, quam dissipatis per quindecim annos patriis bonis nunc ex hereditate surripuisse dicit quae ecclesiae destinarentur, et servos manumittendos vendidisse; et ad maiorem severitatem incitat.

Ἀπέσωσας, κύριε κοιαίστωρ, καὶ τῇ δικανικῇ τὸ ἀπρόσκοπον καὶ τοῖς κρινομένοις τὸ ἀπροσωπόληπτον καὶ πρὸς τοὺς συνέδρους ὑμῖν τὸ ἀνεπαχθῶς ἐμβιβάσαι
5 *τῇ τροχιᾷ τῆς δικαιοσύνης. ἀνθ' ὧν παρ' ἐμοὶ μὲν ἀποκείσεται διὰ βίου χάρις ὑμῖν μετὰ ἀειμνήστου τοῦ μαρτυρίου, βραβεύσει δὲ καὶ ἡ ἀπ' οὐρανῶν δικαιοσύνη τὰ παρ' ἑαυτῆς, ἥτις τοῖς δικαίως τὸ δίκαιον ἐκζητοῦσι καὶ μὴ πρόσωπον ὑποστελλομένοις εἰς τάξιν ἀναβιβάζει*
10 *θεοῦ. τί γάρ φησιν; 'οὐ μὴ ὑποστείλῃ πρόσωπον, ὅτι ἡ κρίσις τοῦ θεοῦ ἐστί', τοῦτο φάσκουσα διὰ τούτων ὡς ὁ τὴν κρίσιν ἐκφέρων ὀρθῶς θεὸς ἐπίγειος χρηματίζει, ὅτι καὶ μόνου θεοῦ τὸ τοιοῦτο κατόρθωμα· ἀφ' οὗ καὶ θεοὶ οἱ κριταὶ παρά τε τῷ θεοπάτορι προφήτῃ, ὧν ἐν*
15 *μέσῳ θεὸς ἵσταται διακρίνων θεοὺς ἐκ θεῶν, φαυλοτέρους ἀπὸ τῶν ἐγκρίτων, καὶ δή γε καὶ παρ' αὐτῷ Μωϋσῇ τῷ θεόπτῃ, ἐν οἷς {φησι} θεοὺς παρεγγυᾷ μὴ κακολογεῖν.*

Ἀλλά γε δὴ δέομαι ἀκόλουθον τῇ ἀρχῇ ἐπιθεῖναι τὸ
20 *πέρας μηδὲν τῷ δοκεῖν ἐκ συμπαθείας ὑποκατακλινόμενον*

4–5 Prov. 4, 11 || **10–11** Deut. 1, 17 || **14–15** Ps. 81, 1 || **16–18** Ex. 22, 27

17 *φησι* del. Wk

γυναίῳ μιαρῷ καὶ ἀσυμπαθεστάτως ἐπὶ τῇ τοῦ φύσαντος ψυχῇ διαγενομένῳ, ἀλλ' οἷσπερ ἠμύνατο τὸν εἰς βίον προαγαγόντα, τούτοις καὶ αὐτὴ ἀμειφθήτω ὑπὸ τῆς δίκης· τοῦτο μέν, εἰ μέλλοιμεν καὶ αὐτοὶ ἄνθρωποι ὄντες καὶ ἀνθρωπίνοις ὑποκείμενοι πράγμασι τοὺς διαδόχους ἡμῶν τοῦ βίου σωφρονεστέρους οὕτως ἐργάζεσθαι, τοῦτο δὲ κἀκεῖνο ἐνθυμουμένους ὡς οὐ πᾶς ἔλεος ἀπόδεκτος τῷ θεῷ, εἰ μὴ καὶ πρὸς ὄλεθρον τῶν ἀπροόπτως τε καὶ ἀκρίτως ἐπὶ τοῦτο ὁρμώντων ὑπὸ τοῦ συμπαθεστάτου θεοῦ ἡμῶν ἀποπεμπομένων. Ἠλὶ ὁ ἀρχιερεὺς πιστώσεται τὸν λόγον, ἀφρόνως τε καὶ ἀλογίστως περιπαθῶς ἄγαν πρὸς τοὺς υἱοὺς ἁμαρτάνοντας διατιθέμενος· ὁ δ' ἐπὶ τῷ Ἄγαγ τοῦ Σαοὺλ ἔλεος εἰς ἐξουδένωσιν προέβη τῷ ἠλεηκότι ὑπὸ θεοῦ· τί δὲ καὶ Ἀχαὰμ ἐπὶ τῷ ἐλέῳ τοῦ Σύρων βασιλέως ἀπήντηκεν; οὐ τῆς ἐκείνου γέγονεν ἔργον χειρός, τοῦ ἠλεημένου, τοῦ πολλῆς χρηστότητος καὶ κηδεμονίας ἠξιωμένου; ἀλλὰ τὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ ἀντιθείης, ὃς τοῖς Ζεβεδαίου υἱοῖς ἀπηνῶς τοῖς ἁμαρτήσασιν ἐγκειμένοις αὐτὸς τὸ θυμούμενον αὐτῶν καταστέλλων 'οὐκ οἴδατε' φάσκει 'οἵου πνεύματός ἐστε'. ἀλλὰ πρὸς μετάνοιαν ἐκκαλούμενος τοὺς ἡμαρτηκότας ταῦτα προτείνει, ἐκ τούτων ἁπάντων τῆς τῶν παρανομούντων ἀπωλείας ἐξαθῳούμενος ἑαυτόν. διόπερ καὶ ταῦτα προφέρει, τό τε 'εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ ἂν εἶχον' καὶ τὸ 'ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος'. ἐπὶ τεσσαράκοντα γὰρ ἔτεσιν ἀνασχόμενος, (110r) | *ὡς οὐδὲν τῇ μακροθυμίᾳ βελτίους ὑπῆρξαν, ἐπήγαγε τῇ ἀθεραπεύτῳ ῥίζῃ τὴν τῆς ἀξίνης τομήν.*

25 mg. *τὸ ἐν ἀγνοίᾳ ὧν πράττει οὐκ ἄκαιρον καὶ συγγνωμονεῖσθαι· τὸν δὲ ἀγνοίας ἐπ' οὐδεμιᾶς αἰτίας ἀποδιδράσκειν ἔχοντα ἐκεῖνος οὗτος ἐξαθῳώσεται ὃς τὰ ἑαυτοῦ ἐν ἄλλων οἰκονομήσει ἐγκλήμασι.*

10–12 1 Reg. 3, 11–14 || **12–14** 1 Reg. 15 || **14–17** 3 Reg. 21, 30–43 || **18–21** Luc. 9, 54–55 || **25** Io. 15, 22 || **26** Mt. 23, 38; Luc. 13, 35 || **26–27** Act. 13, 18 || **28–29** Mt. 3, 10; Luc. 3, 9

Τί δὲ καὶ ἡ πατραλοία αὕτη, ἐν πεντεκαίδεκα ἔτεσι τῆς πατρικῆς κατασπαταλῶσα οἰκίας μετὰ μοιχοῦ καὶ μοιχιδίων; μὴ κἂν μιᾶς ἐπιθανατίου ἐντολῆς ἐπολυώρησε πατρικῆς; τίς τοῦτο ἐρεῖ; εἰ μὴ τῇ ἐξ ἀρχῆς αὐτῇ ἀνομίᾳ,
5 *τῇ ἐπὶ τῷ ἀφανισμῷ λέγω τῆς διαθήκης σπουδῇ, προσέθηκεν ἀνομίας σκορπίζουσα καὶ ἐκφοροῦσα τὰ πρὸς θυσίαν ἠφωρισμένα θεοῦ καὶ πρὸς ἐλευθερίαν διαταχθέντα οἰκετικὰ σώματα εἰς ἡδονὰς ἀφανίζουσα· εἶπε γὰρ 'οὐκ ὄψεται κύριος'. τοσούτων ἔνοχον ἐγκλημάτων καὶ*
10 *μηδὲ κἂν νῦν ἐπὶ τὸ σωφρονεῖν ἀποκλίνουσαν ὃς ἂν ἀθῷον κρίνῃ καὶ μὴ πρὸς τελέαν ἐκδίκησιν ἀπίδοι, κατεύξομαι τούτῳ δικαίαν εὐχήν, τῶν ὁμοίων αὐτὸν τεύξεσθαι ὑπὸ τῶν ἑαυτοῦ κληρονόμων.*

9 Ps. 93, 7

35

Obloquitur Gregorio Nysseno, qui in vita Gregorii Thaumaturgi dixerat Thaumaturgum Iosephi castitatem superavisse.

Τοῦ ἁγίου Γρηγορίου Νύσσης ἐκ τοῦ εἰς τὸν θαυματουργὸν Γρηγόριον βίου

Τοιοῦτον ἔγνωμεν διὰ τῆς ἱστορίας τὸν Ἰωσήφ, ᾧ προὔκειτο μὲν κατ᾽ ἐξουσίαν ἡ περὶ τὴν γυναῖκα τοῦ δεσπότου παρανομία, αὐτῆς ἐκείνης ἐπιμανείσης τῇ ὥρᾳ 5 *τοῦ νέου, καὶ μάρτυς τῶν τολμωμένων ἀνθρώπων ἦν οὐδείς· ἀλλὰ κἀκεῖνος πρὸς τὸν θεῖον ὀφθαλμὸν βλέπων τὸ δόξαι κακὸς εἶναι πρὸ τοῦ γενέσθαι προείλετο, τὰ τῶν κακούργων ὑποστὰς μᾶλλον ἢ κακοῦργος γενόμενος. ἀλλ᾽ ἔστι τάχα τοῦτον καὶ πλέον τι τῆς ἱστορίας ἐκείνης* 10 *καυχήσασθαι. οὐ γὰρ ἴσον ἐστὶν εἰς ἀποτροπὴν τοῦ μιάσματος τό τε τῆς μοιχείας ἄγος καὶ τὸ δοκοῦν ἐν ἐλάττονι πλημμελήματι τὸν μῶμον ἔχειν. ὁ τοίνυν ἐν ᾧ κίνδυνός τις ἐκ τῶν νόμων οὐκ ἦν φοβερωτέραν μᾶλλον τῆς τιμωρίας αὐτὴν τὴν τῆς ἁμαρτίας ἡδονὴν καθ᾽* 15 *ἑαυτὴν εἶναι κρίνας ἢ παρήλασε τὸν Ἰωσὴφ τῇ μεγαλοφυΐᾳ τοῦ θαύματος ἢ πάντως οὐκ ἐν δευτέροις κριθήσεται.*

1–18 Greg. Nyss. de vita Greg. Thaum., PG 46, 905 B 2–C 4; Gen. 39, 6–20

35 Compernass[3] 96–97 — lectiones codd. Greg. auctore H.G. Heil || **6** *καὶ* **M**, Greg. ΟΕΠ: *ὁ* V: *ᾧ* SΛ: *ὧν* UX | *ἀνθρώπων ἦν* **M**: *ἀνθρώπων* Greg. VSUX: *ἦν ἀνθρώπων* ΛΟΕΠ || **10** *τοῦτον* **M**: *τοῦτο* Greg. V: *τούτῳ* ΛQ, E (ante *τάχα* collocans): om. SΠUX | *τι* **M**, Greg. Par. 534: om. E: ante *τάχα* colloc. VSΛΟΠUX || **10–11** *ἐκείνης καυχήσασθαι* **M**, Greg. ΠUX: *καυχήσασθαι ἐκείνης* E: *καυχήσασθαι* VSΛΟ || **15** *τῆς* **M**: *ἐξ* codd. Greg.

Ἀρέθα ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας ἐπίσκεψις τῶν ἐν τῇ συγκρίσει ταύτῃ

Καὶ Ἰωσὴφ εἵλετο κακὸς ἀκοῦσαι ἢ πρᾶξαι καὶ Γρηγόριος εἵλετο κακὸς ἀκοῦσαι ἢ πρᾶξαι. ἀλλ' ἐπὶ
5 *τοῦ Ἰωσὴφ ἡ ἡδονὴ οὐκ ἀνεύθυνος ἀπὸ τῶν νόμων, ἀλλὰ μετὰ τοῦ τῇ σωφροσύνῃ μωμήσασθαι καὶ τὸν ἀπὸ τῆς μοιχείας προσεπόριζε κίνδυνον, ἐπὶ δὲ Γρηγορίου κίνδυνος οὐδεὶς ἀπὸ τοῦ νόμου τῇ πράξει ἐπήρτητο ἢ μόνη κατάγνωσις τῷ προὐργιαιτέραν τὴν ἡδονὴν κρῖναι τῆς σωφρο-*
10 *σύνης, οὐχὶ καὶ τιμωρίαν ἐπιψηφίσασθαι. ὁ τοίνυν πρὸς δύο μηδὲν ἀναδυεὶς στείλασθαι τὸ ἀγώνισμα, τοῦ μὲν ὄντος εὐκαταγνώστου πᾶσι καὶ ἀπ' αὐτῆς κλήσεως ἀποτροπαίου, τοῦ δὲ ἀνευθυνοτέρου ὅσον τῆς ἀπὸ τῶν νόμων εὐθύνης τῷ τῇ σωφροσύνῃ μώμου διώκεσθαι, πῶς*
15 *οὐ θαυμασιώτερος τοῦ ἐπὶ μετριω|τέρῳ καὶ ἑνὶ τὸν* 110ᵛ *ὀνειδισμὸν καρτερήσαντος, καὶ ὀνειδισμὸν πλεῖον οὐδὲν τοῦ μωμήσασθαι βλάπτοντα, οὐδ' ὥσπερ ἐπὶ τοῦ Ἰωσὴφ μετὰ τοῦ μώμου καὶ δεσμά τε καὶ συγκλεισμὸς παρηκολούθησεν; οὔκουν ἐνάμιλλος ἡ Γρηγορίου ἐπὶ τῇ πονηρᾷ*
20 *ὑπολήψει καρτερία τοῦ πρὸς τῇ ὑπολήψει καὶ κίνδυνον ὑποστῆναι τὴν ὑπόληψιν οἷόν τε ὄντα ἔμπρακτον ἀποφαίνειν ἀνασχομένου, ἀλλ' ὅσον δύο τοῦ ἑνὸς καθυπερτερεῖ, τοσοῦτον καὶ ἡ τοῦ Ἰωσὴφ ἐπὶ τῇ πονηρᾷ ὑπονοίᾳ καταδοχὴ τῆς Γρηγορίου ἐπὶ τοῖς ἀπαισίοις φιλοσοφίας.*
25 *καὶ διερρύηκέ σοι, πάτερ ἅγιε, ἡ σύγκρισις, οὐ μᾶλλον ὑπέρτερον, ἀλλ' οὐδ' ἐγγὺς τὸν παραβαλλόμενον δεικνῦσα πρὸς ὃν ἡ παρίσωσις, ὅτι μηδὲ ταὐτὸν μηδὲ ἴσον τὸ βαρύτατον ἀναθέσθαι φορτίον τῷ τὸ κουφότερον ἐπισάττεσθαι. ἄλλως τε καὶ ὅτι Γρηγορίῳ μὲν οὐδεὶς ὄχλος*
30 *καὶ μάλιστα πρὸς δεσποίνης, ὡς ἐπὶ τοῦ Ἰωσὴφ ἐνορᾶται, οὐδὲ μακρὸς ἀναλισκόμενος χρόνος πρὸς πεῖραν, οὐκ*

10—11 cf. CPG I 140; II 43

17 *βλάπτοντα* Wk (*βλάψαντα* Kurtz): *βλάψαντος, -ψαν-* ind. et mg. *πτον,* **M**

αὐτομολία, τὸ τελευταῖον κακὸν καὶ δυσαπόδραστον, πρὸς ἑαυτὴν ἐπισπωμένη νέον σφριγῶντα, ὅνπερ οὐδὲν ἔργον καὶ προσβολῆς ἄνευ τοιαύτης τε καὶ τοσαύτης πειθήνιον ὀφθῆναι καὶ πρὸς τὴν ἐγχείρησιν ἐνεργὸν τῷ πρὸς τὰ τοιαῦτα τῆς ἡλικίας εὐπαραγώγῳ νικώμενον οἷς καὶ 5 φιλόσοφος ἂν ὑπενδεδώκει καὶ γεγηρακὼς καὶ οὐ διέδρα τῷ τῆς ἀσελγεστάτης γοητικῷ τοῦ πάντη παραθραυόμενος σώφρονος. πῶς οὖν ὁ ταῦτα κατηγωνισμένος, χρόνον φημὶ καὶ φύσεως βίαν καὶ τόνον ἀκατάπληκτον, τῷ πρὸς τὴν ἄρτι σχεδιασθεῖσαν ἐξ εὐτελοῦς καὶ πανδήμου γυναίου 10 προσβολὴν ἀνδραγαθισαμένῳ καὶ οὕτως εὐφωράτου ὡς ὑπὸ φθόνου ἀσυνέτων ἡλίκων ἐσκευωρημένης, εἰκότι λόγῳ παραβληθείη; εἰ δὲ τῷ θαύματι οὗτος τὸν πάλαι πλεονεκτεῖ, ἀλλ᾽ ἔστι κἀκεῖ θαῦμα, εἰ καὶ μὴ παραυτίκα ὡς ἐπὶ τούτου, πλήν γε οὐδ᾽ ἀτιμότερον· βασιλεία γὰρ καὶ 15 ἡ κατὰ τῶν κακωσάντων ἐξουσία, ᾗ οὐδὲ οὗτος ἀπεχρήσατο, ἀλλὰ πραΰτητι ἀντηλλάξατο τὴν τιμωρίαν, ὡς οὗτος εὐεργεσίᾳ μετῆλθε τὴν βλασφημίαν, καθὸ καὶ ἡ ἰσότης μόνη ἐνθεωρεῖται τῷ κατορθώματι, ἔχουσά τι πλέον τὸ μὴ ἀνασχέσθαι θεὸν χρόνῳ βεβαίαν ὁπωσοῦν ὑπάρξαι 20 τῷ ἑαυτοῦ θεράποντι τὴν ἀσέλγειαν. καθὸ πάλιν φιλοσοφώτερος Ἰωσήφ, ὅσον ἀνθρώπινον νοῦν εἰκάσαι, χρόνῳ τῇ πονηρᾷ ταλαιπωρῶν ὑπολήψει· οὐ γάρ που καὶ θεοῦ κρίμασιν, οἷς διεξάγεται ταῦτα, θνητὴ φύσις ἐνατενίσειεν ἀσφαλῶς. 25

9 τῷ] τὰ ex τῷ (?) M

36

Γρηγορίῳ μητροπολίτῃ Ἐφέσου

Adrianopoli a Bulgaris capta a. 923 Stephanus archiepiscopus, cum litteris et iureiurando confirmasset se in urbe mansurum esse, tamen in fiscina evadere conatus cum contumelia a Bulgaris reductus erat; quae fuga, cum iam inter Bulgaros et Romanos de pace ageretur, discordiam renovaverat et captivis spem reditus ademerat. arguit Arethas hunc pendente re in communionem ecclesiae Constantinopolitanae recipi non posse, quandoquidem propter eum totus populus nuper Christo conciliatus communionem abruperit, quos necesse sit prius audiri; ceterum si statim recipi cupiat, scripturam suam a Bulgaris recuperet. addit Romanum imperatorem in simili casu nihil impetrasse „antequam cautionem nostram imprudenter datam nobis restituisset"; quae quorsum spectent, non liquet.

*Ἀνεύθυνός σοι, σοφὲ τὰ πάντα ἀδελφὲ κύριε Γρηγόριε,
ὁ χρηστὸς οὗτος Στέφανος, ὃς ἦν ὅτε Ἀδριανουπόλεως
ἀρχιερεὺς ἐχρημάτισεν, ἐφ' οἷς | τὰς ἐνόρκους αὐτοῦ* 111[r]
5 *παρασπονδήσας ὁμολογίας, εἶτα φυγὰς ὑπὸ ἀρρίχῳ
κρυπτόμενος δρασμὸν ἐξετέλει τῶν φοβερωτάτων αὐτοῦ
ἀφειδήσας ὅρκων; εὖ σοι γένοιτο φιλαδέλφῳ κατ' ἄκρας
ἀναφανέντι καὶ τῇ ἀγχιστρόφῳ σου περινοίᾳ μὴ μόνῃ τῇ
παρ' ἑαυτῷ δεξιότητι ἀρκουμένῳ, εἰ μὴ καὶ θεῖα πρὸς*
10 *ταῦτα ὑποδείγματα παρακαλοῦντι πρὸς ἄμαχόν τινα
πίστιν τὰ προτεθέντα ἐξάγειν προῃρημένῳ· ἢ καὶ αὐτὴ
οὐκ ἀδόκιμος ταῖς ἀποδεικτικαῖς ἐφόδοις νενόμισται ἐπὶ
ταῖς ἐκ βαθυτάτων τῶν λογισμῶν ἀποδείξεσιν ἐπαγομένη
καὶ συνεπιρρωννῦσα τὸ κατασκευαζόμενον· καὶ τό γε*
15 *κρεῖττον ἐν τούτοις καὶ ἀναντίρρητον νομιζόμενον οὐκ*

36 Šestakov[1] 161–163; id.[2] 99–101 || **11** ἦ Šestakov: ἢ M

ἐξ οἰκείας λαμβάνων εὑρέσεως, ἐκ δὲ τῶν Πέτρῳ τῷ ἱερομάρτυρι πεπονημένων κανονικῶν ἐπιστολῶν προάγων ὡς ἔοικεν εἰς ἀξιόπιστον τὸ σοὶ πρεσβευόμενον. τὰ δὲ ἦν Πέτρος τῶν ἀποστόλων ὁ πρόκριτος καὶ Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς καὶ δὴ καὶ αὐτὸς ὁ θεάνθρωπος ἡμῶν 5 *κύριος καὶ σωτὴρ ἀπὸ τῶν αὐτοῖς πεπραγματευμένων τὸ ἀμώμητον δήπου καὶ τῇ μετὰ χεῖρας περιστάσει πορίζοντες, ἐπεὶ καὶ αὐτοὶ φυγαδείᾳ τὸ κινδυνῶδες τοῦ καιροῦ ἀπεκκλίναντες οὐδεμιᾶς ἐνοχῆς διὰ ταύτην ἠξίωνται.*

Ἀλλὰ γὰρ σκοπεῖν, ἀξιάγαστε, ὡς οὐχ ἡ τοῦ πάθους 10 *ὁμοιότης κοινωνοὺς ἀναδείκνυσι καὶ τοὺς πάσχοντας τοῖς πρὸς οὓς ἀναφέρειν ὑμῖν ἡ σπουδὴ τὸν βέλτιστον Στέφανον, εἰ μὴ καὶ πολλῷ τῷ μέσῳ τοῦτον διαστελλόμενον ἐνθεωρεῖν ἐστὶ τῇ προκειμένῃ παραβολῇ· Πέτρος μὲν ὑπ᾽ ἀγγέλου θεοῦ πρὸς τὴν φυγὴν παρορμώμενός τε καὶ* 15 *συνεργούμενος, δι᾽ οὗ ἡ περιτομὴ τὸ εὐαγγέλιον ὑποδέξεται, Παῦλος δὲ σαργάνῃ χρησάμενος καθιμηθῆναι τοῦ τείχους ἐφ᾽ ᾧ τε διαφύγοι τὸν ἀπολέσαι ζητοῦντα καὶ αὖθις ὑπὸ τῶν Ἀσιάρχων ἀποκρυβῆναι ἠνέσχετο πρὸς τοῦτο θεοῦ συναιρομένου τοῖς τοῦτο πραγματευσαμένοις* 20 *πιστοῖς ὡς ἂν δι᾽ αὐτοῦ τοῖς ἔθνεσι διαδοθείη τὸ σωτήριον κήρυγμα· ὁ δὲ σωτὴρ ἡμῶν θεὸς ἐκ σπαργάνων εἰς Αἴγυπτον φυγαδεύεται, οὐ μόνον ἵνα τὰ βδελύγματα τῶν Αἰγυπτίων τῇ τούτου παρουσίᾳ κατασεισθῇ, ἀλλὰ καὶ τῷ μήπω καιρὸν εἶναι Ἡρώδην τῇ Χριστοκτονίᾳ κατα-* 25 *κριθῆναι. καὶ οὗτοι μὲν οὕτω προβάντες οὐκ ἤδη ἀνοίας ὑπεύθυνοι, ἀλλὰ καὶ δόξης οὔμενουν ὅσης ἐρεῖν ὑπό γε πράγμασι θείοις τυγχάνουσιν· οὐ γὰρ καὶ ὅρκῳ ἐγγράφῳ τῷ μὴ ἀποδρᾶναι κατησφαλισμένοι, μὴ πρὸς ἕτερον ἀποκλῖναι διὰ βίου δεσπότην, ὡς οὗτος αἰσχρῶς ἄγαν καὶ* 30 *ἀναξίως ἀρχιερέων θεοῦ, εἶτα μικρὰ τῶν ὅρκων φροντίσαντες τῆς κατ᾽ αὐτὸν παλιντροπίας γεγόνασι. πῶς οὖν*

1–3 Petr. Alex. can. 10, PG 18, 488 B 4–490 A 6 || **4–5** Act. 9, 15 || **14–16** Act. 12, 3–19 || **17–18** Act. 9, 23–25; 2 Cor. 11, 32–33 || **19–21** Act. 19, 30–31 || **22–23** Mt. 2, 13–15 || **23–24** Evang. Ps.-Matth. 23; cf. Is. 19, 1; Ex. 8, 22 || **25–26** cf. Luc. 23, 6–12; Act. 4, 27

Στέφανον τούτοις συνεξετάζειν ἐξ ὁμοιότητος μόνης τῆς περιπετείας οὐ τολμηρόν; καὶ οὐδὲ πόρρω τοῦ θεοχόλωτος ὁ οὕτω φρονῶν κρίνεσθαι, ὡς εἴ τις καὶ τοὺς σταυρῷ | διὰ 111v
ἀσέλγειαν ἐπιτετιμημένους μανιωδῶς τῷ σωτῆρι Χριστῷ
5 παραβάλλει καὶ Σίμωνα τὸν μάγον ἐγκλήματος ἀπολύει εἰς μίμησιν τῆς τοῦ θεοῦ ἀναλήψεως ἢ καὶ τῆς Ἠλιοῦ τοῦ Θεσβίτου, ὑφ' ἧς συντριβεὶς ὁ κάκιστα ἀπολούμενος τὸν βίον κατέστρεψεν.

Ἀλλὰ γὰρ τὸ μὴ καταλλήλως προσνέμειν ταῖς ἀφορμαῖς
10 καὶ τὰ τέλη ἀλλὰ βιάζεσθαι τοῖς τέλεσι καὶ τὰς ἀφορμὰς ὑποκλίνειν ὁρᾷς ὡς νομοθετοῦντός ἐστι καὶ βιαζομένου τὰ ἱερὰ γράμματα, οὐ πρὸς τὸν ἐνόντα σκοπὸν ἀπευθύνειν τὸν νοῦν τῷ συντάγματι; πῶς γὰρ οὗτος ἐνάμιλλος τούτοις, ὁ δείματι τοῦ φωραθῆναι, ὡς ἔφθημεν εἰρηκότες, ἀρρίχῳ
15 ἑαυτὸν ἀφανίσας τοῦ μὴ τῆς παραβάσεως τῖσαι δίκην, ἣν φωραθεὶς ὕστερον ἀνέτλη, τῆς γενειάδος αἰσχρᾷ δηωθεὶς ἀποτίλσει καὶ ποδοκάκας τοὺς πόδας περιβληθείς, ἐξὸν αὐτῷ μὴ τούτοις ὑποβληθῆναι, εἰ κατ' Εὐθύμιον τὸν τοῦ Ῥουσίου διεγένετο ἀρχιερέα, εἰς μηδὲν τῶν προταθέντων
20 ὑπὸ Βουλγάρων ὑπείξαντα ἀλλ' εὐσταθῶς ἄγαν τὰς ἀπειλὰς ὑπενεγκόντα· ἀφ' οὗ καὶ θαυμάσιος καὶ ζηλωτὸς Βουλγάροις καὶ Ῥωμαίοις εἰσέτι νῦν διατελῶν μακαρίζεται. ἵνα δὲ τῇ φυγῇ σωτήριον Στέφανος ἑτέροις οὐχ ἑαυτῷ διοικήσεται, ὥσπερ οἷς παρισοῦν αὐτὸν ἐκθυμότατα
25 κρίνετε, τούτοις ἐναθλεῖν εἵλετο; ἀλλ' ἔστιν οὐκ ἄλλο οὐδὲν ἢ τὸ δυσμαχώτατον συγκροῦσαι τὰ φονικῶς ἑαυτοῖς ἐφορμῶντα Ῥωμαίων τε καὶ Βουλγάρων ἔθνη, ὃ καὶ δυστυχῶς ποιοῦν ἐκτετέλεσται, διαστασιασθέντων ἐντεῦθεν μανικώτερόν τε καὶ ἀπιστότερον Βουλγάρων τῇ
30 τῶν ὅρκων τούτου παρασπονδήσει ἅτε ἀρχιερέως θεοῦ οὕτω διαγενομένου, τῶν τέως χρηστοτέραις ἐλπίσι τοῦ φιλίως ἀλλήλοις συμβῆναι συγκροτουμένων καὶ τέλεον τὰ εὐμενέστερα ἀπεγνωκότων· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ

5–8 cf. Martyr. Petri 2–3 || 6–7 4 Reg. 2, 1–14 || 14 supra p. 285, 5–6

9 τὸ Wk: τῷ M || 17 ποδοκάκας] -αις ex -ας M (?)

καὶ μετὰ τὴν τῆς εἰρήνης ἐπαγγελίαν ἐπὶ τοῖς πρὸς τὴν ἑαυτῶν ἀνασῳζομένοις αἰχμαλώτοις ὅσα καὶ οἷα πεπονήρευται οὐκ ἄκαιρον ἐπισκέψασθαι, ὡς ἂν ᾖ διὰ πάντων τὸ ἐν ἅπασιν αὐτοῦ καταφανὲς πάντολμον καὶ αὐθεκάστως πανοῦργον. 5

Ἀλλ' ἴσως ἀντεφορμήσεις ἡμῖν ὁ τὰ πάντα πραῢς καὶ μειλίχιος καλὰ μὲν εἶναι ταῦτα φάσκων καὶ ἀποδοχῆς ἄξια, ἐκ μετεώρων δὲ τῶν πραγμάτων μὴ ἂν αὐτὸν ἀποκεκλεῖσθαι τῆς μεθ' ἡμῶν πρὸς τὴν πνευματικὴν θυσίαν προσλήψεως. πρὸς δ τοῦτο ἐροῦμεν ἑτοίμως, ὡς 10 ἐπ' ἐκείνοις ἰσχὺν ἔσχηκεν ἀδαμαντίνην, ὦ χρηστέ, τὸ σοφὸν διαβούλιον τοῦτο, ἐφ' οἷς οὐδείς τις ἔτι τῆς κατακρίσεως τοῦ αἰτιαθέντος παραθιγγάνων κατείληπται οὐδὲ δῆμος ὅλος ἱερωμένων, καὶ ταῦτα νεοπαγῶν πρὸς εὐσέβειαν καὶ ἐπὶ μικροῖς καὶ τοῖς τυχοῦσι τὸ σκανδαλίζεσθαι 15 προχειρότατος καὶ ἀφ' ἡμῶν ἐκδεχόμενος τὸ τὰ θεῖα 112ʳ ῥυθμίζεσθαι, τῆς τούτου κοινωνίας ἀπέρρηξεν | ἑαυτόν. τί φῄς; πρὶν ἀπ' ἐκείνων προσλαβεῖν τὸ ἐνδόσιμον, εἴτε σὺν λόγῳ εἴτε καὶ μὴ τὰ τῆς πρὸς αὐτὸν διαστάσεως ἐνεργὰ τούτοις νενόμισται, ὡς ἂν κατὰ τὸ ἄμεινον ταῦτα διαιτη- 20 θείη, ἡμεῖς δὲ φθάνωμεν ἐπιεικείᾳ δῆθεν τὴν τῶν αἰτιαμάτων διάγνωσιν, ἥτις σκανδάλου αἴτιον ὑπάρξει δήμῳ τοσούτῳ πιστῶν, οὐ τῷ τοῖς ἀψαύστοις μόνῳ προσλιπαροῦντι θεοῦ, ἀλλ' ἤδη καὶ τῷ λοιπῷ τῆς ἐκκλησίας πληρώματι; ἀλλ' ὅσος ὁ μῶμος, καὶ οὐδὲ τυχὸν τὸ 25 παράπαν ἀκίνδυνος, σκοπεῖν χρή. πλὴν εἴ τις ἄλλος τοῦ καὶ ἕνα σκανδαλίζοντος ὑπέχειν ἱκανὸς τὸ ζημίωμα, οὐδεὶς φθόνος· ἐμοὶ γοῦν οὐκ ἀνεκτόν, ὅτι μηδὲ ἐν ὅροις ὑπείληφα τὸ κακὸν ἡσυχάσειν, ἀλλ' ὑπερχεθῆναι τῶν ἑαυτοῦ τόπων καί, ὃ μὴ εἴη, κύριε τοῦ ἐλέους, δευτέρων ὑπάρξειν 30 δυστυχεστάτων πραγμάτων ὑπόθεσιν, ἐκ τοῦ καταγινώσκειν ἡμῶν τῆς περὶ θεῖα ὀλιγωρίας ἀνασοβουμένης ἀκάθεκτα.

26—27 Mt. 18, 6; Mc. 9, 42; Luc. 17, 2

21 *φθάνωμεν* Wk: *-ομεν* **M**

Ἀλλὰ γὰρ μικρῷ ἔτι τούτῳ λόγῳ, ποθεῖ συναγελασθῆναι ἡμῖν. καλῇ γε ταύτῃ σπουδῇ καὶ ἐπαινουμένῃ, ἀλλὰ ἀφαιρούμενος Βουλγάρων τὸ κύριον ἔγγραφον καὶ ἐπιδιδοὺς τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ· ἕως δ' ἂν μὴ τοῦτ' ᾖ, ᾠόν,
5 *τὸ τοῦ λόγου, τίλλειν ἐπιχειρεῖ. οὐδὲ γὰρ ὁ θειότατος ἡμῶν δεσπότης καὶ βασιλεὺς κύριος Ῥωμανὸς ἤνυσέ τι τῶν καταθυμίων αὐτῷ, ἔστ' ἂν τὰ ἐξ ἀβουλίας ἡμῶν ἔγγραφα παρέσχεν ἡμῖν καίτοι γε οὐδενὶ κατησφαλισμένα ὅρκῳ. ὅσον δὲ τὸ ἁπλῶς λόγῳ τι ὑπισχνεῖσθαι τοῦ*
10 *μετὰ σκέψεως εἰς ἀθέτησιν ἀσθενέστερον, οὐκ οἶμαι ἀγνοεῖν οὐδὲ τὸν τυχόντα ὡς οὐδὲ ἧττον, εἰ μὴ καὶ μᾶλλον, ὁ κίνδυνος τούτου παρομαρτεῖ τῷ τὰς ἐνόρκους πίστεις παρὰ φαῦλον τιθέντι καὶ τῷ μηδενὶ παραρριπτεῖν ἴσῳ εὐεμπτώτως ἄγαν ἐνολισθαίνοντι.*

4–5 CPG I 187; II 258

2 *καλῇ ... σπουδῇ ... ἐπαινουμένῃ* Wk: *-ή ... -ὴ ... -η* **M** ‖ **11** *οὐδὲ*[2]] fort. *οὐδὲν*

37

Γρηγορίῳ Ἐφέσου Ἀρέθας ἐλάχιστος ἀρχιεπίσκοπος Καισαρείας Καπποδοκίας

Sunt duo excerpta ex eadem epistula, alterum perbreve, in quo formulam proponit qua Theophylactum filium Romani imperatoris ad patriarchatum designari vult, patriarcham tunc futurum cum ad aetatem idoneam pervenerit; alterum quo hoc consilium defendit exemplis Petri hieromartyris et Alexandri episcopi Constantinopolitani. ita enim electum ad bonum dirigi, ambitionem ex ecclesia tolli, non libertatem; eos qui diu ante eligantur diligentius vivere et cum poscantur paratos esse. canonem autem qui vetet episcopum ex hoc mundo abeuntem suum successorem designare, in hac re non valere, cum ante Stephani relationem idem iam a se actum esset, nec quicquam obstare quominus id decretum, sive ratum sive irritum, nunc renovetur.

Scripsit a. 927 inter menses Iulium, quo Stephanus obiit, et Decembrem, quo Trypho ea condicione quam proposuerat Arethas Theophylacti vicarius electus est.

Τὸν κῦριν Θεοφύλακτον τὸν υἱὸν τοῦ κυρίου καὶ δεσπότου καὶ βασιλέως ἡμῶν Ῥωμανοῦ ψηφίζομαι εἰς πατριάρχην, ἀνατρεφόμενόν τε καὶ ἀναγόμενον πατριαρχικαῖς ἀρεταῖς, πρὸς τῷ καιρῷ τῷ ὀφειλομένῳ αὐτῷ ὑπὸ κυρίου τοῦ θεοῦ ὑποδέξασθαι αὐτὸν τὴν πατριαρχικὴν τιμήν τε καὶ χειροτονίαν, τούτοις μηδὲν προστιθεὶς μηδὲ ἀφαιρούμενος. 5

Καὶ μετὰ πολλά· 10

Ὁ δὲ ὡς ὀχυράν τινα προὐβάλου ἀκρόπολιν ἢ καὶ ἱερὰν ἄγκυραν, ἢ καὶ τὸ θαυμάσιον ἀποίσεσθαι ἔδοξας, τὴν

11–12 CPG I 256; II 118

37 Šangin[2] 242–243 || 3–8 *Τὸν — χειροτονίαν* lemmati subiungit **M**

ἐλευθερίαν δῆθεν τῇ τοῦ Χριστοῦ μνώμενος ἐκκλησίᾳ ἐκ τοῦ μὴ ὑποψηφίοις καταδουλοῦσθαι, πυνθάνομαί σου, θαυμάσιε, πόθεν τοῦτο λαβὼν παραβέβυκας; πρῶτον μὲν οὐ Πέτρον τὸν ἱερομάρτυρα ἐννοήσας, ὃς μαρτυρίῳ πρὸς
5 *κύριον ἐκδημῶν Ἀχίλλαν καὶ Ἀλέξανδρον ἐψηφίσατο διαδόχους ἑαυτοῦ. εἰ δὲ ὅτι ὑπὸ θεοῦ χρηματισθεὶς ταῦτα πρὸς τὴν ἀποτροπὴν τοῦ ὑποδείγματος ἐγκαλλωπίσῃ, ἀπέχω τὸ ἀριστεῖον, ὅπου γε καὶ θεὸς | τοῖς παρ' ἐμοῦ* 112v
εἰσηγουμένοις συνήγορος. ὅρα δὲ καὶ ὡς οὐδ' ἥντινα
10 *βλάβην προσῆγεν ἡ ἐπὶ ζῶντι Ἀχίλλᾳ τοῦ Ἀλεξάνδρου ψῆφος, εἰ μὴ καὶ μᾶλλον εἶχέν τινα πορίζειν τῶν συντελούντων εἰς ὄνησιν τῷ προεπηγγελμένῳ. αἱ γὰρ τοιαῦται προτέλειαι τῶν οὕτω προαγομένων οὐχ ὅσον οὐκ ἔβλαψαν ἤνεγκαν κέρδος αὐτοῖς οὐχ οἷον ἐρεῖν, νήφειν ἀεὶ καὶ*
15 *ἐγρηγορέναι καταταχοῦσαι τῷ μή τι λωβήσασθαι τὸν ἀρραβῶνα. ἀλλ' οὐδὲ Ἀλέξανδρον τὸν θεῖον τοῦ Βυζαντίου τούτου πρόεδρον ἔτι ζῶντα Παῦλον καὶ Μακεδόνιον ψηφισάμενον οὐδ' ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας μετὰ Φλαβιανὸν τῶν ἐνδημούντων ψῆφος εἰς Ἀντιόχειαν ἐπίσκοπον τῇ τοῦ*
20 *ἀποιχομένου ἐκλείψει ἐπεισαγόντων τὸν ἐφεξῆς.*

Ἢ οὐκ αἰσθάνῃ ὡς ἡ θαυμαστή σου αὕτη ἐλευθερία ὀχλοδουλίαν σὺν ἀταξίᾳ τοῖς ἱερατικοῖς πράγμασι παρεισφθείρει; ἑκάστῳ γὰρ δεδομένου αὐτονόμῳ προθέσει μὴ πρὸς ἕνα τὸν ἐπ' ἀδείας ἀξίως ἠφωρισμένον συγκατευ-
25 *θύνειν τὴν ψῆφον, ἀλλὰ πρὸς ὃν τις οἰκείως ἔχει, τῷ τῆς προαγωγῆς αἰφνιδίῳ πρὸς καινοτόμον γνώμην ἐπιρρωννύμενος, οὔτε στάσεως ἄν ποτε τὸ ἱερὸν σύστημα ὀχλοδούλου ἐῴη καθαρεύειν, οὐ τῶν ἐγκρίτων καὶ δεδοκιμασμένων τις τὴν ἱερὰν ἐφορείαν ἐλευθερίως ὑπέλθοι, νικώσης*
30 *ἀεὶ τῆς τῶν πολλῶν αὐθαδείας τὸ ἔγκριτον καὶ συναρπαζούσης τῇ πολυδεσπότῳ ταύτῃ πρὸς συγκατάθεσιν ἐλευθερίᾳ καὶ τοὺς ἀκριβεστάτους εἰς γνωμολόγησιν. τῆς βίας. καὶ ἄλλως δὲ τὸ μὲν ἀμελλήτως εἰσαγόμενον πρὸς*

15 *καταταχοῦσαι* Wk: *κατατυχοῦσαι* **M** || **21** *Ἢ* Šangin: *ἢ* (?) **M** || **33** *ἀμελλήτως* Šangin: *ἀμελήτως* **M**

οἷς οὐκ ὠφέλησεν τῇ τοῦ ἀθρόου ἐπεισόδῳ οὐδὲ τὴν τυχοῦσαν ἤνεγκε βλάβην τοῖς χρησαμένοις, τὸ δὲ χρόνῳ τὴν βάσανον προσλαβὸν τῇ πείρᾳ παρέχεται τὸ δοκίμιον.

Ἀλλ' οὕτω τούτων ἐχόντων οὐκ ἂν οἶμαί τινα τῶν ἐπιεικῶν τε καὶ οὐ φιλαύτων τὰς ἐκ μακροῦ τῶν ἱερωθη- 5 σομένων ἀτιμάσειε ψήφους, δυοῖν ἕνεκεν· αὐτούς τε γὰρ ἀξίως ἀνάγεσθαι τῆς ἐποφειλομένης ἱεραρχίας βραβεύσειεν οἷά τινι χάρακι τῇ ψήφῳ τὸ ἱερὸν στέλεχος ἀπευθυνομένους, καὶ δή γε καὶ τῷ τῆς ἑτοιμότητος ἀταλαιπώρῳ τῆς ὅτε καιρὸς αὐτῶν προαγωγῆς τὴν τῶν 10 πολλῶν ἔριδα καὶ δοξομανίαν διασκεδάζοιεν. τὸ γὰρ εἰς ἐκλογὴν προεφωδευμένον ἀργὴν ἀπελέγχει τῶν ἀστηρίκτων τὴν σπουδαρχίαν. εἰ δ' ἐπὶ τὸ ἱερὸν καταφεύγοντι γράμμα ὃ τοὺς πρὸς κύριον ἀπιόντας τῶν ἱεράν τινα μετιόντων ἐπιστασίαν μὴ ἕτερον ἀντ' αὐτῶν ἀποθεσπίζει 15 προβάλλεσθαι – εἰ τοῦτο τὸ δραστικώτατόν σοι δήπου παρεγγυᾶται, δόξεις μέν τι ἐρεῖν, οὐ μέντοι καὶ ὅσον οἴει. ἦν γὰρ ἂν τῶν ἀναμφιλέκτων καὶ πρὸς ἀντινομίαν τοῦτο κατακυλίον, εἰ τῷ τοῦ Στεφάνου δοξοκόπῳ ψηφίσματι 113ʳ ἡ | περὶ Θεοφυλάκτου ἐκαινουργεῖτο ἀρχαιρεσία. ἐπειδὴ δὲ 20 καὶ πρὸ Στεφάνου παρ' ἡμῶν ἐξετελέσθη, τίς ἐμφρονέστατος λόγος ἐκείνου εἴτ' ἀπολωλότος εἴτε καὶ μένοντος μὴ αὖθις ἡμᾶς εἶτ' ἐπικυροῦντας καὶ παραρρυέντος τὸ διεφθορὸς ἀνακαινίζειν, ἀλλ' ἐᾶν οὕτω λήθης ἀμαυρωθῆναι βυθοῖς, τοῦ ἐξ ἀγράφου τῆς ἀποφάσεως οὐκ ἀναμένοντος 25 τὸ ἑστώς τε καὶ ἔμμονον ἀλλὰ τῆς προαγωγῆς τὸ προαπόλλυσθαι σχεδὸν εἰληχότος;

Ταῦτά σοι, ἀδελφέ, περιδεξίῳ τὰ πάντα καὶ ἀγχιστρόφῳ ὁ βραδὺς καὶ δυσκίνητος Ἀρέθας, ἔχων μὲν εἰς ἀεὶ θεοῦ χάριτι τὸ εἰς ἅπαν χρηστὸν ἕτοιμον καὶ εὐκίνητον, 30

13–16 Can. apost. 76 (Lauchert 11, 19–23); can. Antioch. 23 (Lauchert 49, 11–17) || **17** Plat. Reip. I 329 e 6–7 || **29–30** Tit. 3, 1

20 fort. *Θεοφύλακτον* || **23** *εἶτ'* Wk: *εἴτ'* **M** | *παραρρυέντος* Wk: *παρρυέντος* **M**

ἔχων δέ πως καὶ τὸ πρὸς ἀντιλογίαν εὐλαβὲς καὶ αἰδέσιμον, τῷ μακαρίῳ Παύλῳ πειθόμενος, ὃς τὰς δοξοπλήκτους καὶ εἰκαίας ταύτας ζητήσεις παραιτεῖσθαι φιλοσοφεῖ ὡς τῆς ἀπὸ τούτων μάχης πρὸς ἀλλοτρίωσιν εἰωθυίας ἐλαύνειν 5 τῶν ἀδελφῶν τὸν κατὰ Χριστὸν ἄνθρωπον.

2–5 2 Tim. 2, 23–24

38

Στεφάνῳ τῷ ἐπὶ τοῦ κανικλείου

Papyrum Babylonicam a Stephano sibi promissam efflagitat morae impatiens. quod Stephanus excusaverat, procul advehi necdum summam manum impositam esse, verum esse negat; nam si ita esset, non tam cito Stephano praesto esse potuisse.

Non de libris agitur, sed de papyro scriptura vacua, quam etiamtum Aegyptus suppeditabat; Babylonem enim Aegyptiam designari docent epistulae sequentes. de Stephano vide ad Op. 23.

Ἡ βίβλος εἰ μὲν Βαβυλῶνος ἄρτι πρόεισι σχοίνου, εἰκότως ἂν δολιχεύοι τὴν ἀποστολήν, τὸ μήπω τέλεον κατεσκευάσθαι εἰς ἀπολογίαν προβαλλομένου τοῦ ταύτην ὑποσχομένου ἀποστελεῖν. εἰ δὲ πάλαι καὶ πρόπαλαι – οὐ 5
γὰρ ἂν πολλῷ τῷ τοπικῷ διαστήματι ἀφεστηκυίας Βαβυλῶνος τῆς Κωνσταντίνου ὑφ᾽ ὑμετέραν οὕτω θᾶττον κτῆσιν καὶ ἀκατέργαστος κατέστη ὡς δεῖσθαί τινος συμπληρώσεως εἰς ἐντελεστέραν ἀπόδοσιν – τί τῇ παρελκύσει νοθεύεις τὴν χάριν τῆς δόσεως κἀμὲ κάμνειν 10
ἀναμετροῦντα τὴν ἀπόληψιν παρεχόμενος; ἢ οὐκ οἶσθα τὸ σοφὸν τοῦτο καὶ χαριεντισμοῦ πλῆρες γράμμα, ὅ φησιν οὕτως·

῾ὠκεῖαι χάριτες γλυκερώτεραι· ἢν δὲ βραδύνῃ,
πᾶσα χάρις κενεή, μηδὲ λέγοιτο χάρις᾽· 15

καὶ τὸ δημῶδες τοῦτο ῾βραδεῖα δόσις, ματαία χάρις᾽;

11–15 Anthol. Pal. 10, 30

38 Kougeas 114 ‖ **3** *τὸ* Wk: *τῷ* **M**

39

Στεφάνου {'Εφέσου}

Stephanus Aretham monet ut patientiam agat; revera se chartam meliorem trans mare afferendam expectare, interim tamen chartam deterioris notae quam promptam habeat mittere.

Τὰς δὲ κύνας τυφλὰ τίκτειν ἐπειγομένας ἀφῆκας; τὸν δὲ Φαληρέα τοιαῦτα τίκτειν καὶ τὰ κριτήρια φάμενον εἴασας; αἱ δ' ὀξύτεραι τῶν βουλῶν οὐκ ἐπισφαλέστεραι;
5 *ὅσα σοι τοιουτότροπα. σὺ δὲ τἀναντία καὶ σκώπτων καὶ γράφων καὶ ἀπαιτῶν καὶ τῆς ὑποσχέσεως οὐχ ὑγιοῦς ἐπαπόλαυε· ἔμενον τὰ νέον ἐκ Βαβυλῶνος ἐρχόμενα, ἀλλ' οὐδεὶς Αἰόλος κατὰ τὸν μῦθον τοὺς χειμερίους ἀνέμους ἐπέχων οὐδέ τις ἐπιτάσσων τοῖς κύμασιν, ἵνα μοι κατὰ*
10 *κῦμα θέον τὸ σκάφος τὸ ἐλπιζόμενον ἤνυεν. ἐπεὶ δὲ σπεύδεις, λάβε μοι τὸ κατὰ χεῖρα κεκροτημένον ὡς ἔτυχεν ὑμῖν τοῦτο λογιζόμενον· τῆς δὲ θαλάσσης ἡμερουμένης ἐγὼ καλῶς καλὸν ἀποτίσω σοι.*

7–9 Hom. *κ* 19–26 || **9** cf. Luc. 8, 24–25

39 Kougeas 115 || **1** *'Εφέσου* del. Kougeas; *ἐπὶ τοῦ κανικλείου* ci. Darrouzès, Inventaire 117 || **11** *κεκροτημένον* Kougeas: *-ωμένον* M || **12** *ὑμῖν*] leg. *ἡμῖν?*

40

Τῷ αὐτῷ

Quamquam dono captus, tamen iocans Stephani excusationi obsistit; causam istius morae paenitentiam promissi esse nec navibus ex Myrelaeo ad suam domum perveniri. nihilominus afflantibus ventis magnam chartarum copiam sibi missum iri sperat.

Τὸ τῶν Χρυσῶν ἐπῶν ὑποβλεπόμενος σοφὸν θέσπισμα ὅ ʻμὴ φίλον ἐχθαίρειν ἁμαρτάδος εἵνεκα μικρᾶςʼ ἀσφα- 113^v^ *λίζεται, ἐπέσχον τέως | παρʼ αὐτὴν τὴν ἀποδοχὴν τῆς ἀναπολόγου ἐπὶ τῇ βραδυτῆτι ἀπολογίας τὸν ἔλεγχον,* 5 *ἴσως δέ (τί γὰρ σιγᾶν χρὴ τὸ ἀφιλοσόφως συμβάν;) καὶ τῇ τοῦ δώρου θελχθεὶς ἐπιδόσει, τὰς ἐν τῇ σοφωτάτῃ ἐπιστολῇ ὑμῶν ἁμαρτάδας φωρᾶσαι· φωρᾶσαι δὲ οὐχ οὕτως ἐλεγκτικῶς ὅσον φιλικῶς, ἐπεί τοι καὶ τὸν ἔλεγχον ὁ Παιδαγωγὸς ὠφέλιμον εἶναι βούλεται τῆς τοῦ ὀρθοῦ* 10 *παρεγκλίσεως ἀπάγων τὸν ἐλεγχόμενον. τοῦτο δὲ μὴ φιλοῦντος ὁ λογιζόμενος, οὐκ ἂν οὗτος οἶμαι τοῖς σώφροσι καταλογισθείη οὐδὲ τοῖς τὰ χρηστὰ βουλομένοις τοῖς φιλουμένοις, εἰ μὴ τῶν ἐπιχαιρεκάκων καὶ τῷ ὄντι σκαιῶν, τῇ φιλίᾳ τὸν ὄλεθρον μνωμένων, περιπτωτικῶς* 15 *ἑαυτοῖς, οὐχ ἑτέροις, εἴ γε ὁ Πυθαγόρειος ἀληθὴς λόγος ʻἄλλον αὐτὸνʼ ὁριζόμενος τὸν φίλον.*

10 mg. ad *Παιδαγωγὸς*] *τὸν τοῦ Στρωματέως Κλήμεντος λόγον φησίν, ὃν Παιδαγωγὸς ὁ αὐτὸς Κλήμης ἐπέγραψε.*

2–4 Carm. aur. Pythag. 7 || **9–11** Clem. Alex. Paedag. 1, 1 || **16–17** Aristot. Eth. Nic. IX 4, 1166a 31–32; Hermias in Phaedr. 192, 10–11 Couvreur

40 Kougeas 116–117

Εἰπὲ γάρ μοι, ὁ τὸν Ὅμηρον ὅλον καταπεπωκώς (παιγνίας γεροντικῆς μὲν ὁ λόγος, σωφροσύνης δὲ μαιευτικός), αἰτήσεως ἡμετέρας καὶ ὑποσχέσεως ὑμετέρας ἐξ αὐτῆς αἰτήσεως μέμψις ἡ ἐπὶ τοσοῦτον χρόνον ὑπέρ-
5 *θεσις ἢ συμβουλῆς δοκιμασία τὸ ἐνὸν ἐκμαστευούσης; ἀλλ' εἰ τοῦτο, τί μὴ τὴν αἴτησιν εἰς βουλὴν παρεπέμπου, ἀλλ' οὕτως ἑτοίμως, ἔτι ῥεόντων τῶν τῆς ἀξιώσεως λόγων τὴν ἀποστολὴν ἐπηγγέλλου; εἰ μή που τὸ τοῖς ἀπροβούλως τι διαγγέλλουσι γελοίως ἐγκαλούμενον πέπονθας*
10 *καὶ αὐτός, τοὺς λόγους προοδοποιεῖν τῇ σκέψει παρεχόμενος. ὁ δὲ τοῦ Αἰόλου πνευματόπλεως ἀσκὸς πρὸς τί παρελήφθη, μὴ τοῦ μεταξὺ τοῦ Μυρελέου θαλαττευομένου ἄχρις ἡμῶν διαστήματος, ὡς πνεύματος κατὰ πρύμναν ῥέοντος δεῖσθαι τὴν ὡς ἡμᾶς κατευθύνοντος ἄφιξιν, ὅτι*
15 *μηδὲ Κίρκη, μὴ Σειρῆνες τῇ Ὀδύσσεως τὴν πρὸς τὸ γλύκιον ἔδαφος ἄφιξιν ἐμποδοστατοῦσιν;*

Ἀλλ' ἐπὶ τούτοις πᾶσι σύγγνωθι, μακάριε, εἰς τόδε ἠγνοηκότι ναυκλήρῳ σοι συμβαλών, ᾧ τῆς νεὼς εὐπλοησάσης ὑπάρξει ἀφθόνως ἡμῖν τε παρέχειν βίβλους
20 *Νειλῴας καὶ τοῖς ἄλλοις ὅσοι φιλοῦσι τὰ ἀπ' Αἰγύπτου ἐν χρείᾳ παρεχόμενον, οὐκέτι κιμβικῶς τε καὶ κυμινοκοπικῶς, ἀλλὰ μεγαλοψύχως καὶ τὴν Τίμωνος ὑπερβαλλόμενον ἀπειροκαλίαν καὶ τὴν προσέτι Κύδωνος τοῦ Κορινθίου μεγαλοψυχίαν.*

23–24 CPG I 43; II 138

12 *Μυρελαίου* Kougeas || **18** *εὖ πλοησάσης* M

41

Εὐσταθίῳ τῷ Σίδης ἀρχιερεῖ

De mutatione sedum Eustathii Sidae episcopi litteras refutat. eadem res tractatur in Op. 27; an et idem casus, non constat.

Quod dicat Eustathius Petrum primo Antiochiae, deinde Caesareae Cappadociae, postremo Romae episcopum fuisse, non omnia quae ille fecerit imitanda esse, multaque veteris ecclesiae nunc obsolevisse, velut Pauli praeceptum de viduis, presbyterorum coniugia, alia. si haec sufficiant illi de quo agitur, bene esse; sin minus se non recusare quin cum Hosio Corduensi iterum contemnatur, ut inde istius hominis indignitas omnibus appareat. subiunguntur canones conciliorum.

Ἐπειδή σοι τοῦ καθήκοντος ἀπερισκέπτῳ ὅττι κεν ἐπὶ γλῶσσαν ἔλθῃ, ποιητικῶς ἐρεῖν, ἀπερεύγεσθαι περιγίνεται καὶ ὄχλῳ δῆθεν παραδειγμάτων τῇ παλαιότητι διαπνευσάντων ἐπερειδόμενος δοκεῖς μέν τι φθέγγεσθαι, 5
ἀλλ' οὖν οὐχὶ καὶ ὅσον βούλει, τὸ ἀταμίευτον τοῦτο τέως τὸ περὶ λόγους ἀπεσκευασμένος καὶ ὑπὸ νῷ ἡγεμόνι τὰ ῥήματα προάγειν ηὐτρεπισμένος ἀκούοις ἂν ἤδη.
114r *Πέτρος σοι, βέλτιστε, τῶν τοῦ Χριστοῦ | ἀποστόλων ὁ πρόκριτος καὶ τῆς κατὰ Χριστὸν πίστεως ὁ θεμέλιος,* 10
τὴν τῶν μεταθέσεων ἐμπεδοῖ ἀταξίαν, ἐξ Ἀντιοχείας δῆθεν τῆς Συρίας εἰς τὴν Καππάδοσσαν Καισάρειαν μεταβαίνων κἀντεῦθεν εἰς τὴν ἐπὶ Θύμβριδι Ῥώμην; ἀλλ' ὦ περιττὲ τὴν πολυπλανεστάτην σοφίαν, εἰ πρὸς τὰ

2–3 Mel. chor. adesp. frg. 12 Diehl (Athen. 5, 217C) || **5–6** Plat. Reip. I 329e 6–7 || **7** Plat. Leg. I 631d 5 || **9** Mt. 16, 18 || **11–14** Euseb. Hist. eccl. 3, 36, 2; 2, 14

41 Compernass[5] 92–94 || **1** *ἔλθῃ* Cs: *ἤδη* M || **8** *ηὐτρεπισμένος*] *ηὐ-* aut *εὐ-* M || **12** *καππάδοσαν* M

ἀρχαΐζοντα τῆς ἡμῶν πίστεως ἀναλάμενος καὶ τὰς οἱονεὶ κρηπῖδας τῆς μετὰ ταῦτα ἀσφαλεστέρας ἐποικοδομῆς κατολιγωρεῖς. αὐτὸς γοῦν ἐγὼ ἐκ πολλῶν ἐλάχιστα τούτων παραθεὶς ἐπιστήσω, ὡς εἴ γε κατ' ἴχνος τουτωνὶ ἐλοιο
5 *βαίνειν, οὐδὲ τῷ τοῦ σοφοῦ Παύλου προσανέχων λογίῳ, ὃς τῶν ἑαυτοῦ που ἐνθέων φησὶν ἐπιστολῶν τοῖς πρὸς οὓς γράφει 'ὡς νηπίους ἐν Χριστῷ γάλα ὑμᾶς ἐπότισα καὶ οὐ βρῶμα' ὡς μηδὲ πέττειν τέως αὐτοὺς οἵους τε τὸ τοιοῦτο, λάθοις ἂν ἀπὸ μὲν Πέτρου τῷ ὑποδείγματι Χριστὸν μὲν*
10 *ἀρνησάμενος ἧπερ ἐκεῖνος (ἀλλ' ἵλεως οὗτος ἡμῖν, οὕτω συμφέρεσθαί σοι ἠναγκασμένοις) ἀνεγκλήτως ἱερᾶσθαι, καὶ δὴ καὶ φόνον πεποιηκώς, ὅτι κἀκεῖνος τὸν ἄθεον ἀπεκτονὼς Σίμωνα, καὶ σάββατον τιμᾶν καὶ περιτομὴν τῷ τοῦ Χριστοῦ ποιμνίῳ περιποιεῖν· ταῦτα γὰρ ἐκεῖνος τοὺς*
15 *ἐξ ἐθνῶν κατηνάγκαζεν, εἴ γε ἱκανὸς ὁ μέγας καὶ ἔνθεος Παῦλος τὸν λόγον πιστώσασθαι, οὕτως αὐτῷ Πέτρῳ κατ' Ἀντιόχειαν πρὸς κατάγνωσιν ἐγκαλῶν· ἀλλά γε καὶ τῇ ἱερᾷ ὡς οὗτος χρήσασθαι μυσταγωγίᾳ καὶ χειροτονιῶν ἐπιρρήσεις ὡσαύτως προάγειν καὶ βαπτίζειν οὐχὶ τὸν νῦν*
20 *τρόπον ἀλλ' ἐπὶ μόνῳ ψιλῷ ὕδατι, ὅτι καὶ Φίλιππος τὸν Αἰθίοπα Κανδάκην· καὶ γυναιξὶ δὲ τοῦτο μεθεῖσθαι ἐνεργεῖν, ὅτι καὶ Θέκλα ἡ Παύλου μαθήτρια οὐχ ἑαυτὴν μόνον ἐβάπτισεν, ἀλλά γε δὴ καὶ ἄλλους. καὶ τί ἂν εἰ λέγοιμι τὰ τούτων ἔτι καταγνωστότερα καὶ ὧν ἡ μετὰ*
25 *ταῦτα θεοῦ ἀκριβάσασα ἐκκλησία τὰ μὲν κατ' ἀρχὰς ἅτε ἀρχαῖα καὶ νηπιώδη ἀπεσκυβάλισεν, τὸν δὲ κατὰ Χριστὸν ἄνδρα, τὸ τῆς ἐκκλησίας Χριστοῦ φημὶ σῶμα, ἀνδρωδέστερον κατεκόσμησεν; καὶ τί πρὸς τούτοις διεξιέναι τὰς ἐκκλησιαστικὰς χήρας, ἃς Παῦλος μὲν ἑξηκοντούτεις*
30 *ἐνέταξε τῷ τούτων συστήματι, ἡ δὲ τῶν πατέρων*

6–8 1 Cor. 3, 1–2 || **12–13** cf. Martyr. Petri 2–3 || **13–17** Gal. 2, 11–14 || **19–21** Act. 8, 27–39 || **21** cf. Greg. Naz. Or. 40, 26, PG 36, 396 A 10; Greg. Nyss. Vit. Moys., PG 44, 385 C 7 || **21–23** Acta Pauli et Theclae 34 || **26–27** cf. Eph. 4, 13 || **28** – p. 300, **2** cf. can. Trull. 40 (Lauchert 119, 10–16) || **29–30** 1 Tim. 5, 9

1 *ἀναλάμενος* i. q. *ἀναδραμών*? an leg. *ἀναψάμενος*? || **10** *ἧπερ* Cs: *ἥπερ* **M**

ὁμήγυρις εἰς τεσσαρακοστὸν αὐταῖς τῆς ἡλικίας τὸν τοῦ τετάχθαι χρόνον συνέστειλεν; τί δὲ καὶ τὸ μετὰ τὴν χειροτονίαν τινὰς γεγαμηκέναι, ὥσπερ Εὐψύχιος ὁ τοῦ Χριστοῦ μάρτυς πρεσβύτερος ἐπὶ νεογάμῳ τῷ κατα-στήματι τὸν μαρτυρικὸν ἀναδησάμενος στέφανον; 5

Ἔχων καὶ ἄλλα πλεῖστα παραθεῖναι τῶν διὰ παλαιότητα ἐξιτήλων, ἀρκεσθήσομαι τοῖς παροῦσιν, ὅτι μηδὲ βαρυη-κόῳ, εἰ καὶ ὑψιβόᾳ, ταῦτα προσανατίθημι μηδὲ συνετῷ ἐν ἑαυτῷ καὶ ἐνώπιον ἑαυτοῦ ἐπιστήμονι· καὶ τὸ ἐπὶ τούτοις ἆθλον σιγῶ, αἰδοῖ τῆς βλασφημίας. κἂν μὲν αὐθαίρετον 10 *γνώμην οὗτος δαμάσας τὸ ἠρεμαῖον ἀσπάσηται, χάρις θεῷ· εἰ δὲ τὴν Καμαρίναν κινήσας τὴν μείονα μείζονα θείη, οὐδὲν πρᾶγμα μετὰ τοῦ Κουδρούβης Ὁσίου ὥσπερ ἐχθὲς παρ᾽ ὑμῶν ἠτιμῶσθαι καὶ τούτῳ ἐμφαντικωτέραν τὴν ἑαυτῶν ἐμπληξίαν τοῖς ἀγνοοῦσι καὶ σώφροσιν* 15 114v *ἀποφῆναι, ὡς μηδὲ τῶν | κατὰ νόμον τις ὢν θυσίμων καὶ πρὸς βρῶσιν χρηματιζόντων ἐπιτηδείων, τῷ τῆς ἐδωδῆς φημὶ μηρυκισμῷ τὸ καθαρὸν παριστάς, ἀλλὰ τῷ ἀμηρυ-κίστῳ τῶν προσαρμάτων τῶν ἀκαθάρτων τε καὶ ἀθύτων καὶ ἀβρώτων καὶ τῆς ἐθνικῆς ἑαυτὸν ἀπελέγχων μερίδος.* 20

Ὅτι οὐκ ἀπὸ καρδίας τὰ τῶν μεταθέσεων, ἀλλ᾽ ἐκ θείων πατέρων καὶ ἀποστόλων θεοῦ δοκιμασίας, τὰ προκείμενα τὸν ἔλεγχον παράσχοι.

Κανὼν τῶν ἁγίων ἀποστόλων. Ἐπίσκοπον μὴ ἐξεῖναι καταλείψαντα τὴν ἑαυτοῦ παροικίαν ἑτέρᾳ ἐπιπηδᾶν, κἂν 25 *ὑπὸ πλειόνων ἀναγκάζηται, εἰ μή τις εὔλογος αἰτία εἴη ἡ τοῦτο βιαζομένη αὐτὸν ποιεῖν, ὡς πλέον τι κέρδος*

10 mg. ad *ἆθλον*] *τὸ οὐαὶ ἴσ(ως). Μάξ(ιμ)ος.*

1–2 Can. Chalced. 15 (Lauchert 93, 5–6) || **7** Hebr. 13, 5 || **8** cf. Hom. Batrach. 202 || **8–10** Is. 5, 21 || **12–13** CPG I 123; II 123; Anthol. Pal. 9, 685 || **13–14** Can. Sard. 1–2 (Lauchert 51, 8–52, 24); Socr. Hist. eccl. 2, 31; cf. supra p. 250, 2–18 || **16–20** Lev. 11, 3; Deut. 14, 6 || **21** Ier. 23, 16 || **24** – p. 301, **3** Can. apost. 14 (Lauchert 2, 20–25)

12 *μείονα μείζονα* ex *μείζονα μείονα* **M** || **13** *θείη* Cs: *θείην* **M** || **14** *ὑμῶν* Wk: *ἡμῶν* **M** || **15** *ἑαυτῶν*] leg. *-οῦ*? || **26–27** *εἴη ἡ* **M**: *ᾗ* txt. ed. can.

δυναμένου αὐτοῦ τοῖς ἐκεῖσε λόγῳ εὐλαβείας συμβαλέσθαι· καὶ τοῦτο δὲ οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν ἐπισκόπων καὶ παρακλήσει μεγίστῃ.

Κανὼν τῶν ἐν Νικαίᾳ τιη̅ ἁγίων πατέρων. Διὰ τὸν
5 *πολὺν τάραχον καὶ τὰς στάσεις τὰς γινομένας ἔδοξε παντάπασι περιαιρεθῆναι τὴν συνήθειαν τὴν παρὰ τὸν κανόνα εὑρεθεῖσαν ἔν τισι μέρεσιν, ὥστε ἀπὸ πόλεως εἰς πόλιν μεταβαίνειν μήτε ἐπίσκοπον μήτε πρεσβύτερον μήτε διάκονον. εἰ δέ τις μετὰ τὸν τῆς ἁγίας καὶ μεγάλης συνόδου*
10 *ὅρον τοιούτῳ τινὶ ἐπιχειρήσειεν ἢ ἐπιδοίη ἑαυτὸν πράγματι τοιούτῳ, ἀκυρωθήσεται ἐξ ἅπαντος τὸ κατασκεύασμα καὶ ἀποκατασταθήσεται τῇ ἐκκλησίᾳ ἐν ᾗ ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἐχειροτονήθη.*

Κανὼν τῆς ἐν Ἀντιοχείᾳ. Ἐπίσκοπον ἀπὸ παροικίας
15 *ἑτέρας εἰς ἑτέραν μὴ μεθίστασθαι μήτε αὐθαιρέτως ἐπιρρίπτοντα ἑαυτὸν μήτε ὑπὸ λαῶν ἐκβιαζόμενον μήτε ὑπὸ ἐπισκόπων ἀναγκαζόμενον, μένειν δὲ εἰς ἣν ἐκληρώθη ὑπὸ τοῦ θεοῦ ἐξ ἀρχῆς ἐκκλησίαν καὶ μὴ μεθίστασθαι αὐτῆς κατὰ τὸν ἤδη πρότερον περὶ τούτου ἐξενεχθέντα*
20 *ὅρον.*

Τὰ αὐτὰ καὶ κανὼν τῶν ἐν Σαρδικῇ καὶ τῶν ἐν Χαλκηδόνι.

4–13 Can. Nic. 15 (Lauchert 41, 10–18) || **14–20** Can. Antioch. 21 (Lauchert 48, 31–49, 3) || **21** Can. Sard. 1–2 (Lauchert 51, 8–52, 24) | Can. Chalced. 5 (Lauchert 90, 23–25)

1 *συμβαλέσθαι* **M**: *συμβάλλεσθαι* can. || **8** *μεταβαίνειν* **M**: *μὴ μ-* can. || **12** *ἐν* **M**: om. can. | *ἐπίσκοπος* **M**: *ὁ ἐπ-* can. | *πρεσβύτερος* **M**: *ὁ πρ-* can. || **13** *ἢ διάκονος* **M**: om. can. || **19** *περὶ τούτου* **M**: om. can.

42

Πέτρῳ Σάρδεων μητροπολίτῃ βλασφήμως πρὸς ἡμᾶς διατεθέντι

„Socrates a comicis irrisus et ipse ridebat; ego, si vera sunt quae dicis, gratiam habebo, sin falsa, magistri dicto audiens amabo te." de Petro Sardium episcopo cf. vit. Euthym. 18.

Καὶ Σωκράτης ὁ Σωφρονίσκου κωμῳδούμενος ἐγέλα καὶ μέρος ἑαυτὸν τοῦ θεάτρου καθίστη, ἐμφαντικώτερον ἑαυτὸν τοῖς ὑποκριταῖς πρὸς μίμησιν παρεχόμενος. εὖ 5 *μάλα γὰρ ᾔδει ὡς οὐκ ἐκείνῳ, τοῖς δὲ μωκωμένοις τὰ σκώμματα σκώμματα, ἄνδρα σοφὸν καὶ πρὸς ἑαυτὸν ἐπανάγοντα τοὺς ἀνθρώπους διασύρειν ἐπειγομένοις, ἄλλον τρόπον ὃν καὶ νοσῶν τὸν περιπαθῶς θεραπεύειν προσκείμενον. κἀκεῖνος μὲν ἐγέλα ἴσως, ἐπεὶ μηδὲ τῶν* 10 *καθ' ἡμᾶς ἥπτετο φιλοσοφημάτων, ὅτι μηδέπω παρεδείκνυτο ταῦτα, δικαίῳ γέλωτι τὸν διασυρμὸν ἀμυνόμενος. ἡμῖν δὲ τίς ἡ πρὸς τοὺς διαβάλλοντας ἄμυνα; εἰ μὲν ἐνδίκως, τὸ χάριν εἰδέναι γνωρίζουσιν ὅπῃ χείρους ἐσμὲν ἐπανορθοῦσθαι· εἰ δὲ μὴ τοῦτο, φιλία, καὶ φιλία οὐχ ἣν* 15 *ὕπουλον ἦθος ἱλαρότητι προσώπου καὶ μειδιάματι διαγράψειε χειλέων, ἀλλ' ἣν ἀληθὴς ἀποτέκοι καρδία καὶ θεῷ τὸ οἰκεῖον περιτεμομένη προκάλυμμα. τοιοῦτον ἴσθι* 115ʳ *με σοὶ καὶ τὸ ἐν|τεῦθεν ἤδη διατεθέντα καὶ διατεθησόμενον, εἴ γε μαθητὴς ἐκείνου εὔχομαι εἶναι ὃς ἀγαπᾶν* 20 *τοὺς ἐχθροὺς καὶ ὑπὲρ τῶν ἐπηρεαζόντων προσεύχεσθαι καὶ καλῶς ποιεῖν τοὺς μισοῦντας ἐξουσίᾳ θεότητος ἀπο-*

3–4 Aelian. Var. hist. 2, 13; 5, 8 || **17–18** Rom. 2, 29 || **20–22** Mt. 5, 44; Luc. 6, 27–28

θεσπίζει. τὰ θεῖα δὲ ταῦτα τοῦ μακαρίου θεοῦ παρορῶντα
ἀντὶ πέρκης σκορπίον φασὶν ὑπαλλάττειν, μᾶλλον δέ, ἵν'
ἀπὸ τῶν ἐκείνου ἐρῶ, ἀντὶ ἰχθύος ὄφιν ἐπιδιδόναι, ὅσων
οὗτος Ταρτάρων, ὅσων πυρὸς ἄξιος ποταμῶν, οὐκ ἂν
5 οἶμαι ὁ τῇ σφραγῖδι τῆς πίστεως ἐνσημανθεὶς καὶ τῷ
ἀρραβῶνι τοῦ πνεύματος νυμφευθεὶς ἀγνοήσῃ· πλὴν εἰ
μή που παρέργως τῶν θείων ἐπηκροάσατο λόγων καὶ
κατὰ πεδίον ἀνέμου, τὸ παροιμιῶδες, τὰς τῆς καρδίας
αὔλακας ἀνετμήθη, ἄθλιος καὶ τῆς εἰς βίον προόδου, πολὺ
10 δὲ πλέον τῆς εἰς οὐδὲν δέον καλλιεργίας καὶ ἐκπονήσεως.

2 CPG I 29; II 7 || 3 Mt. 7, 10 || 4–6 2 Cor. 1, 22 || 8 CPG I 194; II 8

43

Λέοντι βασιλεῖ

Peregrinans munera mittit Leoni imperatori; in quo itinere et Patras viserat, fortasse cum a Leone in Graeciam missus mores ecclesiarum emendabat (a. 903/906, cf. Op. 72).

Τὰ βυβλία τῆς πατρίδος, τὰ μῆλα ἀφ' ἧς ἔπηλύς εἰμι, ἡ ὕαλος τῆς Αἰγυπτίας ἐπώνυμος βασιλίδος, κάλλιστα δόξαντα ταῦτα καὶ τῆς τοῦ λαμβάνοντος ὅσα τῶν χαμόθεν εὐπόρηταί μοι ἐπάξια δεσποτείας τετόλμηται. πάντως δὲ 5 *συγγνώμη, εἰ μὴ τὸ μέτρον ζυγοστατεῖ τοῦ πρὸς ὃν ἡ δωροφορία τὸ δῶρον· ἀλλ' ἀκριβὲς τοῦ προσάγοντος φίλτρον καὶ διακαὲς τὸ κρεῖττον ὑποληφθὲν εὐλαβῶς μὲν ἄγαν πλὴν προσάγει τῷ κρείττονι καὶ περιδεῶς.*

43 Kougeas 118

44

Δημητρίῳ μητροπολίτῃ Ἡρακλείας

Marci imperatoris librum cum e vetere exemplari nondum tamen inutili descripsisset, veterem illum librum Demetrio metropolitae Heracleensi mittit, ipse etiamtum diaconus.

Μάρκου τοῦ αὐτοκράτορος τὸ μεγαλωφελέστατον βιβλίον παλαιὸν μὲν καὶ πρὸ τοῦ ἔχων, οὐ μὴν ὅτι καὶ παντάπασι διερρυηκὸς καὶ τοῦ χρησίμου ἑαυτοῦ τοῖς βουλομένοις 5 βασκήναντος, ὅμως ἐπεὶ νῦν ἐξεγένετό μοι ἐκεῖθεν ἀντιγράψαι καὶ νεαρὸν αὖθις τοῖς μεθ' ἡμᾶς παραπέμψαι, διττὸν δὲ τοῦτο κεκτῆσθαι ἑτέρου μηδὲ καθ' ἓν ἔχοντος χρῆσθαι, φθονερᾶς ἔργον καλῶς ὑπολαμβάνων ψυχῆς καὶ πονηροῦ ἤθους ἐν τούτοις ἐπιδείκνυσθαι τὸ γλίσχρον 10 οὐδ' ἥντινα σκαιότητος καταλείποντος ὑπερβολήν, ὧν κοινὴν ἅπασι προὔθηκε τὴν ἀπόλαυσιν αὐτή τε πρῶτον ἡ πρώτη τῶν ἀγαθῶν αἰτία θεὸς καὶ ὅσοι μετ' ἐκείνην τὸ παρ' ἐκείνης τοῖς ἄλλοις ἐκλάμποντες φῶς· ἢ τί ποτ' ἔδει καὶ γράφειν καὶ βίβλοις ἐναποτιθέναι τὸν θησαυρόν; — 15 τοῦτο μὲν οὖν τοιοῦτον ὑπολαμβάνων τῆς προτέρας ἐμοὶ κτήσεως κληρονόμον δίκαιον ᾠήθην τὴν πανίερον ὑμῶν καταστῆσαι ἁγιωσύνην, ὡς ἂν ᾖ σοι τοῦτο καὶ φιλίας καὶ τρόπου καὶ τοῦ αὐτεπαγγέλτου μνημόσυνον τοῦ ἡμετέρου, προσθείην δ' ὅτι καὶ ζῆλος, εἴπερ ἄρα καὶ τοῖς μεγίστοις 20 ἀπὸ τῶν φαυλοτάτων περιγίνεται κέρδος.

1 mg. *ἐγράφη πρὸ τοῦ εἰς ἐπισκοπὴν προελθεῖν.*

44 Sonny 182; Schenkl XXXIX (IX)

45

Νικήτᾳ σχολαστικῷ

Ad Nicetam Paphlagonem Arethae discipulum et socium in impugnanda tetragamia datae sunt haec epistula et proxima; ex iis quae de iniquitate temporum dicuntur conicias scriptas esse vergente a. 906, cum iam Arethas accusatus esset vel etiam relegatus. contenderat Pharsalorum episcopus Pauli locum 1 Cor. 7, 1–2 id designare matrimonii finem voluptatem esse. de hac re per mutuas epistulas egerant Arethas et Nicetas (quarum unam vide in appendice vol. II); sed cum breviter adversario oblocutus etiam Nicetae rationes vituperasset Arethas, responderat Nicetas Aretham ipsum, sive otio sive argumentis egentem, neglegenter rem tractasse. cui haec rescribit Arethas:

„Occupare me volens, ne tibi iterum eadem exprobrarem, id obiecisti; audi tamen haec. dixerat episcopus Pharsalius ad voluptatem sexum femineum creatum esse, quod nos refutaveramus ad bruta animalia revocantes. id enim sine dubio est quod dicere voluit episcopus; de meo addam in eundem sensum 1 Cor. 7, 9 et 10. ego contra demonstrare studui ad propagandum genus humanum matrimonium institutum esse. multa alia leguntur apud Paulum quibus apparet eum matrimonia cohibere voluisse, non suadere. eodem modo in vetere testamento Deus non id voluit, animalia sibi sacrificari, sed uni sibi sacrificari iubendo paulatim abolevit; eodem modo Paulus Timotheum circumcidit. huc tendebant omnes ratiocinationes meae, ut quartum matrimonium a Pauli proposito alienum ostenderem; si quis argumentis pragmaticis eas refellere conatur, cavillationum Iuliani Apostatae aemulator est. hoc apparebit cum annuente Deo de singulis disputabimus, quod per litteras facere longum est. cur autem ultimum argumentum speciosum, non verum dixeris, fugit me causa; nam contra incontinentiam dictum est. quod porro dixi de virginibus lapsis et, ut tu putasti, de viduis denuo nubere permissis, miror te id non intellexisse, cum expressis verbis cavere te iussissem, ne illud 'dum in Domino' male interpretareris. idem valet de virginibus, quae nulla poena dignae essent, si matrimonium omnibus praeferendum esset. plura addere prohibeor, tu cetera supplebis."

Ἡ ἐπιστολὴ αὕτη πρὸς τὰς ἀπὸ τοῦ Φαρσάλων ἐγράφη πλημμελεῖς λογομαχίας, ὃς κατεφλυάρει τὸν ἀπόστολον Παῦλον διὰ τοῦ γράφειν ʽκαλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι, διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω καὶ ἑκάστη γυνὴ τὸν ἴδιον 5 ἄνδρα', δῆλον εἶναι τῆς ἡδονῆς τῆς κατὰ συνουσίαν ἀντεχόμενον ἐπὶ πολυγαμίαν τοὺς ἀνθρώπους προτρέπειν.

Ἔοικάς μοι (καλὸν γὰρ μὴ πάντη ταῖς ὑμετέραις σεσιγηκότα αἰτίαις τὸ πρὸς | ἀντιλογίαν ἀμήχανον περιποιεῖν 115v *ἑαυτῷ εἰς τὴν τοῦ καιροῦ καταφεύγοντα ἀπορίαν) εἰ καὶ 10 μὴ κατὰ πάρεργον τοῖς ἐκπεμφθεῖσιν ἐντυχεῖν πόνοις, ἀλλ' οὖν τῷ προσκοπῆς παρ' ἡμῶν ἀξιωθῆναι ὡς οὐ δεόντως πρώην ἐπιβαλόντα, ἵνα δὴ τοῦτο μὴ πάλιν ἐγκαλοῖο, ἤδη κατασπεῦσαι ἐκθύμως τάχα κεν καὶ ἀναίτιον αἰτιᾶσθαι. τὸ δέ ἐστιν οὐδαμῶς ἐπιτευκτικόν, 15 ἀλλ' οἷόν τι πάσχουσιν οἱ πρὸς σκοπὸν ἀφιέντες καὶ ταῖς ὑπερβολαῖς τοῦ σκοποῦ ἁμαρτάνοντες.*

Πλὴν ἵνα σοι βραχεῖ λόγῳ πρὸς τὰ κατεπείγοντα τῶν αἰτιαμάτων τὸ ἱκανόν, ὡς γοῦν ἔνι, παρέχωμεν, ὑπέχοις τούτοις τὴν ἀκοήν. τοῦ ληρολέσχου τῇ καταγχούσῃ 20 χαρίζεσθαι ἡδονῇ πᾶσαν τιθεμένου σπουδὴν καὶ τοῦτο διατεινομένου τὸ θῆλυ παρῆχθαι (ὃ μὴ οὕτως ἔχειν ἀποχρώντως ἡμεῖς διὰ τῆς ἀλόγου παρεστήσαμεν φύσεως)· ἢ πρὸς τί γὰρ αὐτῷ ἀποβλέπει τὸ ʽδιὰ δὲ τὰς πορνείας ἕκαστον καὶ ἑκάστην'; προσθείην δ' ἂν κἀγὼ νῦν καὶ 25 τὸ ʽεἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν'; ἢ πάντως ἐκεῖνο ὡς κρεῖττον ἀποφαίνειν τὸ ἐκ τοῦ γάμου δῆθεν

1 mg. ταῦτα πρὸς Νικήτ(αν) αἰτιασάμενον ὡς ⟨οὐ⟩ δεόντως διαγενόμενόν με πρὸς τὰς τοῦ Φαρσάλ(ων) πλημμελολογίας, τῷ δὲ συνέχοντι τῆς περιστάσεως ἀπολύσασθαι τὰ ἐγκαλούμενα ἅτε κατὰ 30 πάρεργον αὐτοῖς ἐπιβαλόντα· ἢ καὶ διὰ τὸ ἀσθενῶς πρὸς ἀντιλογίαν τούτων ἔχειν ἡμᾶς προσκοπῇ ὑποβληθῆναι δῆθεν ταύτας παρ' ἡμῶν, τὸ γὰρ ἀναντίρρητον αὐταῖς πρὸς τοῦ Φαρσαλίτου προσεῖναι μεγαληγορεῖσθαι. || **13 mg. ad** κατασπεῦσαι] τοῦ αὐτοῦ Νικήτ(α) ἐπὶ τοῦτο παρορμῶντος. || **14 mg. ad** τὸ δὲ] τὸ ὑπερβαλλούσῃ τῇ 35 προθυμίᾳ ἐγχειρεῖν.

2–5 1 Cor. 7, 1–2 || **13–14** Hom. Λ 654 || **25** 1 Cor. 7, 9

45 Karlin-Hayter[1] 372–378 || **27 mg.** *οὐ* add. Wk (cf. l. 11)

ἡδὺ τοῦ πυροῦσθαι· καλὸν γὰρ πάντα συνηθροικότα τὰ πρόφασιν αὐτῷ χορηγήσοντα ἐμπλήκτως λυσσώδους ἀκολασίας ἑνί τε καὶ τῷ αὐτῷ ἐκτεμόντας τῆς ἀληθείας πελέκει πραγμάτων ἀπηλλάχθαι· – διὸ δὴ συντείνας ἑαυτὸν ὁ ἡμέτερος τῇ ἀληθείᾳ συνηγορούμενος λόγος 5 ἀπ' ἐναντίας τούτῳ χωρῶν πολύς ἐστι δεικνύναι ὡς οὐχ ἡδονῆς χάριν γυνή, παιδοποιΐας δέ, εἰ καὶ τῷ μὴ πᾶσαν ἐπιτηδείως ἔχειν πρὸς τοῦτο εἰκαῖον καὶ ὑμῖν ἐδόκει τὸ προσφερόμενον, ὥσπερ ἂν εἴ τις καὶ γῇ σπέρμασι καὶ ἀρότρῳ κακῶς πρὸς τὴν τοῦ ληΐου βλάστην καὶ τὴν 10 συγκομιδὴν τῶν καρπῶν διὰ δυσκρασίαν τοῦ περιέχοντος ἀποχρησαμένοις βιάζοιτο τὸν τῆς γηπονίας σκοπὸν παρακρούεσθαι.

Ἀλλὰ τῷ μὲν ἄχρις ἀκοῆς τὴν Παύλου περιϊστῶντι διδασκαλίαν καὶ τοῦτο καὶ ἄλλα πολλὰ τοιαῦτα προσ- 15 πορισθείη, τὸ μαχόμενον ἑαυτῷ Παῦλον ἀποδεικνύντα, καὶ οὐ Παῦλον μόνον, ἀλλὰ καὶ θεὸν αὐτόν· δόξει γὰρ ὁ τὴν τοῦ βίου ἀποσκορακίζων εὐπάθειαν τῷ εὐδοκεῖν ἐν ταῖς θλίψεσι καὶ τοῦτο χαρακτῆρα τῶν κατὰ Χριστὸν ζώντων ἀποφαινόμενος τὴν ἐναντίαν φέρεσθαι τοῖς προκειμένοις 20 καὶ μηδὲν ἄλλο ἢ τὴν ἀκρασίαν θεραπεύοντα τῷ γάμῳ παραχωρεῖν· ἀλλ' οὐκ ἐκεῖνος οἶμαι ὃς τὸν καιρὸν αὐτοῦ ἐπακούοι συνεστάλθαι, ὡς καὶ τοὺς ἔχοντας γυναῖκας ὡς μὴ ἔχοντας διακεῖσθαι, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθαι εἰς ἐπιθυμίαν τὸν διὰ τοῦ ἁγίου βαπτίσματος 25 Χριστὸν ἔνδυμα τὸν κύριον Ἰησοῦν ποιησάμενον, συνθήσεται. εἰ γάρ τι παρὰ τοῦτο, ἐπιθυμίας φημί, ἡδονή, πλὴν ὅσον ἀρχὴ καὶ τέλος, ἄλλων, οὐκ ἐμοῦ λέγειν. εἰ γὰρ οἷς ἤδη συμβέβηκε γαμεῖν παρορᾶσθαι γάμος εἰσηγεῖται καὶ ὑποστέλλεται, σχολῇ γ' ἂν ἑτέροις δι' 30 ἡδονὴν ἐπιτρέποιτο γάμος.

17–20 2 Cor. 12, 10 || **22–24** 1 Cor. 7, 29 || **24–26** Rom. 13, 14

7 πᾶσαν Wk: πᾶσιν **M** || **9–12** γῇ ... ἀποχρησαμένοις] expectes γῆς ... ἀποχρησαμένης

Καὶ τῷ μὲν προχείρῳ τοῦ λόγου ὅπερ ἄνω δοκεῖ, τοῦτο σκοπός· ἐπεὶ καὶ τὸ τὰς θυσίας δέχεσθαι τέως | θεὸν 116r νομίσαι τις ζῳοθυσίας τὸ κρεῖττον ἀντέχεσθαι, ἀλλ' οὐ τῇ κατὰ τὸ παρὸν τούτων προσχρήσει ἀναιροῦντα καθάπαξ 5 θυσίας συναίσθοιτο. τὸ γὰρ ἀπὸ τῶν ἄλλων ἀπάγειν, ἑαυτῷ δὲ μόνῳ κελεύειν προσάγειν τὴν παντελῆ μεριμνῶντος τῶν θυσιῶν ἀνάπαυσιν· τοῦτο γὰρ ὑπισχνεῖται ἡ ἀπὸ τῶν πολλῶν ἐπὶ τὸ ἓν συναγωγή τε καὶ πρόοδος. κατὰ ταὐτό γε δὴ τοῦτο καὶ ὁ τὸ βάθος τῆς Παύλου συνέσεως 10 διερευνᾶσθαι εἰδὼς οὐ μέχρι ψιλοῦ στήσεται τοῦ λόγου, ἀλλ' ἐμβαθύνων ἐπιστήσεται τούτοις, ὡς ἐπείπερ ἑώρα ἀνθρώπους ἔτι τοῦ ἡδέος περιεχομένους, καθάπερ καὶ Ἰουδαίους περιτομῆς τε καὶ ἁγνισμοῦ, παραχωρεῖν ἔγνωκεν ἐν τοσούτῳ τῷ παρυφισταμένῳ τῷ γάμῳ ἡδεῖ 15 τὸν ἀκρατέστερον δελεάζεσθαι, ἵν' εἴ πως τῶν ἡδονὴν μόνην τὸ τέλος ἐχόντων ἀπαλλάξοι κακῶν, εἶθ', ὅτε πρὸς μόνον ἓν περικλείσοι, ἢ καὶ πάντῃ τὸ τῆς ἀγαμίας ἐκλέξασθαι παιδεύσει καλόν, ἤ, εἰ μὴ τοῦτο, τῷ γοῦν σκοπῷ προσανέχειν τοῦ γάμου, οὐχ ὅσον ὀλίγον εἰ μὴ καὶ μέγα 20 τοῦ ἡδέος καταχρεμψάμενον. ὁρᾷς ὡς ἀναιροῦντος ἡδονὴν ἀλλ' οὐκ εἰσάγοντος τὸ πρόσταγμα γάμον; οὔκουν οὐδὲ ἐγὼ τοῖς ἐμαυτοῦ περιπέπτωκα λόγοις, οὐ Παῦλος, πῇ μὲν Τιμόθεον ἁγνίζόμενος καὶ περιτέμνων, πῇ δὲ περιτομὴν ἀθετῶν καὶ τῆς Χριστοῦ μερίδος ἐκβάλλων τὸν 25 μετὰ τὸ βάπτισμα ἔτι προσχρώμενον· ἀλλ' ὥσπερ ἐνταῦθα περιτομῇ περιτομήν ἐστιν ἰδεῖν αὐτὸν καταργοῦντα, οὕτω καὶ τῷ ἐπιπολάζοντι τούτῳ τοῦ γάμου θεσπίσματι, πάλιν γὰρ ἐρῶ τὰ αὐτά, τὴν ἡδονὴν αὐτόν ἐστιν ἀθετοῦντα κατανοεῖν. ὁ γάρ τοι τῆς πορνείας 30 ἀπάγων, ἧς ἡδονὴ ἀναμφιλέκτως, οὐκ ἄλλος σκοπός, πρὸς δὲ τὸ ἓν ἄγχων καὶ οὗ παιδοποιΐα προηγουμένως τὸ τέλος, ἵν' ᾖ Χριστιανοῖς ἐγκατάλειμμα, πῶς οὐ καταργοῦντος τὴν ἡδονήν; πρὸς τοῦτο καὶ πᾶσαι φερόμεναι αἱ

1–7 cf. Greg. Naz. Or. 45, 12 ‖ **22–23** Act. 16, 3 ‖ **23–25** Gal. 5, 2

2 τὸ] τῷ Kh ‖ **18** καλόν, -κ- ind., M

ἀνθυποφοραί τε καὶ λύσεις, ἐπὶ τὸ ἄτοπον συνελαύνουσαι,
ὡς ἂν καὶ τὸ τοῦ τετάρτου διὰ φιληδονίαν ὡς πόρρω που
τῆς ἀποστολικῆς ἀπελέγχοιτο γνώμης, εἰ καὶ νῦν μὴ
δοκοῖεν τὸ εὔλογον ἔχειν τῷ ἀνεπιστάτως καὶ τοῖς
παρεμβαλλομένοις πραγματικοῖς ἐνθυμήμασι τὰ ὑπο- 5
κείμενα προσάπτειν ἐπιχειροῦντι, ὃς ταὐτόν τι τῷ
καταράτῳ τοῦ εὐθέος παρενεχθέντι Ἰουλιανῷ πέπονθεν.
δόξειε γοῦν, ἐπειδὰν (θεοῦ δὲ τοῦτο ῥοπῇ) πρὸς ἕκαστον
τούτων ἀπαντησόμεθα· τὸ γάρ τοι διὰ γραφῆς ἔργον οὐ τὸ
τυχόν. 10

Ἀλλὰ κἀκεῖνο τεθαύμακα τῆς ὑμετέρας συνέσεως, ὅπως
τὸ τελευταῖον πιθανὸν μόνον, οὐκ ἀληθὲς ὑπέμεινας
ἀποφῆναι. τί γὰρ οὐκ ἔδει συνεῖναι ὡς τὸ ἀκόλαστον
ἐπέχον καὶ διαπαῖζον τὴν ὅτε δὴ καὶ ἐνοχλοίη τὸ πάθος
παρείληπται μετοχὴν καὶ ἀκρασίαν, αἷς οὐχὶ μέτρῳ καὶ 15
ποιότητι ἀντιποιεῖσθαι σκοπὸς τοῦ συντηροῦντος καὶ πρὸς
116ᵛ τὸ εἶναι | προάγοντος, πρὸς δὲ τὸ τῆς ἀρετῆς ἀκατάσχετον
τὸ λυσιτελοῦν ἀτιμάζειν καὶ ὑποτίθεσθαι;

Τὸ δὲ τῶν ἐκπιπτουσῶν παρθένων καὶ ὅ σοι δοκεῖ περὶ
τῶν ἐλευθερουμένων χηρῶν μετὰ θάνατον τοῦ ἀνδρὸς ᾧ 20
θέλοιεν γαμηθῆναι τῷ ʻἐν κυρίῳʼ κατησφαλίσθαι, οὐδὲ
ἡμῖν σεσιωπημένῳ, τὴν νῦν διασῦρον πάντως μελαγχολίαν,
ἐπεὶ καὶ νῦν ἀξιοῦσι τῷ τοῦ γάμου ὀνόματι πορνείαν
σεμνοποιεῖν, θαυμάζω πῶς τῶν φρενῶν διερρύη, καὶ ταῦτα
προσὸν ἐκεῖ τῷ λόγῳ, ὅτι ἴσως τῷ γάμον ὠνομάσθαι τὸ 25
ʻἐν κυρίῳʼ παρεξηγήσῃ. τῆς αὐτῆς ἐννοίας καὶ τὸ τῆς
ἐκπτώσεως τῶν παρθένων· γάμον γὰρ κἀκεῖναι τοῦ τῆς
παρθενίας ἐπαγγέλματος ἀλλαξάμεναι οὐδ᾽ ἥντινα ἀνάξιαι
ἱερὰν ὑποστῆναι ζημίαν, ὡς οὐδ᾽ οἱ ἐκ πορνείας τὸν
σώφρονα γάμον ἀσπαζόμενοι, τῇ πορνείᾳ πάμπαν ἀπο- 30

6—7 Iulian. contra Christ. p. 237 N. (cf. supra p. 180, 23 u. ad 181, 2) || **19** Bas. Ep. 199, can. 18, PG 32, 717 A 10–720 C 4 || **19—21** Ep. 199, can. 41, PG 32, 729 A 4–8; cf. 1 Cor. 7, 39

1 fort. συνελαύνουσιν || **7** εὐθέος Wk: -έως **M** || **17** ἀρετῆς] fort. ὁρμῆς || **18** ὑποτίθεσθαι] fort. ὑπερτίθεσθαι || **19** ὅ σοι Wk: ὅσοι **M** || **28** ἀνάξιαι Wk: ἂν ἄξιαι **M**

ταξάμενοι, Παύλου τὸ ʽεἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν᾽ εἰς ἀντίληψιν ἐπικομιζόμεναι καὶ τὸ μὴ ἁλῶναι πορνείᾳ ὡς ἄμαχόν τι χαράκωμα προβαλλόμεναι.

Ἔχεις τοῖς νῦν οἷόν τι βραχὺ τὰ παρόντα τῆς ἡμετέρας 5 *ἐννοίας ἐπὶ τῶν προκειμένων ἐπιστασίας ἐφόδιον. τούτοις καὶ πᾶν εἴ τι τοῦ μηνῦσαι συντετμημένον ἡ περίστασις σίνεται ὑποφέρων καὶ τὴν τῆς διανοίας ὀξύτητα διεγείρων, εὐχῇ καὶ τὰ τελεώτερα κινῶμεν τὸ κρεῖττον κομίσασθαι.*

1—2 1 Cor. 7, 9

1 post *τὸ*] [spat. vac. 3 litt. **M** || **3** *χαράκωμα* **Kh**: *καράκωμα* **M** || **4** *τοῖς νῦν*] leg. *τοίνυν*?

46

Τῷ αὐτῷ περὶ τῶν αὐτῶν

Ad priorem Arethae epistulam responderat Nicetas Paulum sic quoque voluptatem nihilominus induxisse; cui opponit Arethas id per accidens fieri, non expeti. porro syllogismum de virginibus lapsis gravatus erat Nicetas; explicat ergo Arethas id se dicere voluisse, si quartum matrimonium Pauli verba praetendentes admittamus, etiam virginibus ut nubant concedi debere. cetera se Nicetae supplenda relinquere; quid enim si ipse vita abiret? simile nunc accidisse.

Extrema verba, obscura sane, de Arethae iudicio vel exilio accipi possunt.

Σιγᾶν με βουλόμενον ὡς ὑπεσχόμην διὰ τὸ κρείττοσι προσανέχειν οὐκ ἐᾷ τὸ περὶ τοὺς συνήθεις προμηθὲς καὶ φιλόδωρον. ἐπέσκωψας ὡς, εἰ ἐφίησι Παῦλος τὸν γάμον διὰ πορνείαν, τῆς ἡδονῆς ἀπάγων, ἐπεὶ τοῦτο καὶ τῷ γάμῳ 5
ἀκολουθεῖ, οὐδὲν ἧττον ὁ ἡδονὴν παραιρούμενος ἡδονὴν παρεισάγει. ἄκουε διὰ βραχέων. εἰ μὴ προσέκειτο τῷ λόγῳ ʽτῷ παρυφισταμένῳ δελεάζωνʼ, εἶχου συνέσεως καὶ ἔμφρονος γνώμης. ἐπειδὴ δὲ τοῦτο πρόσκειται, ἆρα οὐκ ἐφιστᾷς ὡς οὐδὲν ἄχαρι συμβαίνει τῷ λόγῳ; Παῦλος γὰρ 10
τῇ βαθείᾳ φρενὶ τὴν ἡδονὴν καταπαύων καὶ τῆς ἀνθρώπων βιοτῆς ἐκβάλλων πορνείαν ἀπαγορεύει, ἥτις ἡδονὴν προηγούμενον φέρει σκοπόν, γάμῳ δὲ συμβιβάζει, οὗ μὴ τὴν ἡδονήν, τὴν παιδοποιΐαν δὲ σκοπὸν προφαινόμενον καὶ φύσις καὶ Παῦλος ἀκριβῶς οἶδεν. εἰ δὲ τῇ παρυποστάσει 15
δελέατι προσεχρήσατο τῶν ἀκρατεστέρων, αὐτὸς μὲν οὐκ

4–6 supra p. 309, 8–20 ‖ 8 ib. 14–15

46 Karlin-Hayter[1] 378–382

εἶπε· κἂν συναναφαινόμενον δ' ἐστὶ τῷ πράγματι, περί-
πτωσιν τοῦτο Παύλῳ περιποιῇ καὶ ἡμῖν τοῖς ἑρμηνεύουσι
Παῦλον; ἀλλ' οὖν συκοφαντοῦντος ὁ νοῦς. παρὸν γὰρ τῷ
προηγουμένῳ τέλει τὸν νοῦν ἐπερείσαντι οὕτω θηρᾶν τὴν
5 ἀποστολικὴν διάνοιαν, ὁ δὲ πρὸς τὸ χεῖρον ἀπέδραμε τῶν
κρειττόνων ἀφέμενος. τὸ δ' αὐτὸ καὶ θεοῦ καταμαρτυρή-
σειας. εἰ γάρ τις ἐνίσταιτο θεὸν τῷ μὴ τὰς χεῖρας αἱμάσ-
σειν θυσίαις τοὺς ἀνθρώπους, μὴ ζῴων ἀφαιρεῖσθαι
ψυχάς, τούτῳ καταταχεῖν ἀνθρώπους, τῶν μὲν ἄλλων
10 μηδενὶ θυσιάζειν ἀλλ' ἑαυτῷ, ἆρά γε τοῖς συνετοῖς
συνταττόμενος ὅς, ἐπεὶ καὶ θεῷ θύοντας ταῦτα συμβαίνει
καὶ κατηναγκασμένως, μηδὲν ἔλαττον ἀποφαινόμενος
θεὸν τὸν τὰς χεῖρας αἱμάττειν μηδ' ὅλως | ⟨βου⟩λόμενον 117r
αἱμάττειν εἰσηγεῖσθαι, θύειν, εἰ καὶ αὐτῷ μόνῳ, θεσπί-
15 ζοντα; καὶ πῶς ἂν ἄλλως θύοιτο ζῷον, ὁ συνετώτατος
ὑφηγείσθω.

Τὸ δὲ λοιπόν, ᾧ τῇ τοῦ συνημμένου πλοκῇ διοχλεῖς,
οὐδὲν δέον· ἢ γὰρ ἂν καὶ τὸ 'εἰ νεκροὶ οὐκ ἐγείρονται, τί
καὶ ἐθηριομάχησα ἐν Ἐφέσῳ;' καὶ 'φάγωμεν καὶ πίωμεν'
20 τοιοῦτόν ἐστιν. οἶδα μὲν οὖν ὡς πάλιν καθ' ἑαυτοῦ τὸν
ἀνάγυρον κινήσω· ἀλλ' οὖν οὐκέτι τὴν ἀκοὴν ὑπόσχω·
πλὴν ἴσθι παρεκδρομὴν εἶναι τὸ εἰρημένον συναναφαι-
νομένην τῷ ἐκείνου λήρῳ. ἐπεὶ γὰρ ἐκεῖνος ἀπηρυ-
θριακότως ἐχώρει τὸν τέταρτον γάμον ὡς ἐξ ἀποστολικῆς
25 νομοθεσίας ἀνεύθυνον ἐπεισάγειν, τοῦτο διελέγχων ὁ λόγος
ἐπὶ τὸ ὅμοιον εὐκατάγνωστον καὶ τοὺς παρθενίας ἐκπί-
πτοντας συνῆγε, καὶ εἴ τι ἄλλο προσέκειτο τούτοις· παίζει
δὲ θαυμάσιον οἷον καὶ αὐτὸν τὸν τοῦ δυσγενοῦς τόκου
γεννήτορα, ὡς εἴ γε παντὶ τῷ διοχλουμένῳ πορνείᾳ καλὸν
30 ὑμῖν καταφαίνεται μὴ ἄλλην ἀνευρίσκειν παραμυθίαν, μὴ
νηστείαν, μὴ δάκρυον, μὴ εὐχήν, μή τι τῶν ὅσα νικᾶν

6–16 cf. ib. 1–7 || **17** p. 310, 19–311, 3 || **18–19** 1 Cor. 15, 32 ||
20–21 CPG I 46; II 95

46 9 κατάχεῖν (τα supra lin.), -χ- ex -σχ- (?) **M** || **13** βου- add. Gebhardt;
an ἑ-? || **15** θύοιτο Wk: θύοι τὸ **M** || **18** τὸ Wk: τῷ **M** || **21** ἐκεί-
νου] -ου ex -ων **M**

ἐπίσταται τὰ τοιαῦτα, ἀλλὰ μόνον γάμον, οὕτως ἐπιπολαίως καὶ ἀμαθῶς ἐπαΐοντας Παύλου καὶ κατὰ πάντων ἐκδεχομένους τὸ εἰρημένον, ἀσπαστὸν καὶ ὑμῖν καταφαινέσθω τὸ πρᾶγμα εἰς Παῦλον καταφεύγουσιν. ἐπεὶ καὶ μᾶλλον ὑμᾶς κατανύσσει, εἴπερ ἀληθέστατα ἀπετάξασθε κόσμου· πρὸς γὰρ τὸ ἀντιτεῖνον σφοδροτέρα ἡ τοῦ προπολεμοῦντος ἔφοδος. 5

Ἔχεις οἶμαι οὐ φαύλην διάλυσιν τῶν ἠπορημένων, εἰ καὶ μετρίαν, ἀλλ' οὖν καὶ τῆς ἀσχολίας καὶ τῆς στενοχωρίας οὐδέν τι κατόπιν φερομένην καὶ τῆς ὡς συνετῷ καὶ σοφῷ ἐπὶ τὸ συνετώτερον ἀφορμῆς οὐδ' ὅλως τι ἐνδεέστερον. μηκέτι ἐνόχλει τὸ πᾶν ἀφ' ἡμῶν, ἀλλὰ καὶ τῆς σαυτοῦ ἔργον ποιούμενος διασκέψεως. τοῖς γὰρ νηπίοις αἱ τίτθαι προμασσώμεναι κατεργάζονται τὴν τροφήν, τοῖς δὲ παιδίοις ἀγαπητὸν ἄρτον παρατεθηκυίας ἐκείνοις τὸ ἀπὸ τοῦδε ἐπιτρέπειν τὸ πᾶν τῆς τροφῆς κατανύειν. τί γὰρ εἰ καὶ ἀποιχόμην θανάτῳ, ἄλλος δέ τις ἐπηρεάζειν ἐγνώκει εἰς τοὺς τοιούτους πόνους; ἆρ' ἂν ἠνέσχου ἐρήμην ἁλῶναί με, ἢ καὶ χειρὶ καὶ ποδὶ ἐπήμυνες ἄν, κἂν παρ' ἡμῶν μηδὲν εἶχες εἰς συμμαχίαν συνεπαμῦνον; τοῦτο καὶ νῦν χρῆναι κατείληφεν, ὃ ῥᾴθυμον μὴ πεποιηκότα σεαυτὸν ἀποφαίνει. 10 15 20

19 CPG I 423; II 177

21 *κατείληφεν* Wk: *κατειλῆφθαι* M

47

Τῷ αὐτῷ περὶ τῶν αὐτῶν

Arethae litteris de mutato eius consilio certior factus Nicetas obiecerat ei ignaviam et de irrisu vulgi deque levitate imperatoris monuerat; cui rescribit Arethas non minis se commotum esse sed saluti plurium consuluisse, risum sibi pro nihilo esse. sive autem ratio severior vincat et divortium perpetretur, sive Nicolaus restituatur, nullum locum futurum esse illis qui a principio cum imperatore fecerint. planius dicit, si imperator ab uxore separari paratus sit, unius diei paenitentia contentum se fore; sin autem Nicolaus reducatur, ne cum Nicolao quidem communicaturum ante quam Romam ierit cum socio laborum suorum (nempe Epiphanio Laodicensi episcopo), ut et de divortio et de apostatis ibi decernatur. ceterum si causentur apostatae Aretham ipsum eorundem reum esse ac se, at ante tempus, donis corruptos, caedem patriarchae suo struentes illos ea fecisse dicendum esse. et hanc et priorem suam epistulam (nobis non servatam) episcopo adiutori suo mitti iubet; quo Dominum secum rogante quidquid ille revelaverit se facturum esse.

Scripta circa mensem Febr. a. 907.

Ὡς ἔοικεν ἐπ' ἀκανθῶν ἡμῶν τὸ τῆς συμβουλῆς παρερρύη γεώργιον, παθῶν φημὶ ἀνθρώπων καὶ προσπαθειῶν καὶ προλήψεων, ὑφ' ὧν καὶ συμπνιγὲν ἀπροβούλως
5 *τὴν βλάστην ὑπερανασχεῖν καὶ δεῖξαι ἡλίῳ, φωτὶ τῷ πάντα κρίνειν ἀπροσπαθῶς πεφυκότι, πάντῃ κεκώλυται. δεῖ δὲ τὸν τῷ ὄντι θεοῦ ἄνθρωπον καὶ θείων πραγμάτων κατευστοχεῖν βουλόμενον γυμνὴν τούτων ἁπάντων τὴν ψυχὴν παρεσκευακότα οὕτω τοῦ πράγματος ἔχεσθαι. ἐμοὶ*

2 Mt. 13, 7 || 7 1 Tim. 6, 11

47 Karlin-Hayter[1] 382–388 || 3 *προσπαθειῶν*] *προπ-* ex *προσπ-* M

117ᵛ γάρ (θεὸς τοῦ λόγου συνίστωρ) | ⟨οὔτε⟩ πρὸς τοὺς ἀγῶνας καταμαλακισθέντι (ἢ γὰρ ἂν εἰς τέλος μαλακισθείην πρὸς πᾶν τῆς κατὰ θεὸν νεανιότητος ἐκλυόμενος καὶ γυναικιζόμενος) οὔτε τινὶ πάθει δουλεύοντι ἐπῆλθε ταῦτα φρονῆσαι, τῆς δὲ τοῦ κρείττονος γνώμης ἱμείροντι ὡς μή 5 ποτε πάντων σχεδὸν συγκλεισθέντων ὑπὸ τὴν ἁμαρτίαν ἀνάγωγος τὸ ἀπὸ τοῦδε ἡ τοῦ ὀρθοῦ ἐπάνοδος γένηται. οἶδα μὲν οὖν ὡς οὐ πλήθει εὐαρεστεῖται θεός, ὃς οὐδενὸς τῶν ἡμετέρων ἐπιδεής, ἀλλ᾿ ὡς ἐπίπαν τοῦ πλήθους ἐπὶ τῶν ἀνθρωπίνων τὰς βουλὰς κατισχύοντος, καὶ ὅτι μηδέ, 10 τὸ τῶν ἄλλων εἰπεῖν, τοσοῦτον δοκεῖ τὸ κακόν, καὶ βασιλέων ἐπὶ τῶν τοιούτων ἀεὶ καταννύντων τὸ προτεθὲν καὶ τὸ ἐπιτιμᾶσθαι τοῖς ἰδιώταις κατ᾿ ἴσον ὑπαλυσκόντων, τούτων ἁπάντων ἕνεκεν εἴπερ οἷόν τε ἐν τοσούτῳ ἔτι τινῶν ἀνασῳζομένων, ὡς ἂν μὴ πάντῃ πάθοιμεν τὰ 15 Σοδόμων καὶ ὑποσταίημεν τὰ Γομόρρων, ὡς μηδὲ πυρφόρον, τὸ τοῦ λόγου, τῇ παρεμβολῇ διατηρηθῆναι κυρίου, ἔγραψα ἃ γέγραφα.

Σὺ δὲ τῶν μὲν ἄλλων μικρὸν πεφρόντικας ἢ καὶ οὐδέν, τὴν δ᾿ ὑπὸ τῶν πολλῶν ἡμῖν προὐβάλου καταισχύνην καὶ 20 τὸν γέλωτα εἰς εὐλάβειαν καὶ οἱονεί τι παιδίον ἐμπούσαις καὶ μορμῶναις ταῖς τῶν πολλῶν ὑπολήψεσι κατεδεισιδαιμόνησας, μηδὲ τὸν σοφόν σου Ἀριστοτέλη καταιδεσθείς, ταῖς τοιαύταις ἀνδρίαις οὐ τῷ τυχόντι προσκόπτοντα. ἐγὼ δέ, εἰ τὸ ὑπὸ τῶν ἄλλων εὐδοκεῖσθαι καὶ 25 ἀνθρώποις ἀρέσκειν ἐν λόγῳ πεποιήκειν, οὐδὲν ἂν πρᾶγμα τοῖς κατὰ τὸ ἄμεινον προστεθέντα τῆς τύχης τῆς νῦν ἐξάντη ταλαιπωρίας φανῆναι· ἀλλ᾿ ἐπεί μοι σκοπὸς τῶν

11 mg. τὸ παρὰ τῶν λοιπῶν ἀνθρώπων φησίν, ὅτι δὴ βασιλεῖς τὸ πολλοῖς δοκοῦν ἀποδοχῆς ἀξιοῦσι καὶ τὸ παρὰ τῶν τυχόντων 30 καὶ οὐκ ἐν λόγῳ φαυλίζεσθαι ἀεὶ διὰ σπουδῆς ποιεῖσθαι ἀνθρώπους ὑπεκκλίνειν.

6 Gal. 3, 22 || **15–16** Is. 1, 9 || **16–18** CPG I 134; II 44 || **23–25** Aristot. Eth. Nic. III 11, 1116a 15–b 3; cf. Plat. Crit. 46c 3–6

1 οὔτε add. Wk || **24** ἀνδρίαις] mg. ἀνανδρίαις ἴσ. **M** (sed cf. Ar. 1116a 16)

τοιούτων ὀλιγωρεῖν μηδὲν κατὰ τὸν Ἰουδαίας πολιορκούμενον βασιλέα τὸ πρός τινων καταμωκηθῆναι ὑπολογιζόμενον, ἂν μόνον χρηστόν τι τῷ πράγματι ἐνορῷτο, τοῦτο ζητεῖν καὶ ἐκμαστεύειν ὑμᾶς παρακέκληκα, τὰ δ'
5 *ἄλλα ἐᾶν. τί γάρ μοι τῆς τῶν πολλῶν δόξης μέλει, εἴ τι Σωκράτει μετὰ τῆς ἀληθείας δεῖ πείθεσθαι; Παῦλος δὲ τοσοῦτον ταύτης πολυωρεῖν κέκρικεν, ὡς καὶ τῆς Χριστοῦ δουλείας τὸν ταύτῃ περιπαθῶς ἐνεχόμενον ἀπολύεσθαι ἀποφήνασθαι.*

10 *Ἣν δὲ προὐβάλλου ἀπιστίαν τοῦ πρὸς ὃν ταῦτα καὶ τὸ παλίμβολον τοῦ τρόπου καὶ ἄστατον, οὐ παῖδες ἁπλοϊκοί, ἵν' ἐξῇ τούτῳ εὐδοκιμεῖν, ἀσφαλεστέρους γὰρ τοῖς προεφωδευμένοις εἰργάσατο. καὶ ἡ μετὰ τῶν παραβατῶν ἀνάκρασις, καθ' ὁποτέραν τῶν ὑποθέσεων χωροίημεν,*
15 *μάτην ὑμῖν εἰς διάτασιν εἴληπται. εἴτε γὰρ τὸ διαζύγιον περιγένηται, οἱ τούτῳ κεκοινωνηκότες κατὰ τὸ συνεῖναι πάντως ἀπόβλητοι, ὡς ἐνὸν τοῦτο γενέσθαι ἀφ' ὧν νῦν ἐστὶ κατιδεῖν αὐτοὶ προδόται τῆς ἀκριβείας ἐφάνησαν. ἀλλὰ δεήσεται ὑπὲρ τούτων; καὶ τίς ὁ εἰσακούων; εἰ δὲ*
20 *μὴ τοῦτο μέν, Νικόλαος δὲ ἀποκαταστῇ καὶ τῇ εὐχερείᾳ τοῦ τρόπου σύγχυσιν ἐπαγάγοι ῥητῶν τ' ἀρρήτων τε; καὶ ποῖος τούτων ἀνέξεται; ἀλλὰ καὶ πάλιν ὁ πεπονθὼς τοῖς συμπαθέσι τὸ ἀκίνδυνον ἐξαιτήσεται προσπαθῶς; ἀλλ' οὐχ ἕξει τὸν προσκλινόμενον· εἰ γὰρ βιάσαιτό τι, πάλιν*
25 *Φιλόξενος ταῖς λατομίαις ἀποπεμφθήσεται, Διονυσίῳ τὰς κωμῳδίας ἐπὶ χεῖρας ἐῶν.*

Ἀλλ' ἵνα τὰ τῆς ὑποθέσεως διὰ τέλους ᾖ γνώριμα, ἐροῦμέν τι καὶ πλατύτερον περὶ τούτων. τοῦτο γάρ φημι· εἰ τὸ διαζύγιον ἕλοιτο, ¦ στήσομεν αὐτὸν πρὸς τῇ θύρᾳ 118r
30 *τῶν ἱερῶν ἀνακτόρων ἐπὶ μιᾶς μυσταγωγίας γονυκλισίᾳ τοὺς εἰσιόντας ἐξιλεούμενον. μέγα δὲ τοῦτο τοσαύτῃ*

7 mg. *ἐν οἷς φησὶν 'ἀνάθεμα γὰρ ἀπὸ Χριστοῦ'*. ib. *ἐν οἷς φησὶν 'Χριστοῦ δοῦλος οὐκ ἂν ἦν, εἰ ἀνθρώποις ἤρεσκον'. Μάξ(ιμος).*

1–3 Ier. 45, 19 || **5–6** Plat.Crit. 44 c 6–7; 46 c 2–48 a 10 || **6** cf. ib. 48 a 7 || **6–9** Gal. 1, 10 || **21** Hes. Op. 4 || **24–26** CPG I 398; II 382 || **32–33** mg. Rom. 9, 3

τύχῃ· ἐπεὶ καὶ Θεοδόσιος ἐκεῖνος καίτοι λύθρῳ τοσούτων ἀνθρώπων αἱμάξας τὰς χεῖρας ἀδίκῳ οὐδὲν τοιοῦτον τῶν ἐκ τοῦ κανόνος ἐπιδέδεικται τῆς αὐστηρίας, ἠρκέσθη δὲ μόνῳ Ἀμβρόσιος τῷ εὐλαβηθῆναι αὐτὸν ἐκ προσώπου αὐτοῦ καὶ τὰ λοιπὰ πάντα παρῆκε τοῦ ὑποτιμῶντος 5 χρόνου, οὐδὲ γὰρ πλέον ἐνῆν, εὐθέως αὐτὸν εἰσδεξάμενος τῷ ναῷ. καὶ οὕτως μὲν ἐπὶ τῇ ἀποστάσει· εἰ δὲ τοῦτο μὲν οὔ, Νικολάῳ δὲ ἡ ἀνάβασις πραγματευθείη, οὐ πρότερον, εὖ ἴσθι, οὐδὲ Νικολάῳ κοινωνοίημεν, πρὶν ἂν αὐτὸν ἐάσαντες ἐπὶ χώρας μόνοις τοῖς τούτων ἀχράντοις 10 συλλειτουργοῦντα ἡμεῖς ἐπὶ Ῥώμης γενοίμεθα συνοδοιπόρῳ τῷ κοινωνῷ τῶν παθημάτων ἡμῶν κεχρημένοι, ὡς ἂν γνώμῃ τούτου καὶ τὸ ἐπὶ τῷ γυναίῳ ὃ ἂν καὶ οἰκονομηθῇ καὶ τοῖς παραβάταις αὐτόθεν ἡ καταδίκη ἐξενεχθείη. ὃ δ' ἂν καὶ οἰκονομηθείη, διὰ τῶν βαθμῶν ἐπι- 15 τιμώμενος πάντως ἀχθείη ὁ ἐπιτετιμημένος, ὃ πολλάκις δεδήλωται. τὸ δ' εἰς δικαιολογίαν τοῦτο τοῖς παραβάταις ἀναλαμβάνεσθαι, καθότι καὶ ἡμεῖς τοῖς αὐτοῖς ἐνεσχόμεθα, πολλὴν ἕξει τὴν διατρέπουσαν αὐτοὺς ἀντιλογίαν, τὸ τοῦ καιροῦ προεξαναστῆναι αὐθαδῶς, τὸ δωρολη- 20 πτοῦντας, τὸ ἐπὶ φόνῳ τοῦ ἑαυτῶν πατριάρχου καὶ εἴ τι τούτοις ἀκόλουθον. ταῦτα οὐ διατεινόμενος τὸ ἐπελθὸν συστῆσαι δεδήλωκα, ἀλλ' ἕκαστον μετὰ τοῦ προσήκοντος δοκιμάσαι, θεοῦ μεθ' ἡμῶν δεηθέντας πολλὰ καὶ τοῦ ἀκριβοδικαίου τι μεθιέντας, εἴ γε τούτου καιρός· 'μὴ 25 γίνου' γὰρ 'δίκαιος πολύ', ὁ σοφός φησι Σολομών.

Παραπεμφθῆναι δὲ καὶ τῷ μεθ' ἡμῶν δέομαι ἀρχιερεῖ ὑπὲρ τοῦ καλοῦ κακοπαθεῖν ἑλομένῳ καὶ ταύτην καὶ τὴν πρὸ αὐτῆς ἡμῶν πρὸς ὑμᾶς καὶ τὴν ὑμετέραν περὶ τούτων γραφεῖσαν ἡμῖν, ἣν καὶ ἀπέστειλα· καὶ ἐπισκεψάσθω καὶ 30 αὐτὸς δεηθεὶς τοῦ κυρίου, καὶ ὃ ἂν κύριος ἀποκαλύψῃ στέρξομεν. οὐ γὰρ ἀνεπισκέπτους τοῖς τοιούτοις ἐπιχειρεῖν ἀσφαλές, ἀλλὰ καὶ μετὰ δακρύων συντείναντας

3 mg. ση(μείωσαι). || 13 mg. ση(μείωσαι).

25—26 Eccl. 7, 16

ἑαυτούς. εἰ γὰρ μετὰ βουλῆς οἰνοποτεῖν ὁ σοφός φησι
Σολομών, πολλῷ δήπουθεν ἡμῖν βουλοκοπεῖν ἄμεινον
περὶ τῶν μεγίστων καὶ ἀντὶ οἴνου τὸ τῆς ψυχῆς νέκταρ
ἐναντίον κυρίου προχεῖν. τί τοῦτο; τὸ τῶν ὀφθαλμῶν
5 ῥεῖθρον, ἵν᾽ ὥσπερ ὁ οἶνος χαυνῶν τὴν ψυχὴν εἰς μέσον
οἶδε τὰ ἀπόρρητα φέρειν, οὕτω καὶ τῇ τῶν δακρύων
καταφορᾷ ὁ οἰκτίρμων ἐκμειλισσόμενος κύριος παράσχοι
τὸ κεκρυμμένον αὐτοῦ ἔλεος τοῖς φοβουμένοις αὐτὸν
προφανὲς καὶ ἐξεργάσαιτο τοῖς ἐλπίζουσιν ἐπ᾽ αὐτὸν τὰ
10 σωτήρια, χρηστότητι προκαταλαμβάνων ἡμᾶς ὁ πολύ-
σπλαγχνος.

1—2 Prov. 31, 4 || 7—8 Ps. 102, 17

48

Ἰωάννῃ τῷ ἀδελφόπαιδι Ὀρέστου τοῦ δομεστίκου τῶν νουμέρων

Fragmentum epistulae (non ad finem perductae fortasse) quo demonstrat verbum *ταλαιπωρεῖν* **transitive usurpari posse, ut etiam** *ζῆν, ἐξαμαρτάνειν, βασιλεύειν.* **de eadem re plenius Op. 49.**

Ἄλλως τε καὶ οὐδὲ ταὐτὸν ταλαιπωρεῖν καὶ ταλαιπωρία, ὡς οὐδὲ ζωὴ καὶ τὸ ζῆν· ἀλλὰ τὸ μὲν εἰς ψιλὸν κατανέμεται τὸ πάθος ἢ τὴν ἐνέργειαν, ταλαιπωρεῖν δὲ καὶ ζῆν μετὰ 5
τοῦ συνειληφότος νοεῖται τοῖς σώφροσι. τὸ δ' ὃ γυμνῇ
118ᵛ *τῇ ποιότητι ἐνορᾶται | καὶ κατὰ τοῦ μετασχόντος λογίζεσθαι, νομοθετοῦντος, οὐ τὰ προεφωδευμένα τοῖς παλαιοῖς ἀπαγγέλλοντος. τί δαὶ καὶ εἴποις ἐπὰν τὸ 'καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις καὶ οὐ μὴ ὑποστῶσι' τοῦ αὐτοῦ* 10
ἐπακούσῃς προφήτου; ἆρ' οὐκ ἀλλοπαθείας τὸ καταβάλλεσθαι; τῆς ἐξουσίας. ἀλλ' ἵνα σοι καὶ ἀπὸ τῶν ὁμοίων διαπλέξω τὸν ἔλεγχον, ξύνες ὅ τοι λέγω. τὸ ζῶ καὶ ἁμαρτάνω ἀναντιρρήτως δήπου τὸ αὐτοπαθὲς ἐπαγγέλλεται, ἀλλ' ἔνι ταῦτα παραδοξότερον καὶ ἐπ' ἀλλοπαθείας 15
εὑρεῖν κείμενα, ὡς τὸ 'ἐν μέσῳ θλίψεως ζήσεις με' καὶ 'τὸ λόγιόν σου ἔζησέ με' καὶ 'ὃς ἐξήμαρτε τὸν λαὸν' ἐν Βασιλείαις, περὶ Ἱεροβοὰμ οἶμαί που λέγων. πρὸς τί δαὶ σοι καὶ τὸ βασιλεύω ἀφορᾷ; πρὸς αὐτοπάθειαν, δοκῶ μοι ἐρεῖς· ἀλλ' ὅταν Ἡσαίου τὸ 'ἐβασίλευσαν ἐπ' αὐτοὺς τὸν 20
υἱὸν Ταβεὴλ' ἐνωτίσῃ, οὐκ ἂν οἶμαι τὴν χρῆσιν ἐξαμαρτήσῃς.

3 mg. *μέρος.*

9–10 Ps. 139, 11 || **13** Pind. frg. 105 Schr. || **16** Ps. 137, 7 || **17** Ps. 118, 50 || **17–18** 3 Reg. 15, 26; 34 etc. || **20–21** Is. 7, 6

49

Τῷ αὐτῷ

Perstrinxerat Aretham Anastasius quaestor propter verbum *ταλαιπωρεῖν* transitive usurpatum. exempla huius usus affert Arethas, deinde paria cum aemulo faciens carpit versum in Hippodromo inscriptum, quem Anastasius de Alexandro Magno fecerat.

Τοῖς φιλαιτίοις καὶ μεμψιμοίροις ἑαυτὸν ἀντιπαρεξάγειν οὐ πλέον τι καταλαμβάνων παρακοπῆς, ὧν οὐκ ἄλλο ἔργον οὐδὲν ἢ τὸ ἀναίτιον αἰτιᾶσθαι, ὅμως ἐπεὶ λύσσῃ 5 κενῆς δόξης ἐπιτηδεύοντας τὸ πρᾶγμα καταμανθάνω καὶ τῷ μὴ ἔχειν αὐτοὺς ἐξ ἑαυτῶν τὰ βέλτιστα παριστᾶν ἐκ τῆς καθ' ἑτέρων αἰτίας τὸ κρεῖττον ἑαυτοῖς προσμαρτυρεῖν βούλεσθαι, ἀνάγκη βραχύ τι τοῦ ἀνδρικοῦ καὶ γενναίου καθυφέντας ὡσπερεὶ συμψελλίσαι τῇ τούτων παρανοίᾳ καὶ 10 τῆς πολλῆς αὐτοὺς ἀπαλλάξαι κορύζης ἔργον ποιήσασθαι.

Ἠιτίαται τὸ ταλαιπωρεῖν ὡς οὐκ ἐνὸν ἐπ' ἀλλοπαθείας λαμβάνεσθαι· ἐγὼ δὲ εἴ τι καὶ ἄλλο τῶν εἰς ἀντίληψιν ἡμῶν συντεινόντων ἀνεύρισκον, οὐκ ἂν μεῖζον τοῦ πρὸς ἔλεγχον ἡμῶν δῆθεν παρενεχθέντος αὐτῷ μαρτύριον κατ- 15 ελάμβανον. τὸ γάρ τοι ψαλμικὸν ʽἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους', ὅπερ διατρέπων ἡμᾶς παρ- έλαβεν, εἰπάτω ὁ πολὺς μὲν τὴν καθ' ἑτέρων σοφίαν καὶ πόρρωθεν κατοπτεύειν τὸ τῶν λόγων ἐπισφαλὲς ὀξυ- ωπέστατος, τὴν δὲ αὐτοῦ ἀγνοῶν ματαιότητα καὶ περὶ τὰ 20 καίρια τῶν ἑαυτοῦ πόνων οὐχ ἧττον ἢ γλαῦκες ἀμβλυ- ώττων πρὸς ἥλιον· οὐκ ἐπ' ἀλλοπαθείας τὸ ταλαιπωρεῖν,

4 Hom. Λ 654 || 15—16 Ps. 37, 7

4 *ἐπεὶ* Wk: *ἐπὶ* M || 5 *καινῆς* M

βέλτιστε; αὐτὸ δὲ τὸ νῦν σοι σοφὸν τί βούλεται; τίνι γὰρ ταλαιπωρῶν κατακάμπτεται, πότερον ἀλογίστῳ καὶ ἀναιτίῳ ὁρμῇ ἢ τῆς ἐξ ἁμαρτιῶν περιστάσεως τὸ ταλαιπωρεῖν αὐτῷ προσποριζούσης; ἐγὼ μὲν οἶμαι, κἂν μὴ τοῦτο ἡ αὐθάδης γνώμη παραχωρῇ· εἰ δὲ τοῦτο, περιτροπῆς μέμψιν οὐκ ἂν ἐνδίκως ἐκφύγῃ ὁ καθ᾽ ἑαυτοῦ κόνιν ἀμᾶσθαι μὴ ἀπειπόμενος. 5

Εἶτα τὸ μὲν τοιοῦτο, καὶ οὐδ᾽ ἂν ἐπ᾽ ἄλλο μαρτύριον ἐπεκκλητεύειν ἐφορμηθείημεν, αὔταρκες ὑπολαμβάνοντες καὶ τὸ παρ᾽ ἐκείνου πρὸς ἡμᾶς παρενηνεγμένον· τὸ γάρ τοι ʿἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με᾽ σιωπῶ, ὡς ἂν μηδὲ τοῦ ἑκκαιδεκάτου ψαλμοῦ ἀνήκοος ὁρῷτο· αὐτὸς δὲ ὁ σοφὸς καὶ γνώμων ἁπάντων καὶ στρέφειν ὑπὸ τὴν γλῶσσαν | 119r *κόπον καὶ πόνον εἰδώς, τί ἂν πρὸς παραίτησιν προκομίσει, ἐπειδὰν αὐτὸν τὸ τῆς ʿπαροινίας ἐκταθὲν τρόπαιον᾽ διαπαίξῃ, ὃ κατὰ τοῦ ἱππικοῦ ἵστησι διαύλου τοῖς τριταγωνισταῖς τῷ ὄντι συμμαστιγούμενον καὶ συνδιασυριττόμενον; τρόπαιον γὰρ οὐδέπω καὶ μέχρι τοῦ κατεσμιλευμένου τούτου κατείληπται ἰαμβογράφου οὔτ᾽ ἐκτεινόμενον ἀλλ᾽ ἱστάμενον, οὐχ ἑαυτόν τινα τρόπαιον ἐκτετακότα ἀλλ᾽ ὑφ᾽ ἑτέρου. τὸ γὰρ ὑπὸ τῆς παροινίας ληρεῖν ἐκτετάσθαι κατ᾽ ἴσον τῷ μὴ κυρίως ἐνταῦθα τὸ λεξείδιον παρειλῆφθαι καὶ τὸ καθ᾽ ἑαυτοῦ φάσκειν τὸν νενικηκότα ἱστᾶν. ἐπεὶ γὰρ τὸ ἧττον Ἀλέξανδρος ἀπηνέγκατο, οὐκ ἂν ἔμφρονι λογισμῷ οὔτε τὸ κείμενον ἤδη καὶ τῷ κεῖσθαι τὴν νίκην ἀποσημαῖνον εἰς τρόπαιον ἵστασθαι λέγοιτο, οὐ τὸ αἰσχίστως νικῆσαν ἑαυτὸ στηλιτεύειν παράγοιτο.*

15 mg. ad *ἐπειδὰν*] *τὸ ἐν τῷ Ἱπποδρομίῳ ἐπίγραμμα διαπαίζει, ὃ ἐπὶ τῷ τεθρίππῳ τῷ ἐξ εἰκόνων ἄνω τῆς ἐπαρχικῆς καθέδρας γέγραπται, Ἀναστασίου τοῦ τέως κοιαίστωρος, ᾧ τὸ Τραυλὸς γνώρισμα ὑπάρχον, οὕτω καταγελάστως ἐξενεχθὲν περὶ τοῦ Μακεδόνος Ἀλεξάνδρου· ʿὁ δὲ τρόπαιον ἐκταθεὶς παροινίας᾽.* 30

6–7 CPG I 423 || **10–13** Ps. 16, 9 || **14** Ps. 9, 28

10 *ἡμᾶς* Wk: *ἡμῶν* **M** || **16** *παροινίας* Wk: *παρανοίας* **M** | *διαπαίξῃ* Kougeas: *διαπάξῃ* **M** || **32** mg. *περὶ* Wk: *παρὰ* **M** || **33** *ὁ* Wk: *ὃ* **M**

50

Νικηφόρῳ μοναχῷ, οἰκείῳ Νικολάου πατριάρχου

Queritur quod sibi scribere desierit Nicephorus. possis ad discordiam inter Aretham et Nicolaum ortam referre has litterulas, sed nescio an leviorem habeant causam.

Ὀκνεῖς τὰς πρὸς ἡμᾶς συλλαβάς· οὐκ ἔχω τοῦτο συμβαλεῖν πότερον λύσας τὰ πείσματα τῆς φιλίας ἢ καὶ μετεγνωκὼς ὡς μηδὲ τὴν ἀρχὴν ἡμῖν ἧπερ ἐχρῆν ἀνάψας.
5 *εἰ μὲν οὖν λύσας, ζητῶ τίνι τοῦτο λόγῳ· τὸ γὰρ ὑπόλοιπον ἴσως οὐδ᾽ ὑποπτεῦσαι τῶν εὐπρεπῶν, ἐπεὶ μηδέ τι τῶν μεταμέλου ὑμῖν ἀξίων ἐμὲ μὲν οἶδα παρασχόντα, σὲ δὲ τὸν μὴ ῥᾴδιον τὰ τοιαῦτα παθόντα. εἰ δ᾽ οὐχὶ λύσας, δυοῖν θάτερον ἀνάγκη, ἢ γὰρ τούτων ἕνα τινὰ τῶν ἀριθμὸν*
10 *μόνον συμπληρούντων ἡγησόμεθα φίλων, ἢ λειποταξίου σὲ παρὰ πάντας φιλίας γραψόμεθα.*

51

Στεφάνῳ ὑπογραφεῖ βασιλέως τῶν ἀπορρήτων

Laudibus extollit orationem aliquam Stephani, propter quam se Aristotelis et eius Organi oblitum esse dicit. diaconum adhuc hanc epistulam scripsisse credo, et quia Aristoteli maxime studuit circa a. 900 (quo tempore cod. Urbin. gr. 35 sibi exarandum curavit) et quia ad episcopatum provectus blanditiarum minus profusum se praestabat. v. ad Op. 23.

Ἐγὼ πολλάκις ἐθαύμαζον τὸν Ὅμηρον ἐπερχόμενος καὶ κατ' ἐμαυτὸν τὴν διάνοιαν ἔστρεφον, ὅ τι δὴ καὶ πάθοι σοφὸς τηλικοῦτος ἀνὴρ μύθων καὶ οὕτως ἐκτόπων ἀσχολίαν τὴν αὐτοῦ ποίησιν ἐπιτετηδευκώς. τὸ δ' ἦν ἄρα 5
οὐκ ἄπο σκοποῦ τῷ Μαιονίδῃ γινόμενον· ἀνδρῶν μὲν γὰρ βεβήλων οὔτ' ἄν τινα λάθοι διάνοια οὔτ' ἂν λαθοῦσα τοιαύτην ἐμποιεῖ τὴν ἀνίαν (τί γὰρ ἂν καὶ εἴποι σοφὸν ἄνθρωπος ῥαστώνῃ βίου πᾶσιν ἐκκείμενος;) ᾧ δὲ φύσεως ἐντρέχεια μετὰ τῆς ἄνωθεν ἀμύνης τοῖς κρείττοσι γνωρί- 10
ζεσθαι δέδωκεν, ἐκείνῳ καὶ τὸ περισπούδαστον, τοῦτο μὲν λόγους, τοῦτο δὲ καὶ φιλίαν ἅπασι σχεδὸν ἀνθρώποις κεχάρισται. οὔκουν ἀνάξιόν τι τῆς οἰκείας φρενὸς Ὅμηρος κατεστήσατο μύθοις ἅπασαν τὴν αὐτοῦ ποίησιν διαλαβών. ἐμοὶ δ' εἴ τις ἐθελήσει πειθήνιος εἶναι, οὐδὲ μύθους ἂν 15
ἔτ' ἀξιῴη τούτους λογίζεσθαι, πραγμάτων δὲ μόνον ἀλληγορίαν ὀξέως πᾶσι τὸ λυσιτελοῦν προμηθουμένην. τῶν μὲν γὰρ φεύγει τὸ ταπεινόν τε καὶ περιπέζιον τῆς διανοίας, τῶν δ' ἀνάγει τὸ φρόνημα οὗπερ εἰκὸς ἀνίπτασθαι τῶν τοιούτων. 20

51 Kougeas 146–147 || **14** *αὐτοῦ*] *αὐ-* ex *αὐ-* **M** || **15** *μύθους* Kougeas: *-ου* **M**

Πείθει με ταῦτα τοῦ καὶ νοεῖν καὶ λογίζεσθαι τὸ χθὲς καὶ πρώην ἡμῖν ἐπισυμβάν. οἷον γάρ δή τι πεποίηκεν Ὅμηρος τοὺς ἑταίρους τοῦ Ἰθακησίου Λαερτιάδου πόας τινὸς μεταλήψει μετηλλαχέναι τὸν νοῦν, οὕτω κἀγὼ
5 *μετασχὼν οὐ συρφετῆς τε καὶ χαμαιζήλου, οὐδ' ἐπὶ τὸ χεῖρον ὡς ἐκεῖνοι τῇ μεταλήψει παρατραπείς, ἀλλὰ λόγους, θαυμάσιόν τι χρῆμα | (οἶσθα καὶ αὐτός), διὰ τῆς ἀκοῆς* 119v *ἐμφανίσας τῷ τῶν λογισμῶν ἡγεμόνι, καὶ τοῦτο γεγονὼς καὶ οὕτω διατεθεὶς ὅπερ αὐτοῖς τε τοῖς λόγοις θελητὸν καὶ*
10 *οἷον εἰκὸς ἐντεῦθεν, οὐδ' ἂν ἔτι μοι τὸν βίον εἶναι νομίζω βιωτὸν τῶν τοιούτων ἐνηχηθέντι λόγων, εἰ μὴ τούτοις συνεχέστερον τὰς ἀκοὰς καταντλοίμην.*

Ἄγαμαι τὸ τῆς μεταβολῆς, ὦ φίλος, ἀθρόον. ἐραστὴς γὰρ τέως διάπυρος Ἀριστοτέλους ὢν καὶ τῶν ἐκείνου
15 *λόγων θερμός τις ἀκριβαστής, μόνον οὐκ ἔφθην βραχέα ἄττα τοῦ καθ' ἡμᾶς ἐπακούσας Παιανιέως, καὶ παρευθὺς αἰχμάλωτος γέγονα τῆς ἠχῆς, οὕτως τὸ πρὸς ἀκρίβειαν κάλλους ἐξησκημένον οὐκ οἶδεν ἀναμένειν πρὸς τὸ δρᾶσαί τινα χρόνον, ἀλλ' εὐθὺς τὸ πρῶτον ἐμφανισθὲν ἔπληξέ*
20 *τε τὸν ἰδόντα καιρίως καὶ πρὸς αὐτὸ βίᾳ ἐπισπασάμενον ἄγχει πρὸς τοῦτο κατασπεῦδον τῶν λόγων μετοχετευθῆναι τὸν ἔρωτα. οὐκέτι μοι λόγων ἁπλῶν τῶν περὶ τὴν πρώτην θέσιν, ὡς ἂν αὐτοί φαῖεν οἱ περὶ ταῦτα μέλει κομψοί· λῆρον μακρὸν ἡγησάμην τὰς ἐξ ἐκείνων συνθέσεις καὶ τὸ*
25 *ἐκ τούτων πάλιν κατὰ παντὸς ἢ κατ' οὐδενὸς καὶ τῶν ἀντικειμένων αὐτοῖς τῷ Σταγειρίτῃ ἐπιτετηδευμένον ἀληθείας κριτήριον· τοὺς δ' ἀμφιστόμους ἢ μᾶλλον καιριώτερον εἰπεῖν ἀμφικρήμνους τῶν ἐναγωνίων λόγων τῷ μηδενὶ τέθειμαι ἴσους. καὶ ταῦτα τίς; ὁ πρὶν ἡμέρας*
30

29 mg. *ση(μείωσαι).*

2–4 Hom. ι 82–104 || **22–23** Ammon. in Cat., CAG IV 4, 11, 19; Olymp. in Cat., CAG XII 1, 21, 14–25; Elias, CAG XVIII 1, 131, 22–24 || **24–27** Aristot. de interpr. 4; 7 || **27–28** cf. Greg. Naz. Or. 29, 9, PG 36, 85 A 5

11 *βιοτὸν* **M** || **21** *κατασπεῦδον* Wk: *-εύδων* **M**

ὅλας καὶ νύκτας τούτοις ἐκδαπανῶν καὶ μηδ' ἂν τοὺς πολυταλάντους θησαυροὺς ἑνός γέ τινος ἐκ τούτων ἀνταλλαττόμενος· ἀλλ' ὁ σφοδρὸς οὗτος ἐραστής, ὁ τῶν Ἀττικῶν πλέον τοῖς λελεσχηνευμένοις χαίρων τῶν λόγων, ἵνα δή τινος βραχυτάτης κυρήσω τοῦ θεοσόφου στόματος 5 ψεκάδος αἰχμάλωτος γέγονα λόγων καὶ νῦν καθάπερ ἀνδράποδον δίψει πιέζομαι λόγων, ὧν μὲν πρότερον ἠκροώμην τούτων μὲν οὐδ' ὄναρ οὐδ' ὅσον ἐπὶ γλῶσσαν ἥκειν ἀνεχόμενος τὴν ἐμήν, οἷς δ' ἔναγχος κατεωνήθην τούτοις συναπαίρειν γλιχόμενος τοῦ βίου. 10

Ἐκ δὴ τοῦ τοιούτου συμπτώματος οὔτε Ὁμήρῳ ἀπιστεῖν ἔχω τὰ περὶ τῆς Λωτοφαγίας καὶ ἐμαυτὸν ἀνακαλέσασθαι ἀδυνάτως ἔχων, σοὶ κεχρήσομαι τῆς τοιαύτης ἐπαινετῆς λύττης θεραπευτῇ. ἐπεὶ γάρ με οὐδὲν οὐδαμῶς ὤνησεν ὁ δεσμὸς τῆς Ἀριστοτέλους σοφίας, καίτοι γε ᾤμην ἱκανῶς 15 τε καὶ πλέον τούτοις προσπεπασσαλεῦσθαι ἤπερ ὁ τῷ ἱστῷ προσδεδεμένος Ἰθακήσιος γέρων, ἵνα δὴ μή τι πάθῃ πρὸς τὰ Σειρήνια θέλγητρα· ἢ γὰρ ἂν οὐδὲν πρᾶγμα κηρῷ με δι' ὧν ἑάλων ἀποβεβυκότα κωφὴν θέσθαι καθάπαξ τοῖς ἁλίσκουσι τὴν ἐλπίδα· – ἐπειδὴ τοίνυν οὔτε ταῦτ' 20 ἐπὶ τὴν διάνοιαν ἐβαλόμην καὶ πέπονθά τι οἷον εἰκὸς τὸν τοιαύταις ἴυγξιν ἐφηπλωκότα τὴν ἀκοήν, δέομαί σου ἐγκείμενος λιπαρῶς ἐπαφιέναι ἡμῖν συνεχέστερον τῆς 120r μακαρίας γλώσσης τοὺς ὀχε|τοὺς καὶ μὴ φθονῆσαι τῇ ἡμετέρᾳ ζωῇ. ἅπαξ γάρ μοι τούτων γεγευσμένῳ δυοῖν 25 θάτερον, ἢ κατάρδεσθαι τούτοις ἀφθόνως ἢ μὴ τυγχάνοντα τούτου τὸν βίον ἀπολιπεῖν, ἐπειδή γε βίον μὲν ἀργὸν οὐ θέμις ἡμῖν ἕλκειν, μόνης δὲ τῆς ἐκείνου ἀσχολίας ἡ πρώτη τῶν μακαρίων λόγων πεποίηκεν ἔντευξις.

16—18 Hom. μ 165–200

16 πλέον Kougeas: -ων **M** ‖ **18** ἢ] ἦν Kougeas

52

Quaerens cur Moyses, qui ipse rettulerit Iacobi prophetiam qua Iudae sceptrum tribuit, Iosue alia tribu ortum successorem sibi designaverit, has causas enumerat: primo ne videretur ipse prophetiam suam consulto explesse: deinde quia tempus opportunum nondum aderat, nam et hominem idoneum defuisse nec populo vagabundo regem convenisse; immo potius Deum regem eorum fuisse, donec ipsi regem humanum petierint, unde primum regem ex alia tribu fuisse, alterum ex tribu Iudae tunc demum datum esse cum procacitatis eos paeniteret; denique cum servituri essent idolis Canaanitarum, regem peccati eius testem melius afuisse. sed rationem Moyse digniorem inde peti posse, quod Moyses typus Legis fuerit, Iosue Salvatoris.

Ἀπορίαι

Εἰ πᾶσαν τὴν ἱστορίαν διὰ τοῦ θεσπεσίου Μωϋσέως διδασκόμεθα, ὅση τε τοῦ κόσμου δημιουργὸν τὸν θεὸν ἀνακηρύττει καὶ ὅση τῶν πρὸ νόμου καὶ ἐν τῷ νόμῳ
5 *θεοφιλῶν τε καὶ μακαρίων ἀνθρώπων τὰς πράξεις ἀναφαίνει, ἓν δὲ καὶ τοῦτο τῶν ἱστορημένων, ἡ κατὰ τὸν ἱερόν φημι Ἰακὼβ θεοκλυτία καὶ ὅσα ἐκείνῳ περί τε τῶν ἄλλων παίδων, μάλιστα δὲ περὶ Ἰούδα πεφήμισται, ʽοὐκ ἐκλείψει' θειάζοντι ʽἄρχων ἐξ Ἰούδα οὐδὲ ἡγούμενος ἐκ*
10 *τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται', δι' ἥντινα τὴν αἰτίαν αὐτὸς οὗτος ὁ θειότατος Μωϋσῆς τῆς δημαγωγίας ἐπειλημμένος οὐκ ἔδωκεν ὁδὸν τῇ τοῦ προπάτορος προφητείᾳ ἀπὸ τῆς Ἰούδα πατριᾶς εἰς ἄρχοντα μετὰ τὴν ἑαυτοῦ τελευτὴν καταστήσας, ἀλλὰ τῷ Ναυὶ Ἰησοῦ τὰς*

6–10 Gen. 49, 10 ‖ **10**—p. 328, 2 Num. 27, 15–23; Deut. 34, 9

52 Heinrici 855–857 [15–17]

τῆς ἀρχῆς ἐνεχείρισεν ἡνίας; τοῦτο γὰρ οὐ μόνον βεβαιοῦντός ἐστιν, ἀλλὰ καὶ σφόδρα τὴν πρόρρησιν παραγραφομένου. εἰ γὰρ ἑτέρῳ μὲν ὁ χρησμὸς γένει τὴν ἀρχὴν ἀποκληρῶν φαίνεται, ἄλλοις δ' ὁ τοῦτον ἡμῖν εἰσηγούμενος δίδωσι ταύτην, τί ἂν ἄλλο γε τοῦτο ἢ κόμπον ἄλλως 5 ὀδόντων καὶ ψιλὰς συλλαβὰς τὴν ἱστορίαν καὶ τὴν κατ' αὐτὴν προφητείαν ἀποφαίνειν; εἰ δέ τις τὸ μὴ καιρὸν ἐπιτήδειον εἶναι τότε δέξασθαι τὸν χρησμὸν τὴν ἔκβασιν προκομίζοι, λέγειν μὲν ἄν τι οὗτος οἰηθείη, μὴ μέντοι γε καὶ τὴν αἰτίαν ἐπιτιθεὶς οὐκ ἐκτὸς τοῦ μὴ καιρίως βάλλειν 10 πεσεῖται. ἔστι γὰρ οὐδ' ὅ τι τῶν γινομένων ἀναίτιον, εἰ καί τινα τὴν ἡμετέραν ἐκφεύγει κατάληψιν, ἤτοι τῷ ἐκεῖσε ἡμῖν ἀποκεῖσθαι κατὰ τὸν τῆς φύσεως ἀνακαινισμόν τε καὶ τῶν κρειττόνων ἐγκαινισμόν, εἴπερ μὴ παρέργως τισὶ τὸ τοὺς οὐρανοὺς ὄψεσθαι τῶν τοῦ θεοῦ δακτύλων ἔργα παρὰ 15 τῷ θεοπάτορι ἀνέγνωσται, ἢ καὶ τῷ μὴ φύσεως λαχόντας ἐντρεχεστέρας ἡμᾶς ἀμβλυώττειν περὶ τὴν εὕρεσιν τῆς ἀληθείας, ὅπερ οἱ τὰς κόρας δειλοὶ πάσχουσι τῶν ὀμμάτων πρὸς τὰς τοῦ ἡλίου αὐγάς.

Λύσεις 20

Πρῶτον, ἵνα μὴ δόξῃ χαρίζεσθαι τῷ προπάτορι καὶ τοῖς πολλοῖς ταύτην ὑπόνοιαν ἐμποιήσῃ καὶ τὴν προφητείαν οὐκ ἀφ' ἑαυτῆς ἔχειν τὴν δύναμιν, ἀλλ' ἀπὸ τῆς ἑτέρων σπουδῆς.

Ἐπειθ' ὅτι μηδὲ καιρὸς ἦν κατὰ τοὺς χρόνους τοῦ 25 νομοθέτου τὸν ἐξ Ἰούδα ἄρχειν, τοῦτο μὲν ὅτι τυχὸν οὐ συνετοῦ τινὸς καὶ ῥυθμίζειν τὸν ἄρτι θεοσέβειαν διδασκόμενον ηὐμοίρει λαόν, τοῦτο δὲ καὶ τῷ μήπω τὸν Ἰσραὴλ 120ᵛ τὴν οἰκείαν ἀπολαχόντα κληρονομίαν | ἀλλὰ κατὰ τὴν ἔρημον ἀλητεύοντα οὐκ εἶναι εἰκὸς τὸ τῆς βασιλείας 30

5—6 cf. Hom. *Λ* 417; *M* 149 ‖ **14—16** Ps. 8, 4

1 *οὐ μόνον* ⟨*οὐ*⟩ Kurtz ‖ **22** *καὶ* del.? *τὸ* ci. Kurtz ‖ **27** fort. *καὶ* ⟨*δυνατοῦ*⟩

χρῆμα ἀπολαβεῖν, ἀποκεῖσθαι δὲ οὐκ ἄλλως τῷ τοῦ Ἰούδα γένει ἢ διὰ βασιλείας τὴν ἀρχήν, εἴπερ ἐπ' αὐτὸ τοῦτο τὰ τοῦ χρησμοῦ διὰ τοῦ λεοντείου σκύμνου τῆς κατακλίσεως τῶν αἰνιγμάτων ἐναπερείδεται. ποῦ γὰρ ἂν
5 *καὶ τίνων βασιλεύοι ὁ καθιστάμενος, οὔτε τόπου, οὐ πόλεως, οὐ δορυφόρων βασιλικῶς αὐτὸν περιέπειν ὑπόντων; ἅμα δ', ὃ καὶ ἀληθέστερον, βασιλεὺς αὐτῶν ὁ θεὸς ἐβούλετο εἶναι· καὶ τοῦτο δῆλον ἀφ' ὧν διὰ Σαμουὴλ αὐτοῖς ἐχρημάτισεν· ἐπειδὴ δὲ τὸ θεῖον ἐκεῖνοι παρ-*
10 *ωθούμενοι κράτος ἀνθρώπῳ τοῦτο ἐζήτησαν (ἐζήτησαν δὲ ὁπηνίκα πρὸς παντελῆ φθορὰν χωροῦντας ἑαυτοὺς ἑώρων) τότε καὶ τὰ τῆς προρρήσεως τέλος ἐλάμβανεν. εἰ δέ τις τῷ μὴ πρῶτον βασιλέα τὸν ἐξ Ἰούδα καταστῆναι τὸν λόγον ὡς οὐκ ἰσχυρὸν παρακρούοιτο, ἐκεῖνο ἐροῦμεν*
15 *ὅτιπερ ἀρχὴν μὲν ὡς τῆς οἰκείας ἀβουλίας τὴν ἐπαύρησιν, ὡς ἄν τις εἴποι ποιητὴς ἀνήρ, εὑρηκέναι βουλόμενος αὐτοὺς ὁ θεὸς τοῖς τὴν αὐτοῦ βασιλείαν ἀπαρνουμένοις δέδωκεν ἄρχοντα κατὰ τὰς καρδίας, ἐπειδὴ δὲ ἅλις αὐτοὺς ἔγνω τῆς παρανοίας ἀποτίσαντας δίκην, τηνικαῦτα*
20 *τοῦ βασιλείου γένους αὐτοῖς ἄρχοντα ἐγκαθιδρύει.*

Ἔστι δὲ καὶ ἄλλην αἰτίαν εἰπόντα οὐκ ἔξω βαλεῖν τοῦ σκοποῦ, ὡς ἐπειδήπερ ἔμελλον πρώτως τοῖς Χαναναίοις ἐπιμιγνύμενοι τὰς ἐκείνων ἀπομιμεῖσθαι φαυλοτάτας πράξεις, οὐκ ἦν βουλόμενον τῷ θεῷ ὑπὸ βασιλεῖ ταῦτα
25 *πράττεσθαι μάρτυρι, ἀλλὰ τὰ μὲν τῆς δυσσεβείας τῆς ταπεινοτέρας ἀρχῆς νομισθῆναι, τὴν δὲ τούτων κατάλυσιν καὶ ἀνατροπὴν τῷ βασιλικῷ διατηρηθῆναι ἀξιώματι. ἔχεις τούτου συνίστορα τὴν γραφήν. οὐδαμοῦ γὰρ κατὰ τὴν Δαυὶδ βασιλείαν τὸ ἐξ εἰδωλολατρείας ἄγος παρρησια-*
30 *ζόμενον, οὐμενουν οὐδὲ μέχρις ἀκοῆς τοῖς ἐξ Ἰσραὴλ ἐμπολιτευόμενον ἀνιστορήσεις.*

Ἀλλ' αὗται μὲν αἱ τῆς ἀπορίας εὔποροι ἀναπτύξεις τῷ γράμματι προσκαθήμεναι, αἳ καὶ ἴσον ἀφεστηκυῖαι τοῦ

2–4 Gen. 49, 9 ‖ **7–9** 1 Reg. 8, 4–7 ‖ **13** ib. 9, 1–2 ‖ **15–16** Hom. *Α* 410

τύπου τε καὶ τῆς ἀληθείας καὶ μικρὰ τὸν ἐμὸν Ἰσραὴλ τῷ ταπεινῷ καὶ περιπεζίῳ ψυχαγωγεῖ. ὅθεν εἰ μέλλοιμέν τι νεανικὸν καὶ γενναῖον καὶ τῆς τοῦ σοφωτάτου Μωσέως ἐπάξιον διανοίας ἐρεῖν, μᾶλλον δὲ τοῦ δι' ἐκείνου ταῦτα πραγματευσαμένου θεοῦ, ἐκεῖνο εἰπεῖν ἔχομεν ὅτι τύπος 5 *μὲν ὁ Μωϋσῆς τοῦ νόμου, ὡς πολλαχόθεν τοῦτο μαθεῖν ἔχομεν, ὁ δὲ τοῦ Ναυὶ τῷ ἐμῷ Ἰησοῦ, οὐχ ὅτι μόνον ὁμώνυμος, ἀλλά τισι καὶ ἄλλοις, οἷς ἐπὶ σχολῆς οἵ γε μὴ τῷ πνεύματι πάντη πλανώμενοι ῥᾳδίως ἂν ἐπιβάλοιεν· καὶ μάλισθ' ὅτι καὶ οὗτος ἀπὸ Ἰορδάνου τῆς κατ' αὐτὸν ἡγε-* 10 *μονίας ἀπάρχεται. ἐπειδὴ τοίνυν Μωϋσέως ἀγνώστως τοῖς ἄλλοις ἀνθρώποις ἐναποψύξαντος, καὶ δή γε καὶ χωρίοις,* 121r *τῷ τοῦ Ναυὶ ἅτε οἰκειοτάτῳ | τούτου περιελείπετο τὰ τῆς δημαγωγίας, δέχεται τὸ τηνικαῦτα τὴν ἀρχὴν εἰκότως ὁ Ἰησοῦς. ἔδει γὰρ τοῦ νόμου ἀνεπαισθήτως τοῖς πολλοῖς* 15 *καταπαύσαντος, ἀφ' οὗ δὴ καὶ Ἰουδαῖοι ἔτι περὶ τὴν τούτου τήρησιν κατατρίβονται, καὶ τὸν τῆς ζωῆς ἀρχηγὸν Ἰησοῦν τῷ ἤδη πρὸς θεοσέβειαν παιδαγωγηθέντι λαῷ τῆς ἀποκειμένης κατάρξαι κληροδοσίας, οὐκ εἰς γῆν εἰσάγοντα Χαναάν, ἀλλ' εἰς τὴν ἁγίαν τῷ ὄντι γῆν, ἧς ἐπιβαίνειν ὁ* 20 *τυπικὸς Ἰησοῦς νεκρῷ καὶ χαμαιζήλῳ φρονήματι τῷ τῶν ὑποδημάτων συμβόλῳ πρὸς τοῦ στρατηγοῦντος τὸν κατ' αὐτὸν ἀπείργεται πόλεμον.*

9 Is. 29, 24 || **20–23** Ios. 5, 15

53

Ἀπορία, τί βούλεται δηλοῦν ὁ προφήτης Δαυὶδ διὰ τοῦ ʿΚαταβήσεται ὡς ὑετὸς ἐπὶ πόκονʾ

Verba Psalmistae (71, 6) „descendet sicut pluvia super vellus" exponens negat de occulto Verbi descensu haec dici, de quo scierint non angeli solum, sed etiam diaboli, auctore libro „De oraculis in Perside datis", quem se iuvenem legisse dicit; re quidem vera vellus Matrem Dei significare.

Οὐ τὸ λανθάνον καὶ ἀνεπαίσθητον τῆς τοῦ θεοῦ λόγου
5 *καθόδου καὶ οἷον ἀψοφητί, ὡς ἂν αὐτοὶ φαῖεν οἱ πρὸ ἡμῶν ἅπαντες ἐξηγηταί, καὶ ὁ τὰ θεῖα δὲ τῷ ὄντι φοιβάζων τοῦτο βουλόμενος παριστᾶν οὕτω προήνεγκε τὸν χρησμόν. ἔγνωστο γὰρ οὐ ταῖς ὑπερκοσμίοις μόνον δυνάμεσιν, εἴπερ τοῖς αὐτοῦ πρὸς τὴν παρθένον λόγοις ἱκανὸς τεκμηριῶσαι*
10 *ὁ Γαβριήλ, ἀλλ' ἤδη καὶ ταῖς εἰς ἀντίπαλον μοῖραν ἐξ αὐθαδείας ἀποκεκριμέναις ὑπερβολῆς, ὥς πού τις τῶν τὰς παλαιὰς διηκριβωκότων ἱστορίας ἀνέγραψεν ʿΠερὶ τῶν κατὰ Περσίδα χρησμῶνʾ οἶμαι τῷ λόγῳ τὴν ἐπιγραφὴν παρασχών· ἀφείλετο γάρ με τῆς τρανεστάτης μνήμης ὁ*
15 *χρόνος, οἷα δὴ νέῳ μοι κομιδῇ τὰ τῆς ἀναγνώσεως τούτων πεποιημένῳ. χωρὶς δὲ τῶν εἰρημένων συλλάβοιτ' ἂν ἀποχρώντως τῷ λόγῳ καὶ τὸ λοιπὸν καὶ συναφὲς τοῦ*

14–15 mg. σῃ(μείωσαι).

2–3 Ps. 71, 6 || **4–6** Theodoret. Comm. in Ps., PG 80, 1433 A 1–12 || **8–10** Luc. 1, 26–38

53 Heinrici 858–859 [18–19] || **11** ὑπερβολῆς Kurtz: -ῇ M

θειάζοντος· οὐδὲ γὰρ μαχόμενα χρᾶν καὶ ἀπηρτημένα τὴν πάντα νοῦν ὑπερέχουσαν εἰρήνην νοῦν τις ἔχων ἀνέξεται. εἰ γὰρ καὶ ἀψοφητὶ κάτεισιν ἐπὶ τὸν πόκον ὁ ὑετός, ἀλλ' οὖν ἥ γε σταγὼν σὺν ψόφῳ πάντως ἐπὶ τὴν γῆν. οὔκουν ἀνεξ-έλεγκτα τὰ τῶν φθασάντων, καὶ τοῦτο εἰδεῖεν ἂν ἀκριβῶς 5 *οἷς ἀνερευνᾶσθαι τὰ τοιαῦτα σχολὴ καὶ ἐπιμελές.*

Ταύτῃ τοι ζητητικώτερον τῷ προκειμένῳ κεκινημένος καὶ καθόσον ἡ τοῦ πεπιστευμένου ἐπιμέλεια ταλάντου τὴν ἀντίδοσιν ἐπεμέτρησεν, οὐ φαύλως ἐμοὶ δοκεῖν οὐδ' ἀστό-χως τοῦ χρησμοῦ παρηνέχθην. πόκος γὰρ ἡ πανάμωμος 10 *τῷ προπάτορι κατωνόμασται ὡς ἐκείνων ἀπόμοιρα γένους τυγχάνουσα οὓς προβάτων δορὰ τῆς ἐξ ἀκρασίας γυμνώ-σεως τὴν ἀρχὴν περιέστειλεν· ἅμα δὲ καὶ ἵν' ἐπ' αὐτῇ τὸ δι' ἐκείνην πραγματικῶς πόρρωθεν τῷ Γεδεὼν ὑπο-σημαινόμενον ἐκφανθῇ τελεσιουργούμενον. ὡς γὰρ ἐκεῖ* 15 *τῆς ἅλω ξηρᾶς καὶ ἀνίκμου καταλειπομένης ὁ πόκος μόνος ἑωρᾶτο διάβροχος, οὕτω καὶ αὕτη αὐχμῶντος ἐνδείᾳ τῆς θείας ἐπιρροῆς τοῦ ἀνθρωπείου φύλου μόνη τῶν πάντων* 121ᵛ *τὴν θείαν ἀρδείαν πεπλούτηκεν. εἰ δ' ὅτι | καὶ θάλπειν πέφυκεν ὁ πόκος διὰ τοῦτο τὴν ἀπειρόγαμον οὕτω προτε-* 20 *θεσπίσθαι διαγορεύοιμεν ἅτε δὴ τοὺς ἀγόνῳ κρυμῷ τῆς πλάνης κατασχεθέντας θάλψει θεογνωσίας πρὸς γονίμους τελεσφορίας θείων ἀρετῶν τῷ ἑαυτῆς ἐπανάγουσαν τόκῳ, εὐγνώμοσιν ἀκοαῖς ταῦτα παρατιθέμενοι οὐκ ἔξω τοῦ εἰκότος πίπτειν ὑποληφθείημεν.* 25

1–2 Phil. 4, 7 || **8–9** Mt. 25, 14–30 || **11–13** Gen. 3, 21 || **13–17** Iudic. 6, 36–38

3 *νίετός* **M** || **13** *αὐτῇ*] *-ῇ* ex *-ὴν* **M**

54

Τοῦ αὐτοῦ πρὸς τὸ ὑπὸ τοῦ δυσσεβοῦς Λουκιανοῦ λήρημα ὡς φθονερόν ἐστι τὸ θεῖον

Hoc scholium ad Luciani Iov. trag. 47–49 ab Aretha olim adscriptum in codicibus Luciani non exstat. demonstrat haud deesse huic mundo ordinem et iustitiam, deceptum vero esse Lucianum eo quod bona externa pro veris habuerit. Deum non invidere bonis hominum, immo vero invisurum fuisse si talia sola dedisset.

Καὶ τί τῶν ἀσυμφόρων, κατάρατε, ὁ καλὸς οὗτος διετάξατο κυβερνήτης; ἢ ὅ σοι φεύγει τὴν αἴσθησιν οὐδ'
5 *εἶναι τὴν ἀρχὴν ὁμολογεῖται; ἀλλ' εἰ τοῦτο, οὐδὲν μὲν πλέον ἕξει τοῦ ἀποτελέσματος ὁ τεχνίτης, κενὸν δέ σοι καὶ τὸ σῶμα ψυχῆς, ὅτι μὴ κατὰ ταὐτὰ τοῖς οἰκείοις ἀεὶ μέλεσιν ἐνεργεῖ ἀλλὰ τῇ χρείᾳ συμπεριάγει καταλλήλως τὰ ὄργανα· οὔτε γὰρ ὀφθαλμῷ συμφέρον ἀτενὲς διὰ παντὸς*
10 *ἐνορᾶν οὔτε χειρὶ τὴν αὐτὴν χώραν καταλαμβάνειν ἢ τοῖς δακτύλοις τὸ συνεσπάσθαι μόνον καὶ ἐξηπλῶσθαι. εἰ δὲ καὶ στρατοπέδῳ ποτὲ περιέτυχες, ἆρά γε, καίτοι πάντες ἄνθρωποι, πάντας αὐτοὺς εἶδες ἐπὶ τῆς πρώτης τάξεως ἐφεστῶτας ἢ τοῖς αὐτοῖς τεύχεσιν ἐπαρηρότας, ἀλλ' οὐχὶ*
15 *τὸν μὲν ἐπὶ τῆς φάλαγγος τὸ γενναῖον ἐπιδεικνύντα, τὸν δὲ κατὰ βάθους γνωριζόμενον, τὸν δὲ τὸ δεξιὸν κέρας ἔχοντα, τὸν δὲ {τὸν} οὐραγόν, ἢ ὡς ἂν οὖν ἡ τάξις μετὰ τοῦ καιροῦ δίδωσι, καὶ ἐφιστάμενον καὶ ἐφορμῶντα τοῖς ἀντιπάλοις;*

1–2 Lucian. Iupp. trag. 47; cf. Herod. 1, 32, 1

54 Rabe[1] 644–646; id.[2] 78–82 ‖ **2** *ἐστι* ci. Rabe: *ὅτι* **M** ‖ **7** *κατὰ ταὐτὰ* Rabe: *κατ' αὐτὰ* **M** ‖ **14** *αὐτοῖς* Rabe: *-ῶν* **M** | *ἐπαρηρότας* Diels, Kurtz: *ἐπανηρότας* **M** ‖ **17** *τὸν* del. Brinkmann; *ὄντα* ci. Kurtz | *οὖν* dub., s. l. **M**

ἀλλ' οὐ τὸν μὲν σφενδόνῃ, τὸν δὲ παλτῷ, εἰ τύχοι, ἄλλον οὐ σύ γε πάντως ἐρεῖς κοντῷ μακρῷ, ⟨ἑτέρῳ⟩ ἕτερον εἰς τὸ νικᾶν προθυμούμενον, καὶ τῷ μὲν γυμνῷ θώρακος ἀριστεύειν ὑπόν, τὸν δὲ κατάφρακτον τοῖς ἐχθροῖς συμπλεκόμενον; ἆρ' οὖν ἔσθ' ὅστις λογισμοῦ κύριος διαστασιάζοντας ἀλλήλοις εἴποι γε τούτους ὁρῶν ἢ τῷ διαφόρῳ τῆς ἐνεργείας τὸ ἄτακτον τούτοις ἢ τὸ ἀπρομηθὲς ἐπικαλεῖν ἔχοι τῷ στρατηγῷ ὡς οὐχὶ πάντας τῆς αὐτῆς ἀξιώσαντι τάξεως; ἐγὼ μὲν οὐκ οἶμαι, εἰ μὴ καὶ προσεπαινέσεται τοῦτον, τῇ ποικιλίᾳ τῆς τάξεως καὶ τῷ δοκοῦντι ἀτάκτῳ τε καὶ ἀλυσιτελεῖ τὸ ἐν πολέμοις ἄμαχον κατορθοῦντος. σὺ δὲ τοσοῦτον ἐλλεβόρου προσδέῃ καὶ οὕτω κορύζης περίπλεως εἶ καὶ προσδεόμενος τιθῆς, ἥ σε ἀπομύξει, καλῶς ἐκείνη γε νήπιε ποιοῦσα, ὥστε τὴν ἀνθρωπίνην ζωὴν καὶ τὸ ταύτης εὔδαιμον ἐν τῇ τοῦ λαιμοῦ τίθεσθαι ἀπολαύσει καὶ τῶν κατὰ σῶμα ἡδέων· χοιρώδης ὡς ἔοικεν ἄνθρωπος εἶ, γαστρὶ τὸ ἀγαθὸν περιορίζων καὶ πλέον οὐδὲν οἰόμενος τῶν παρόντων ἀλλὰ συγκαταλύειν τῷ βίῳ καὶ τὴν ψυχήν. τοιούτῳ δ' ἀνδρὶ οὐδεὶς φθόνος καὶ τούτων ἀλογιστότερα τερατεύεσθαι.

Καίτοι γε – εἰρήσεται γὰρ οὐχ ἕνεκά γε σοῦ ἀλλὰ τῶν ἐντυγχανόντων – οὐδὲ ταῦτα ἃ διακομίζεις γενναῖά σου καὶ σοφὰ ὑποδείγματα τοσοῦτόν σοι τὸ βούλημα κατανύσει ὅσον προσίσταται καὶ εἰς τὸ ἐναντίον περιτρέπει τὰ πράγματα. εἰ γάρ σοι ἡ κατὰ τὸν παρόντα βίον εὔροια τῶν πραγμάτων τῆς ἀνθρωπίνης ἀρετῆς ἀντάλλαγμα ὑπισχνεῖται καὶ τοῦτο μόνον τὴν πρόνοιαν ἐμπεδοῖ καὶ διὰ τοῦτό σοι Καλλίας μὲν καὶ Σαρδανάπαλος καὶ εἴ τις κατ' ἐκείνους ἁβρὸς καὶ ἀκόλαστος καὶ ὑπὸ τρυφῆς διαρρέων παρὰ πάντα

12–13 Plat. Reip. I 343a 3–8

1 *σφενδόνῃ* Rabe: *-ην* **M** || **2** ante *πάντως*] *μᾶλλον* ind. **M** | *ἑτέρῳ* add. Wk (*ἕτερον ⟨ἑτέρως⟩* ci. Kurtz) || **3** *γυμνῷ θώρακος* Rabe: *γυμνοθώρακος* **M** || **9–10** *ἐγὼ — τάξεως* mg. add. **M** || **21** *γε σοῦ* Rabe: *γέ σου* **M** || **24** *προσίσταται* Kurtz: *προΐσταται* **M**: *προΐστασαι* ci. Rabe || **28** *καὶ*[1] Rabe: *γὰρ* **M** | post *τις*] *ἄλλος* ind. **M**

τὸν βίον τῆς τοῦ παντὸς ἐποπτείας τὸν σοφὸν ἀπελαύνουσι κυβερνήτην, λέγεις μέν τι, οὐ μέντοι γε καὶ ὅσον σοφὸς ἂν οἰηθείη ἀνήρ. οὔτε γὰρ τὸ κατάρρουν τι συμφέρεσθαι τὴν τύχην ἀνθρώπου ἀρετῆς ἀμοιβή (ἢ γὰρ ἂν οὐδεὶς τὸ
5 παράπαν ἀρετῇ προεῖχε Σαρδαναπάλου) | οὔτε τὸ πένεσθαι 122r
πονηρᾶς καὶ ἀνοσίου τεκμήριον βιοτῆς· τί γὰρ ἂν Σωκράτους ὀλεθριώτερον ἢ μοχθηρότερον ἐπ' αὐτὸ τὸ τῆς ἀπορίας βάραθρον κατεσπασμένου; ἀλλὰ τὰ μὲν ἀδιάφορα, καὶ εἴ τί σοι ταῦτα σφάλλει τὴν πρόνοιαν, ἐπανορθούτω
10 πάλιν μυρίων μὲν πονηρῶν κολαζομένη κακοπραγία, οἵ γε δὴ μέχρι τυμπάνων καὶ βρόχων προάγονται καὶ σταυρῶν ἀκουσίων καὶ εἴ τι ἄλλο κολαστήριον ὑπολείπεται ὄργανον, ἀμυθήτων δὲ ἀνδρῶν ἀγαθῶν εὐποτμία, οἷς γε οὐ μόνον τὸ παρὰ πάντων τῶν ἄλλων κατὰ τὰ παρόντα σεβάσμιον
15 ἀπέχρησε (τοσοῦτον αὐτῶν τὸ παρὰ πᾶσι ζηλωτὸν καὶ μακάριον), ἀλλά γε δὴ καὶ δικασταὶ τοῖς ἐν Ἅιδου ἀνθρώποις κατέστησαν, καὶ ταῦτα οὐδὲ ἠπειρώτιδός τινος γῆς οὐδὲ περιφανοῦς, ἐκ δὲ νήσων Αἰγίνης οἶμαι καὶ Κρήτης ὁρμώμενοι. οὔκουν τὸ βίου σπανίζειν κακὸν οὐδὲ τὸ πᾶσιν
20 ἐνευθηνεῖσθαι μακάριον οὐδ' ἀμοιβαὶ ταῦτα τῶν βεβιωμένων οὐδ' ἐκ παντὸς μεταδιωκτέα τοῖς σωφρονοῦσιν, οἵ γε καὶ διαβέβληνται πρὸς τὸ σῶμα σθένει παντὶ καὶ τὰς τούτου περιίστανται ἡδονὰς ὡς ἐμπόδιον σπουδαίῳ καὶ φιλοσόφῳ καὶ πόρρω πέμπειν ἀρετῆς ἐπισταμένας. οἱ δὴ
25 ταῦτα φευκτέα ἡγούμενοι πολύν σου τὸν λῆρον κατασκεδάσουσιν, εἴ γε αὐτὴν ἀξιοῖς ἆθλον ἀρίστου βίου τὴν ἀκόλαστον προτιθέναι ζωήν. τί γὰρ ἐμποδὼν ἐθελήσασι μόνον τὰ τῆς τύχης Ἀριστείδῃ μὲν καὶ Φωκίωνι δωροδοκοῦσι, Σωκράτει δὲ καταδεχομένῳ τὸ ἐκ Περσῶν ἢ
30 Ἀρχελάου βασιλέως χρυσίον; ἀλλ' οὐκ ἐποίησαν ταῦτα οὐδ' ἐγγὺς τούτων· εὖ γὰρ ᾔδεσαν τὴν ἀνειμένην ζωήν,

2–3 cf. Plat. Reip. I 329e 6–7 || 21–22 Plat. Phaed. 67e 6–7

3 κατάρρουν M; cf. p. 156, 31 | τι] τινι ci. Rabe, del. Brinkmann || 5 Σαρδαναπάλου Rabe: σαρδανάπαλος M || 12 κολαστηρίων ex -ήριον ut vid. M || 27 ἐμποδὼν Rabe: ἐκποδὼν M

οὐ μόνον οὐκ ἀρετῆς ἆθλον ἀλλὰ καὶ ἐμπόδιον τῆς ὡς ἀληθῶς ἀνθρώπου ζωῆς, παράγουσαν τὸν ἡγεμόνα νοῦν τῆς ἑαυτοῦ ἀσχολίας καὶ πρὸς τὴν ἄλογον περισπᾶσθαι βιοτὴν κατεπείγουσαν, ποτῶν καὶ σιτίων καὶ τῶν ἄλλων ἡδυπαθειῶν τὸν ἑσμὸν ὑποτιθεμένην. εἰ τοίνυν ὡς 5 *ἀνθρώποις σωφρονοῦσι ταῦτα βδελυκτά τε καὶ ἀποτρόπαια, πόσῳ, εἰ μὴ καὶ πλεῖστον ὅσον, θεὸν τούτων ὑπερανεστηκότα οὐκ ἐμπληξίας ⟨τῷ⟩ μὴ ταῦτα παρέχειν βροτοῖς τῆς τῶν γηίνων περιορίζειν προνοίας; φθονεροῦ γὰρ ἀλλ' οὐκ ἀγαθοῦ δήπουθεν δεῖγμα, οἷς ἀπρακτεῖν* 10 *πέφυκε τὰ καλά, ταῦτά γε τοῖς ἀρετὴν μετιοῦσιν ἐπιδαψιλεύεσθαι. ὁρᾷς οὗ σοι τὰ σοφά, Λουκιανέ, περιτρέπεται ὑποδείγματα; ἃ γὰρ σχολήν σοι δοκεῖ θεοῦ προνοίας περιποιεῖν, ὅτι μὴ τοῖς ἀγαθοῖς βραβεύεται τῶν ἀνθρώπων, ταῦτά σοι φθονερὸν τὸν παρέξοντα ἀποφαίνει.* 15 *ἀλλ' οὔτε φθόνου τὸ θεῖον (ἄπαγε) οὔτε τινὸς ἄλλου πάθους ἡ μόνη μακαρία τε φύσις καὶ ἀνώλεθρος ἐντὸς κατασταίη· οἷς δὲ τὸ εὐδόκιμον κατὰ ἕκαστον ἡμῶν ἀπενέγκασθαι προορᾷ, τούτοις αὐτὸν καὶ μεθίεται συγκροτεῖν. καὶ διερρύηκέ σοι, μᾶλλον δὲ περιτέτραπται, τὸ γενναῖον ὑπόδειγμα,* 20 *ὑφ' οὗ τὴν πρόνοιαν ἐπῆλθεν ἀναιρεῖν, προνοίας τὰ πάντα ἀποδεδειγμένα μεστά. εἰ δέ τινες παρ' ἑκάτερον, τὸ πλουτεῖν φημὶ καὶ τὸ πένεσθαι, κακῶς ἑάλωσαν ἀρετῇ κεχρημένοι, ἐννόησον ὁπόσον ἂν οὗτοι κάκιον διεγένοντο πρὸς τὸ τοῦ βίου ἀντίθετον μετατεταγμένοι. ταῦτά σοι* 25 *πρὸς τοὺς παρόντας λήρους, ὡς ἂν μήτ' αὐτὸς κατεπαίροιο πρὸς ἄμαχόν τινα {λόγον} ἰσχὺν διεξάγων τοὺς λόγους μήθ' οὓς βούλει ἐντὸς τῶν σεαυτοῦ καταστήσας ἀρκύων τύχης τοῦ σκοποῦ.*

2 Plat. Leg. I 631 d 5

8 *τῷ* add. Wk (*διὰ τὸ* ci. Rabe) || **10** ante *οἷς*] *ἐν* ind. **M** || **10—11** *ἀπρακτεῖν πέφυκε τὰ* Rabe: *ἀπρακτην πεφυκοτὰ* **M** || **13** *σχολὴν* mg. add. **M** || **19** *συγκροτεῖν* Rabe: *-ὴν* **M** || **26** *μήτ' αὐτὸς* Rabe: *μὴ ταύταις, -ις* ex corr., **M** || **27** *λόγον* del. Wk ut ex duplici lect. ortum: *λόγὸν* **M**: *λόγων* Rabe || **29** *τύχης* (*εῖν* supra) **M**

55

Πρὸς τὸν αὐτὸν περὶ ἑτέρων ληρημάτων

Scholium ad Luciani Iov. trag. 38; legitur in codicum Luciani familia Δ, quae recensio prior hac nostra videtur esse, nam quaedam vitia orationis in **M** orta sunt ex Δ neglegenter mutato (p. 337, 11; 338, 10; 16), id quod in Arethae scholiis et alibi fit. in apparatum eas tantum lectiones Δ recepi, quibus textus Mosquensis illustratur aut emendatur.

Cum apud Lucianum Damis Epicureus dixisset Stoicorum ordinem rerum nihil nisi necessitatem esse, respondet Arethas istam necessitatem, quippe cum ratione agentem, naturam potius vocandam esse, a sapienti Creatore constitutam.

Τίνα ταύτην φῂς ἀνάγκην, ὀλέθριε; ἔστι τις ἀνάγκη χηρεύουσα τοῦ καταναγκάζοντος; οὐκ ἂν σὺ πάντως ἐρεῖς σωφρονῶν, ὅτι μηδὲ διάθεσις τοῦ διατιθέντος ἐκτὸς
5 *μηδὲ | κίνησις, τοῦ κινοῦντος χωρίς, μὴ ὅ τι ἄν τις εἴποι* 122ᵛ
ἀποτέλεσμα τοῦ ἀποτελοῦντος. ἤτοι ἐξ αὐτομάτου ἐρεῖς ἢ οὐκ ἐξ αὐτομάτου. ἀλλὰ ταύτην γε τὴν ἀνάγκην εἰ μὲν ἐξ αὐτομάτου, πρῶτον μὲν πῶς καὶ τί τὸ αὐτόματον τοῦτο, ὃ ταῖς ῥοπαῖς προσχρησάμενον τῶν στοιχείων καὶ ταῖς
10 *ποιότησιν οὕτως ἐντέχνως καὶ καταλλήλως τὰ διὰ τούτων ἀποτελεῖ; ἢ σύ μοι ἑώρακας πώποτε φυτὰ μὴ κατὰ ταὐτὰ τὴν βλάστην ἀεὶ καὶ τὰς ῥίζας ποιούμενα ἢ μὴ τῇ παρ' ἀλλήλων διαδοχῇ τὸ ὁμογενὲς διασῴζοντα; ζῷα δὲ τίς τὸ παράπαν τεθέαται οὐχὶ κατὰ λόγον καὶ ὡς ἂν ὁ λόγος*
15 *αἱρῇ δεδημιουργημένα κἀκεῖνα τοῖς μετ' αὐτὰ τὴν*

1 Lucian. Iupp. trag. 38

55 **M**; schol. in Luc. Iov. trag. 38 – Rabe[1] 650–653; id.[2] 71–74 ‖ **11** *κατὰ ταὐτὰ* schol.: *καταυτὰ* **M** ‖ **15** *αἱρῇ* schol.: *ἐρεῖ* **M**

*ὁμοιότητα παραπέμποντα; τίς δὲ καὶ αὐτοῖς ἐνέθηκε τοῖς
στοιχείοις ῥοπὴν ἢ ταῖς οἰκείαις ποιότησιν ἕκαστον τούτων
κεράσας ταῖς αὐταῖς ταύταις καὶ μάχεσθαι παρεσκεύασεν
καὶ συνδεῖσθαι τοῖς ἐναντίοις νόμῳ φιλίας καὶ τάξεως;
οὐκ ἂν γὰρ διέσῳζε τοὺς ἑαυτοῦ ὅρους τὴν πρὸς τὸ ἕτερον* 5
*ὑποστὰν κοινωνίαν, ἀλλὰ συνδιέφθειρεν ἄλληλα τοῖς
κατακρατουμένοις ἀεὶ μέρεσιν ὁποτέρου τούτων θατέρῳ
ὑπεξισταμένοις καὶ ταύτῃ τὸ ἀλληλοφθόρον ἀπεργαζο-
μένοις· οὐδ' αὖ τὴν πρὸς τὸ ἀντίπαλον ἀνάκρασιν καὶ
αὖθις διάλυσιν κατεδέχετο μή τινος κρείττονος αἰτίας* 10
*ἠπίως συνάπτοντος ταῦτα καὶ διακρίνοντος πρὸς τὴν οἰκείαν
αὖθις ἐπανάγοντος φύσιν τοῦ συγκεχύσθαι τε καὶ συμ-
πεφύρθαι ἅμα εὐκρινῶς διαστέλλοντος. ἀλλ' ὅτι μὲν οὐχὶ
τὸ αὐτόματον τὴν σοφὴν ταύτην ἀνάγκην ὑπέστησε, δῆλον
ἐντεῦθεν καὶ ὅτῳ μικρὸν συνέσεως μέτεστι. λείπεται δὴ* 15
τὸ μὲν αὐτόματον {*τούτου*} *τῆς τοιαύτης παρωσαμένους
ἀνάγκης ἑτέραν τινὰ ταύτης αἰτίαν ἐπιζητεῖν εἱρμῷ τινὶ
καὶ λόγῳ τὸ πᾶν καταναγκάζουσαν φέρεσθαι καὶ δύναμιν
ἀκάματον τῇ προαγωγῇ τῶν ὄντων ἐντιθεῖσαν, ἣν δὴ καὶ
φύσιν οἱ τῶν ἀνθρώπων σοφοὶ καλεῖν ἐδικαίωσαν. οὔκουν* 20
*ἐξ αὐτομάτου τὰ τῆς ἀνάγκης, οὐδὲ γὰρ οὕτως εὐτάκτως
προήει τὰ παραγόμενα οὐδὲ ἀεὶ ὡσαύτως ἔχοντα, ἀλλ'
ἀνεπέφυρτο μὲν ἅπαντα καὶ συγκέχυτο καὶ ἦν ὁμοῦ, τὸ τοῦ
Δημοκρίτου, πάντα χρήματα, καθότι καὶ τὸ αὐτόματον
ἄστατον ἐν πρακτέοις αἰτίαν οἱ περὶ ταῦτα δεινοὶ ἀφορί-* 25
ζονται. ἀλλ' ὅτι μὲν οὐκ ἐξ αὐτομάτου, δῆλον ἐντεῦθεν·

23—24 Anaxag. frg. B 1 D.-K. || **24—25** cf. Ps.-Plut. Plac. 1, 29, 3

5 *ἑαυτ(οῦ)* comp. **M**: *αὐτῶν* schol. || **6** *ὑποστὰν* **M**: *ὑπο-*
κρα
στάντα schol. || **7** *θατέρῳ* schol.: *-ου* **M** || **9** *ἀνάπλασιν, -πλα-* ind., **M** || **10** *αἰτίου* Kurtz (*αἰτίας* cum participiis fem. schol.) || **16** *τούτου* del. Wk (*τοῦ μὲν αὐτομάτου τῆς τοιαύτης παρεωσμένου ἀνάγκης* schol.) | *παρωσαμένους* Wk (cf. schol.): *παρεωραμένους* **M** || **19** *προαγωγῇ* Rabe (*τὴν προαγωγὴν* schol.): *προσαγωγῇ* **M** || **21** *γὰρ* **M**: *γὰρ ἂν* schol. || **22** *παραγόμενα* schol.: *πραττόμενα* **M** || **22—23** *ἔχοντα, ἀλλ' ἀνεπέφυρτο* schol.: *ἔχοντον ἀλλανον ἐπίφυρτο* **M** || **23** *ὁμοῦ* schol.: *ὁ μὲν* **M**

τάξει γὰρ ἀμηχάνῳ κατανοῆσαι ἔνεστι τὰ γινόμενα
προϊόντα καὶ λόγῳ καταλλήλῳ ᾗπερ ἔφθημεν προβαίνοντα
εἰρηκότες, τῆς τε αὐτομάτου αἰτίας τὸ ἄλογον ἀπολύεται
καὶ τὴν ἀνάγκην οὐδὲν ἄλλο ἐπιγινώσκειν ἡμᾶς δίδωσιν
5 ἢ τὴν φύσιν τῶν ὄντων ὑπὸ σοφῷ τῷ καταναγκάζοντι
ταττομένην, ὃν δὴ θεὸν καὶ δημιουργὸν ὁ εὐσεβὴς λογισμὸς
προεστήσατο.

3 ἀναλύεται (πο suprascr.), -να- exp., **M** || 4 οὐδὲν schol.: οὐδὲ **M**

56

Ἀρέθα ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας πρὸς Νικήταν ἕνα τῶν συσχολαζόντων καὶ συνήθων οὔπω τέλεον τῇ παρακοῇ ἠχρειωμένον, περὶ τοῦ ὅτι τελεία ταῖς τῶν ἀνθρώπων γενέσεσιν ἡ λογικὴ ψυχὴ παραγομένη ὑπὸ θεοῦ τῷ διαπλασσο- 5 *μένῳ εἰσκρίνεται, καὶ οὐχ ὡς Ἀριστοτέλει δοκεῖ· καὶ ὅτι κατὰ τοῦτο καὶ τῷ θεῷ λόγῳ ἡ σωτήριος ἡμῖν καθ' ὑπόστασιν ἕνωσις γέγονεν· ὃς καὶ παραχρῆμα θεώσας τὸ πρόσλημμα ἔχρισεν, ἀλλ' οὐ τοῖς παθήμασι καὶ τῷ διὰ σταυροῦ θανάτῳ* 10 *τοῦτο τὸ τέλειον ἔσχηκεν*

Hunc tractatum, quo Christi naturam humanam inde ab initio perfectam fuisse arguit, ineunte a. 907 scripsisse videtur Arethas aut reus aut iam exsul; eam enim esse *περίστασιν* de qua loquitur p. 344, 16 eo magis crediderim quod ipse asper et acerbus alioquin amicus nunc Nicetae amicitiam tam impense expetit; titulum (et fortasse partem opusculi) postea addidit, cum Nicetas Arethae novis consiliis adversatus patriarcham et imperatorem offenderat.

Duobus locis (p. 346, 14 et 348, 26) singula folia archetypi codicis Mosquensis exciderant; lacunae inde ortae indice capitum ita explentur ut totum argumentum facile assequi possimus; est autem hoc:

„Praeteriens quidem me visisti, et paulisper commoratus es, id quod tempus cogebat; tamen amicitia, quae animorum est, absentia corporali non interrumpitur (I); itaque ex brevissimo con-

56 M^t = lemmata in tabula capitum (p. 342, 1 – 344, 14); M^m = eadem in mg. adscripta || 8 *ὃς* Wk: *οἱ* M

gressu longa utilitas percipitur (II), nam non modo alter alterum vidimus, sed aliquid serii collocuti sumus (III).

„Incidit ergo mentio loci Apostolici ubi dicit Christum per passionem consummatum esse (Hebr. 2, 10) ⟨disputavimusque et de eo loco et de alio haud dissimili (Phil. 2, 9), quomodo intelligendi sint (IV). unde prius quaesivimus de anima humana, utrum semper perfecta (h. e. rationalis) sit an gradatim perficiatur. reicienda igitur visa est opinio Aristotelis, qui existimat fetum in utero anima vegetabili gubernari.⟩ nam isto modo omnia in omnibus erunt et metempsychosi locus patebit (V). qui vero motivam vim animae, quia quiescit, et abesse volunt, quid dicent de dormientibus? (VI). ars physiognomonica quoque ostendit facultatem rationaliter creantem statim nascentibus inesse, comparandam fabro cuius ingenium operi praesidet etiam tum cum metallum et argilla et ignis operantur (VII). quod nihil horum postea meminit, tribuendum est mutabilitati materiae et naturae (VIII). ⟨imperfecta autem condicio organi non obstat quominus anima rationalis in conceptu perfecta detur, ut artifici vitium implementi non obest. si enim ei cuius habitus actione perficitur vitium organi non nocet, multo minus ei quod actione non indiget (IX). at contra si anima corpore indigeret ut perfecta esset, a corpore separari non posset, sed cum illo periret (X), neque esset incorporalis anima, si gradatim exsisteret, sed corpore quo perficitur inferior.⟩ sane fit ut impediat animam corpus, cui qui difficilius restiterit, maiore praemio afficietur (XI). sed et haec absurda sequentur: nullus locus erit crimini abortus provocati (XII); animarum ordo imperfectus erit, si sine corpore anima esse non potest (XIII); brutis animalibus similis fiet anima humana et a mundo intellectuali separabitur; denique e forma et materia composita in ea rursus dissolvetur (XIV).

„Haec de naturali parte huius quaestionis; nunc quae ad Christologiam pertinent consideremus, prius tamen illo diluto quod nobis obiciunt, *προΰπαρξιν* animarum nos inducere qui rationalem animam statim perfectam esse asseramus; at Adamum perfectum creatum esse nemo infitiari potest, quippe qui prophetiae facultate donatus eo ipso perfectissima animae condicione usus sit (XV). ut ad rem veniamus: si anima hominis cum nascitur imperfecta est, Christus non hominem induit, sed plantam, deinde animal, postremo hominem; at cum perfectus homo peccasset, perfectus homo suscipiendus erat. id spectans dixit Gregorius Nazianzenus Deum ab homine recipi potuisse per mediam animam intellectualem (XVI). sin aliter, falsus reperietur locus Isaiae 7, 16: ʻantequam sciat puer reprobare malum et eli-

gere bonum, adversabitur malitiae ut eligat bonum'; nam id quo malum reicimus ratio est. si quis vero in Christo Verbum divinum rationis humanae locum tenuisse contendat, veterem Apolinarii haeresin resuscitare conetur (XVII). falsus erit etiam Evangelista, qui Christum duodecim annos natum plenum sapientiae fuisse dicit, quam aetatem nulla lex unquam adultam iudicavit (XVIII). anima enim non paulatim crescit ut corpus; quare etiam Gregorius Nazianzenus illos Christi profectus in virtute non incrementa esse dicit, sed id quod lateret manifestius apparuisse (XIX). quod Dominus glorificatus est in monte, eodem modo interpretandum est (XX); itemque alia complura quae apud Ioannem et Paulum in eundem sensum leguntur. concludimus nec passionem Christi gloriam auxisse, nec Verbum divinum hominem imperfectum suscepisse, nec nos imperfecta anima nasci. sed si quis ad vitam restitutam hanc gloriam pertinere mavult, non gravabimur (XXI). etenim haec omnia accipi possunt de resurrectione Christi et nostra, qua ad finem perducitur Creatoris consilium. haec vero procul sunt ab eorum opinionibus qui non id agunt ut perfecto perfectius tribuant, sed qui eum profectum pretium laboris esse volunt. habeo et alia quae dicam, sed sapienti sat (XXII)."

Κεφάλαια τοῦ λόγου

α'. Ὅτι ἀναπόβλητος ἡ τῶν σπουδαίων φιλία καὶ διηνεκὴς καὶ μὴ δεομένη τῆς σωματικῆς ἐνδημίας εἰς μνήμην.

β'. Ὅτι καὶ ἡ σωματικὴ παρουσία τῶν φίλων οὐκ ἄχρηστος οὐδὲ τοῖς σπουδαίοις. 5

γ'. Ὅτι προσπορίζειν οἶδε τὰ τίμια ἡ τῶν σπουδαίων συνουσία, οὗ χάριν καὶ συμβαίνει. |

123r *δ'. Περὶ τῆς καθ' ὑπόστασιν ἑνώσεως τοῦ θεοῦ λόγου, ὅπως δεῖ περὶ ταύτης τοὺς εὐσεβοῦντας φρονεῖν· ἐν ᾧ τί* 10 *τὸ πρὸς Φιλιππησίους εἰρημένον Παύλῳ περὶ τοῦ υἱοῦ, 'ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα', ὅ ἐστιν ὁ θεός.*

ε'. Πρὸς Ἀριστοτέλη καὶ τοὺς λέγοντας φυτικῇ δυνάμει τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ διοικεῖσθαι.

10—12 Phil. 2, 9 || **13—14** Aristot. Eth. Nic. I 13, 1102 a 32–b 2

3 *μὴ δεομένη* **M**t: *μηδὲ* **M**m || **7** *γ̄* ex *καὶ* **M**t || **8** *οὗ* **M**t: *ὧν* **M**m || **10** *ὅπως* **M**m: *ὅτι ὡς* **M**t || **10 – p. 343, 25** *ἐν — σβέννυται*] deest **M**m

ϛ΄. Πρὸς τοὺς λέγοντας, ἐπεὶ μὴ σαφῶς λογίζεσθαι πάρεστι τῷ ἐμβρύῳ καὶ τοῖς νηπίοις, οὐδὲ ἔχειν τοιαύτην δύναμιν ταῦτα ὑποληπτέον.

ζ΄. Ὅτι καὶ οἱ φυσιογνωμονοῦντές φασι τὴν ψυχὴν ἐν 5 *ἑκάστῳ καταλλήλως τοῖς ἑαυτῆς ἤθεσι διαπλάττειν τὸ οἰκεῖον σῶμα.*

η΄. Διὰ τί μὴ τῶν κατὰ μήτραν μνήμην τὸ ἔμβρυον φέρει μηδὲ τῶν κατὰ τὴν νηπίαν ἡλικίαν.

θ΄. Ὅτι τελεία ἡ λογικὴ ψυχὴ ἐν τῇ συλλήψει δίδοται καὶ 10 *οὐδὲν ἡ τοῦ ὀργάνου ἀτέλεια ταύτην παραβλάπτει, ὡς οὐδὲ τὸν τεχνίτην τὸ ἐλλιπὲς τοῦ ὀργάνου· ἐν ᾧ ὅτι εἰ τὸ ἀπὸ τῆς ἐνεργείας τὴν ἕξιν οὐδὲν βλάπτει ἡ τοῦ ὀργάνου ἀνεπιτηδειότης, πολλῷ δήπου οὐ βλάψει τὸ μὴ πρὸς ἕξιν προσδεόμενον ἐνεργείας.*

15 *ι΄. Ὅτι εἰ σώματος δεῖται ψυχὴ πρὸς τὸ [ἐνεργεῖν], οὐχ οἷόν τε τούτου χωρίζεσθαι, ἀλλὰ συμφθείρεσθαι τούτῳ.*

ια΄. Ὅτι οὐκ ἀσώματος ἡ ψυχή, εἰ μεριστῶς ὑφίσταται, ἀλλ' [ἔτι] ἀτιμοτέρα τοῦ τελειοῦντος σώματος.

ιβ΄. Ὅτι καὶ ὁ νόμος μάταιος ἔσται ὁ ἐπὶ τῶν ἀμβλώσεων, 20 *οὐ γὰρ εἰς ἄνθρωπον ἡ βλάβη.*

ιγ΄. Ὅτι καὶ ἀτελὴς ὁ ψυχικὸς διάκοσμος, εἰ σωμάτων εἰς τελειότητα δεῖται, καὶ οὐδὲ τελεία πάλιν ἡ ψυχὴ τοῦ σώματος ἀναχωροῦσα.

ιδ΄. Ὅτι οὐ μόνον ἀτελὴς ἡ οὕτω παραγενομένη, ἀλλὰ καὶ 25 *πάμπαν ἀποχωροῦσα τοῦ σώματος σβέννυται.*

ιε΄. Πρὸς τοὺς λέγοντας, εἰ τελεία ἡ λογικὴ τῇ κυήσει καταπέμπεται, ἀνάγκη προϋπαρξιν ψυχῶν πρεσβεύειν.

ιϛ΄. Ὅτι ἄτοπον ἐπὶ τῆς καθ' ὑπόστασιν ἑνώσεως εἰ ἀτελεῖ ψυχῇ ταύτην λέγουσιν ἐγγίνεσθαι.

30 *ιζ΄. Ὅτι καὶ ψευδὴς ὁ προφητικὸς λόγος Ἡσαΐου, εἰ ἀτελεῖ ψυχῇ ἡνώθη ὁ θεὸς λόγος.*

30 Is. 7, 16

12 fort. *ἕξιν ⟨τελειοῦν⟩* || **15** *τὸ [ἐνεργεῖν]* **Wk**: *το* et spat. vac. 6 litt. M^t || **18** *ἔτι* **Wk**: spat. vac. 6 litt. M^t || **28** *ἄτοπον ἐπὶ τῆς* M^m: spat. 2 litt. et *ἐν τοῖς* M^t | *εἰ* M^t: *ἐν* M^m || **29** *ἀτελεῖ ψυχῇ* M^m: *ἀτελῆ* et spat. 4 litt. M^t | *λέγουσιν ἐγγίνεσθαι* M^t: *λέγομεν γεγενῆσθαι* M^m

ιη'. Ὅτι καὶ τὸ τοῦ θείου Λουκᾶ διαβάλλεται, ὃς ἱστορεῖ δωδεκέτη τὸν κύριον συνετώτατον, εἰ ἀτελεῖ ψυχῇ κατ' ἀρχὰς ἡνώθη θεός.

ιθ'. Ὅτι οὐκ ἔμφρον σωματικῶς τὴν ψυχὴν ὑποτίθεσθαι αὐξουμένην καὶ οὕτω τὰς ἀπὸ τοῦ θεοῦ λόγου δέχεσθαι τῆς 5 θεώσεως ἐλλάμψεις.

κ'. Ὅτι καὶ ἡ ἐν τῷ ὄρει λάμψις τοῦ μονογενοῦς διαβάλλεται, εἰ διὰ τῶν παθημάτων τετελείωται.

κα'. Ὅτι τελεία μὲν ἡ τοῦ κυριακοῦ ἀνθρώπου ψυχὴ ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει καὶ τελείως τεθέωτο, ὡς 10 ἐχώρει τὸ ὑποκείμενον, τελεώτερον δὲ μετὰ τὴν ἀνάστασιν ἔσχε τὰ τῆς θεώσεως.

κβ'. Τί τὸ παρὰ τῷ ἀποστόλῳ βούλεται δηλοῦν, τὸ διὰ τῶν παθημάτων τετελειῶσθαι τὸν κύριον.

α' Ὀλίγη μὲν καὶ ἐλαχίστη καὶ κατὰ πάροδον ἡ παρ' 15 ἡμᾶς ὑμῶν ἐνδημία — ἡ γὰρ ἀνάγκη τῆς περιστάσεως παρεμέτρει τὴν ὁμιλίαν — ἀλλὰ παροδικὴ τοῖς ὀστρεώδεσι περιβλήμασι, τόπῳ διατειχίζεσθαι πεφυκόσι καὶ ταῖς 123v ἐμπτώσεσι μόναις τῶν | συγγενῶν χαρακτήρων τὸ πᾶν τῆς ἑαυτῶν συνηθείας διοικουμένοις. τῷ γάρ τοι μέρει 20 τῆς κρείττονος μοίρας, καθ' ἣν τὸ εἶναι ἀνθρώπῳ καὶ τὸ πρὸς τοῦτον ἀφομοιοῦσθαι καταπλουτεῖν περιγίνεται ὃς ἀγαθότητί τε τοσοῦτον ὑπεστήσατο ζῷον καὶ τῇ πρὸς ἑαυτὸ ἐπιστροφῇ καὶ συννεύσει τὴν πρὸς τὸ θεῖον ἴνδαλμα ἀποτελεῖσθαι παρέσχετο δύναμιν, οὔτ' ἄν τι τῶν ἔξωθεν 25 προσδεηθείη κατὰ τὰς τοιαύτας χρείας, ἀλλ' οἴκοθεν νοερῶς ἀφορμώμενον καὶ παρ' ἑαυτοῦ λήψεται (ἄλλον γὰρ

15 mg. α' Ὅτι ἀναπόβλητος ἡ τῶν σπουδαίων φιλία καὶ διηνεκὴς καὶ μηδὲ τῆς σωματικῆς ἐπιδημίας εἰς μνήμην.

1–2 Luc. 2, 41–52 ‖ **7–8** Mt. 17, 1–8; Mc. 9, 2–8; Luc. 9, 28–36 ‖ **13–14** Hebr. 2, 10 ‖ **27** — p. 345, **1** Aristot. Eth. Nic. IX 4, 1166a 31–32; Hermias in Phaedr. 192, 10–11 Couvreur

1 καὶ **M**[m]: om. **M**[t] ‖ **2** διωδεκέτη (sic) τὸν κ- **M**[t]: τὸν κ- δωδεκέτη **M**[m] ‖ **4** οὐκ ἔμφρον **M**[m]: οὐ δίκαιον **M**[t] | ψυχὴν **M**[t]: om. **M**[m] ‖ **5** αὐξουμένην **M**[t]: -ομένην **M**[m] ‖ **11** μετὰ **M**[t]: διὰ **M**[m] ‖ **12** θεώσεως] de **M**[m] v. infra p. 360, 30–32

ἑαυτὸν τοῦτον τὸν φίλον ἐπίσταται, οὐκ ἂν δέ τις αὐτὸν ἐν τοῖς ἄλλοις ἐπιζητοίη) οὔτ' ἀπολήγουσαν ἢ διατεμνομένην ἕξει τὴν μνήμην τῶν φιλουμένων, ὅτι τε μηδὲ αὐτοῦ τινὰ ἐκλαθεῖν ἔνεστι, καὶ ἄλλως δὲ πάλιν ὅτι συνεχῆ τὴν
5 νοερὰν κίνησιν ἴσμεν τῇ πρὸς ὃ τῆς φορᾶς ἀπεικάζεται ἰδιότητι καὶ οὐδενὶ διακόπτεσθαι εἰωθυῖαν τῶν ἑτερογενῶν καὶ ἐκφύλων. ἀλλ' ὅτι μὲν διηνεκὴς καὶ ἀναπόβλητος τῷ κρείττονι μέρει καὶ τῇ ἐνταῦθα ἑνοειδεῖ ζωῇ τῶν κατ' αὐτὴν συμβιβαζομένων ἡ ἱερὰ μνήμη, ἱκανῶς οἶμαι ὁ λόγος
10 ὑπέμνησεν.

Ὅτι δὲ καὶ ἀπὸ βραχυτάτης ὤνησεν οὐ τῷ τυχόντι τῆς β' παρουσίας τὸ χαμαὶ ἐρχόμενον ἡμῶν εἴδωλον καταλλήλως τῇ μεριστῇ βιοτῇ, ἐκ τούτων ἤδη καταφανὲς γένοιτ' ἄν. οἷον γάρ τι περὶ τὰς ἀστραπὰς συμβαίνειν φιλεῖ, αἳ τῷ
15 τάχει μὲν περιλάμψασαι τὰς ὄψεις ἀπέρχονται, τὸ κάλλος δὲ τοῦ φωτὸς μετὰ τοῦ θάμβους ἐναπέλιπον ταῖς τῶν τεθεαμένων ψυχαῖς, τοιοῦτό τι καὶ περὶ τὰς τῶν φίλων σωματικὰς ἀποδημίας πάρεστι κατιδεῖν· οἱ μὲν γὰρ ἀπίασιν, ἡ δ' ἀπ' αὐτῶν ἐναποκάθηται ἡδονή, οὐκέτ' ἐν
20 ὅροις ὡς τὸ πρὶν μένουσα, ἀλλ' ὑπερχεομένη λοιπὸν καὶ σώφρονι φερομένη μανίᾳ καὶ περὶ τῷ φίλτρῳ βακχεύουσα, τοσούτῳ πλέον ὅσῳ καὶ τῷ ἀπεῖναι τὸ ἐμποιῆσαν ποθεῖται τὴν ἡδονήν, καὶ περὶ τὴν αὐτοῦ αἴσθησιν ἀνακινεῖσθαι καὶ ἀναφλέγεσθαι ἡ κατὰ τὴν ῥέουσαν ταύτην ζωὴν ἀναπείθει
25 συνήθεια. καὶ ἴδοι τις ἂν οὔποτε ταύτην ἀφιπταμένην, ἔστ' ἂν ἀρετῆς τε μέλον ἡμῖν καὶ εἴ τι κατὰ ταύτην τὸν ἐπαινετὸν τοῦτον δεσμὸν καὶ μακάριον ἀπειργάσατο. ἀλλὰ τὰ μὲν ἐπὶ τοσοῦτο πεφιλοπονήσθω τῷ λόγῳ καὶ πεφιλοσοφήσθω, ὅτι μηδὲ περαιτέρω καιρὸς ταῦτα
30 σοφίσασθαι.

Ἐπεὶ δὲ τὴν τῶν τοιούτων ἀξιέπαινον συντυχίαν ἔδει μὴ γ'

11 mg. β' Ὅτι καὶ ἡ σωματικὴ παρουσία τῶν φίλων οὐκ ἄχρηστος τοῖς σπουδαίοις. || **31** mg. γ' Ὅτι προσπορίζειν οἶδε τὰ τίμια ἡ τῶν σπουδαίων συνουσία, ὧν χάριν καὶ συμβαίνει.

1 τοῦτον] fort. τοῦτο || **3** fort. μηδ' ἑαυτοῦ || **28** τοσοῦτο Wk: τοσούτῳ **M**

μέχρι ψιλῆς τῆς ἐμφανείας τῶν αἰσθητῶς διαμορφούντων τύπων προβῆναι, ἀλλά τι καὶ προσπορίσαι οἷον ἐμπόρευμα σεμνόν τε καὶ τίμιον, τοιαῦται γὰρ αἱ τῶν σοφῶν συνουσίαι· καί μοι μηδὲν ἀλαζόνος ἤθους ἐπικαλείσθω, χρῆναι γὰρ οἶμαι, καὶ δὴ δεδόσθω, οὐδὲ γὰρ φθόνος πάντως βραχύ τι 5 *τῆς φιλίας παραπολαύειν – ἐπεὶ τοιγαροῦν ταῦτα, καὶ κωφὸν οὐκ ἐνῆν τὸ συνάντημα παρελθεῖν, κεκίνηνται λόγοι ἄλλοι τε πολλοὶ καὶ καλοί, ὧν τίς ἂν με θείη κατὰ μῆνα, τὸ τοῦ δικαίου Ἰὼβ ἐποικτίσασθαι, καὶ δή γε ῥέων ὁ λόγος παρέφερε μεταξὺ τὸ διὰ παθημάτων τετελειῶσθαι* 10 *τὸν ἀρχηγὸν τῆς ζωῆς ἡμῶν θεάνθρωπον Ἰησοῦν.*

δ′ *Ὑφ᾿ ὃ πολλὰ μὲν διαλαχόντες ἀλλήλοις, οὐκ ἔστι δ᾿ εἰπεῖν ὅσον διαμφισβητήσαντες τῆς τοῦ προκειμένου ἀναμαρτήτου ἐννοίας, ὅπερ οὐκ ἔρις*

*   *   *   *   *   *

124v *μὴ ἔχοντι ταύτῃ οὐδὲν εἰς ἀναίρεσιν ἐκ φυτοῦ ἄνθρωπον* 15 *μεταμείβεσθαι, ὡς μηδὲ τεράστιον ἔτι δόξαι τὸ ἐπὶ Δάφνῃ μυθολογούμενον, ἀντιδιδούσαις ὡς ἔοικεν ἀλλήλαις τῶν φύσεων, ὥστε μὴ χρέους θατέραν ὑπὸ τῆς ἄλλης διώκεσθαι. καὶ τί τὸ ἐντεῦθεν; σύγχυσιν οἶμαι καὶ αὐτοματισμὸν παρεισφθείρεσθαι τῇ κτίσει καὶ ἀταξίαν, οὐκέτι τῶν ὄντων* 20 *ἐν ὅροις στεγόντων οἰκείοις, ἀλλὰ τὸ εἶναι αὐτῶν ἐκ τῆς ἑτέρων ἐρανιζόντων πλεονεξίας, τοῖς κατ᾿ οὐδὲν αὐτοῖς ἐπεμβαινόντων προσήκουσιν. ἀφ᾿ οὗ γε καὶ ἡ νοερὰ τὴν σύνθετον εἰς ὕπαρξιν λήψεται καὶ ἡ γεώδης τε καὶ ἀναίσθητος τῇ πάντῃ τοὺς ταύτης ὅρους ὑπερπηδώσῃ* 25 *χρήσεται καὶ ἔμψυχον εἶναι οὐδὲν διαφύγῃ, καὶ πάντα ἐν πᾶσιν, ὅπερ οὐ πόρρω τοῦ Ἐμπεδοκλέους Σφαίρου καὶ τοῦ*

10 mg. δ′ *Περὶ τῆς καθ᾿ ὑπόστασιν ἑνώσεως τοῦ θεοῦ λόγου, ὅπως χρὴ περὶ ταύτης τοὺς εὐσεβοῦντας φρονεῖν.* || **13** mg. *λείπει ἓν φύλλον.* 30

8–9 Iob 29, 2 || **10–11** Hebr. 2, 10 || **13–14** Plat. Protag. 337 a 8–b 3 || **27–28** Anaxag. frg. B 1 D.-K. || **28** Empedocl. frg. B 27–31 D.-K.

3 *τοιαῦται* Wk: *-α* M || **8** *τίς* LXX: *τις* M || **9** *ἐποικτίσασθαι*] *ἐπ-* vel *ἀπ-* M || **14–15** 2 ll. f. 123v et totum f. 124r vac. || **17** fort. *ἀντιδιδουσῶν*

τὰ πάντα κυκεῶνος συγχέοντος, οὐκ ὄντος τὸ ἀπὸ τοῦδε τοῦ χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν διορίζοντος. καὶ τίς ἂν τὸ λοιπὸν τὰς μετενσωματώσεις ἀναχαιτιεῖ λόγος καὶ ὑποστείλεται; πρὸς ὅπερ οἶμαι κατὰ λήμματος χρείαν τὰ
5 *τοῦ παρόντος αὐτοῖς συγκεκρότηται λήρου.*

Εἰ δ' ὅτι καὶ τῇ τὸ ποθέν ποι κινεῖσθαι κεκληρωμένῃ ϛ′ *φύσει καθ' ὑπηρέτου τάξιν προσχρῆσθαι συμβαίνει τῇ τοιαύτῃ σωματικῇ ἀγωγῇ τοῦτο φρονεῖν αὐτοὺς ὑπηγάγετο καὶ πόρρω που διὰ ταῦτα τὴν λογικὴν ἀπελαύνειν τοῦ*
10 *ἑαυτῆς οἰκητηρίου, παρ' ὅσον οὐχ οἷόν τε τὸ ὑφιστάμενον ἐν τοσούτῳ διαφαίνειν τὴν τοῦ διακοσμοῦντος ἐνέργειαν, ἀλλ' οὗτοί μοι δοκῶ καὶ τὴν ἀναντιρρήτως λόγῳ διοικουμένην χηρεύειν ἐνίστασθαι τοῦ δεσπόζοντος, ἐπὰν κατὰ τοὺς ὕπνους τὸ μὲν ἠρεμεῖ μηδεμίαν ἑαυτοῦ παρεχόμενον*
15 *αἴσθησιν, τὸ δ' οὐκ ἀνίησι τῆς ἐφ' ὃ τέτακται λειτουργίας ἀνένδοτον τὴν πρᾶξιν ἐπιτελοῦν· ἢ καὶ βασιλέα καὶ πάντα τινὰ τὸν ἐξουσίᾳ προσχρώμενον οὐκ ἀφ' ὧν ἂν τὸ ἄρχειν τεκμαίροιντο, ἀλλὰ τῇ θεραπείᾳ τὸ πᾶν τοῦ κράτους ὑπολογίσαιντο.*
20 *Τί δὲ καὶ τὸ κατεπεῖγον μὴ τὴν ἑκάστῳ ὑποκειμένῳ* ⟨ζ′⟩ *τεχνῖτιν δύναμιν παρεῖναι συμβαῖνον αὐτῇ τὸ οἰκητήριον διαμορφοῦσαν καὶ διεξάγουσαν, ὅ γε καὶ ἡ φυσιογνώμων αὐτοῖς συνηγορεῖ θεωρία, ἀλλ' ὑποναυπηγῷ ἐπιτρέπειν ἐρήμην ὁλκάδα δεσπότου καὶ παρὰ τὸ βούλημα τοῦ*
25 *χρησομένου συντελοῦντι τὸ ἔργον; τὸ δέ γε φάσκειν αὐτοὺς τὴν φύσιν ἄλογον οὖσαν μετὰ λόγου ποιεῖν, εἴ τι καὶ ἄλλο τοσοῦτον εἰς ἔλεγχον συντελοῦν αὐτῶν ἀνευρεῖν, οὐκ ἔγωγε οἶμαι. τίνος γὰρ ἀναγκάζοντος, ἐρήσομαι αὐτούς, ἡ ἄλογος μετὰ λόγου ποιεῖ; ἀλλ' οὐδενὸς ἄλλου ἢ*
30 *τῆς ἐν ἑκάστῳ τῶν ὄντων ἀρχὴν ὑφισταμένης ὑπὸ τοῦ*

6 mg. ϛ′ ‖ **20** mg. nihil

2 CPG II 130

4 *ὑποστείλεται*] nolui mutare propter clausulam; cf. p. 219, 28 ‖ **6** *πόθεν* **M** ‖ **12** *τὴν ... διοικουμένην* Wk: *τῶν ... -ων* **M** ‖ **23** *ὑποναυπηγῷ* Wk: *ὑπὸ ν-* **M**

πάντα παράγοντος ἀμηχάνως δυνάμεως, ἡ ὑπουργὸς καὶ διάκονος ἡ φύσις δεδωρημένη ἀκολούθως τῷ ἐνυπόντι τὸ οἰκητήριον ἀπεργάζεται. ἐπεὶ κἀν τοῖς χαλκουργοῖς ἐγχεῖται μὲν ἡ ἐκτακεῖσα ὕλη πυρὶ κατὰ τοῦ προδιειργασμένου πηλοῦ, ὡς δ' ἂν τὰ κοῖλα διατεθείη τῷ διατετυπωκότι τοῦτον κηρῷ, οὕτως ἂν καὶ αὐτὴ διαμορφωθείη τε καὶ συντελεσθείη παντὶ τῷ κενώματι τῶν τύπων τοῦ διατακέντος εἰσωθιζομένου καὶ ἐπεισρέοντος, οὐ γνώσει μὲν τῆς ἐνεργείας ἢ τοῦ χαλκοῦ (τίς γὰρ αἴσθησις τούτοις;) ἀνάγκῃ δὲ τοῦ ἐξικμάσαντος τοῦτον τεχνίτου πυρὶ καὶ λόγῳ προσφόρῳ τὸ προδιατυπωθὲν αὐτῷ ἐπαφέντος πληροῦν. 5 10

η' Εἰ δ' ὅτι μὴ μνήμην φέρει τῆς τοιαύτης ἡ λογικὴ πραγματείας μηδέ τι τῶν κατὰ νηπιότητα πραγμάτων ὑπόκενόν τις οἰηθείη τὸν λόγον, οὐ τῇ δικαίᾳ προστιθέμενος οὗτος καταλαμβάνοιτ' ἂν γνώμῃ. ὑπὸ βαθεῖ γὰρ τῷ τέλματι τῆς αἰσθητῆς ὕλης εἴ τι καὶ | παρεμπίπτει τῶν ἐχομένων τῆς λήθης καὶ μάλισθ' ὁπηνίκα τῆς φύσεως ἐν ῥύσει πολλῇ καὶ κινήσει αὐτῆς τε συνεχομένης ἅτε δὴ πρώτως τὴν ἕδραν ἀποτελούσης τοῦ παραυτίκα συμπηγνυμένου κἀκεῖνο κατὰ ταὐτὸ διατιθείσης, οὐδὲν τοῦτο πρὸς ἔπος, ὅπου γε καὶ ἐν τελείῳ καὶ διηρθρωμένῳ τῷ σώματι ἔνεστι τοῦτο τὸ λογικὸν ὑφιστάμενον ζῷον ὁρᾶν ἤτοι πάθει καὶ περιστάσει ἢ καὶ κράσεως συνθέσει τοσοῦτον κακὸν δυστυχοῦν. μυρίους γὰρ ἄν τις ἴδοι μέθῃ βεβαπτισμένους 15 125r 20 25

* * * * * *

125v τὴν οἰκείαν ἐπισταθμᾶται ἐνέργειαν, οὕτω δὴ καὶ ψυχὴ τῷ ἀπὸ γενεᾶς ἐφολκίῳ χρῆσθαι παρασχεθεῖσα κατάλληλον καὶ ὥς γε ἔνι τῇ κατασκευῇ τοῦ ὀχήματος τὰ ἑαυτῆς κινήματα ἐπιδείξεται. καί μοι δοκῶ ἀπὸ ταύτης γε δὴ αἰτίας τοῖς μὲν τὸ πρὸς τὰ κρείττω δυσάγωγον, τοῖς 30

13 mg. ζ' || 25 mg. λείπει κἀνταῦθα ἓν φύλλον.

3 fort. χαλκουργείοις || 15 προστιθέμενος Wk: προτ- M || 18—19 ἐν ῥύσει Wk: ἐρρύσει M || 25—26 reliq. f. 125r vac. || 27 fort. κατάλληλα

δ' ἐπὶ τὸ εὐχερέστερον προσευπορεῖσθαι, κἀντεῦθεν τὸν ἐνθεώτατον ὁρμώμενον Παῦλον τὸ σοφὸν ἀναφθέγξασθαι τοῦτο ἐπὶ τῶν ἴσῃ τῇ προθυμίᾳ καὶ πόνοις τὸ αὐτὸ τῆς ἀρετῆς ἐπιτήδευμα μετιόντων, οὐκ ἴσοις δ' ἐπιβραβευο-
5 μένων τοῖς γέρασιν, 'ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον', ὡς τοῦ μὲν δυσχερῶς τὸ δυσήνιον τοῦ ὑλικοῦ πώλου κατάγξαντος μειζόνων καὶ ἀναρρήσεων ὑπὸ δικαίῳ τῷ ἀγωνοθέτῃ τυγχάνοντος, τοῦ δ' εὐμαρῶς κατορθώσαντος τοῖς κατὰ τὸ εὔκολον τοῦ πόνου στεφάνοις
10 ἀναδουμένου.

Ἔτι εἰ μὴ τῇ πρώτῃ προαγωγῇ τάχιστα τὸ χαρακτηρίζον ιβ' ἐνιδρυθείη τῇ ἀνθρωπίνῃ συστάσει, οὔτ' ἄν τι διοίσῃ τῆς τῶν ἀλόγων συλλήψεως ἄνθρωπος οὔτ' ἂν ἐνδίκως εἰς αἷμα δίκην ὑπόσχῃ ὁ ταῖς ἐπιφόροις ἀμβλώσεως ἐνεχό-
15 μενος, κατὰ φυτοῦ φέρε καὶ βοὸς καὶ κυνὸς ἤ τινος τούτων τὸν θυμὸν ἐφοπλίσας· τοιοῦτον γὰρ τοῖς θύραθεν ὁ σκοπὸς τὸ κατὰ γαστρὸς οἰκονομεῖσθαι.

Ἔσται δὲ ταύτῃ καὶ ἀτελῶς προϊὼν ὁ ψυχικὸς ἅπας ιγ' διάκοσμος, ὅ γε λοιπὸν τῆς σύνθεσιν ἐπαγγελλομένης οὐ
20 τῆς καθ' ἁπλότητα παραγομένης οὐσίας καὶ τῆς σωματικῆς εἰς συμπλήρωσιν ἑαυτοῦ χρῄζων συμπήξεως. καὶ δή γε πάλιν τοῦ σώματος ἀφιπταμένη ψυχὴ οὐκέτι κατὰ τὸ εὔλογον τοιαύτη μενεῖ, τοῦ τελειοῦντος ὡς ἔοικε καὶ διακατέχοντος ἀποχωροῦσα. ὃ ταῖς ἀλόγοις ἕψεται μέν,
25 τοῦ αὐτοκράτορος καὶ συνέχοντος ἑαυτὸν τῇ πρὸς ἑαυτὸν συννεύσει καὶ συντηροῦντος καὶ ἐπιστρέφοντος ἀπὸ τῶν οὐκ ἰδίων καθάπαξ στειρευούσαις καὶ πρὸς τὴν ὕλην διὰ τῶν αἰσθητηρίων κἂν τῇ τοῦ σώματος προνοίᾳ πεφυκυίαις σκεδάννυσθαι, ὁπόθεν αὐταῖς καὶ συγκροτεῖσθαι, μὴ ὅτι
30 γε τοῦ φροντίσματος ἀπολυθείσαις καὶ πρὸς ἄλλο μηδὲν

1 mg. ad κἀντεῦθεν] τί τὸ 'ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται'. || **11** mg. ια' ὅτι καὶ ὁ νόμος. || **18** mg. ιβ'

5–6 1 Cor. 3, 8

13 συλλήψεως Wk: -εων **M**

ἐχούσαις ἀπασχολεῖν τὴν εἰδοποιὸν δύναμιν, ἀλλὰ ταὐτὸν
πασχούσαις ὃ καὶ τὸ πῦρ· ἐπεὶ κἀκεῖνο τὴν ὕλην ἐκδαπα-
νᾶν πεφυκὸς μόνον μέχρι μὲν αὕτη ὑπῇ καὶ τρέφεσθαι παρ-
έχεται τῇ φλογὶ καὶ εἶναι ταύτῃ καὶ διαδείκνυσθαι παρα-
σκευάζει, ἐπὰν δὲ τὸ περὶ ὃ ἐμφιλοχωρεῖν εἴωθεν αὕτη 5
ἀνεπιτηδείως αὐτῇ διαγένηται οὐκέτι διακαρτερεῖν δύναται
ἀλλ᾽ οἴχεται πάμπαν τῷ ἐκλιπόντι συνεκλιμπάνουσα. ταῖς
δ᾽ αὖ περὶ λόγον ἀσχόλοις ὡς καὶ νοήσει συνοίκοις καὶ κατ᾽
ἐκεῖνο ζῆν αἱρουμέναις καὶ πᾶν ἀτιμάζειν τὸ περιπέζιον
ἔτι καὶ περὶ τὸ ἐφόλκιον ταλαιπωρούσαις, ὡς δῆλον ταῖς 10
τῶν σπουδαίων μικρὸν ὅσον ἀποζῆν τοῖς ἀπὸ τῶν
αἰσθημάτων ἀποχρωμέναις, τηνικάδε μάλιστα βιοῦν περι-
γίνεται ὁπηνίκα τοῦ δεσμοῦ μὲν ἀφεθεῖεν, ἀποφοιτῷεν
δὲ τοῦ συμπνίγοντος καὶ περὶ τὸ ὁμόφυλον ἅπαν καὶ τῷ
ὄντι ἐφετὸν ἑαυταῖς περισταῖεν, τῶν καταγχόντων ἐλύτρων 15
ἀποδιδράσκουσαι.

ιδʹ Ἀλλὰ καὶ ἐφ᾽ ὑστερογενεῖ τῷ λόγῳ καὶ ἐπιγινομένῳ
ταῖς ἀνθρωπίναις ψυχαῖς οὐδὲν ἐμποδὼν ἀποτρέχειν τοῦτον
πρὸς ἀλλοτρίωσιν καὶ κατὰ τὸ πρόχειρον ἀποσβέννυσθαι,
τοιούτου παντὸς ὄντος τοῦ μὴ αὐθεδράστου, ἀλλ᾽ ἐπεισ- 20
126r οδι|ώδους καὶ κατὰ βραχὺ ἐπεισρέοντος. πάλιν εἰ μὴ
ἐντελὴς τῇ ἀνθρωπίνῃ γενέσει ἡ ψυχὴ δίδοται, κατ᾽ οὐδέν
τε τῆς τῶν ἀλόγων συστάσεως ὁ ἄνθρωπος διενέγκοι,
χρόνου καὶ χρείας, ἧς οὐδὲν ἀλόγοις χωρίς, ὅσα γε πρὸς
ὕπαρξιν, εἰς τὴν τελείωσιν δεομένη, καὶ οὐδὲ ἔτι τῷ 25
νοερῷ συντετάξεται κόσμῳ, ἅμα πεφυκότι ὑφίστασθαι, ὃ
καὶ τὸ σφαίραις καὶ κύκλοις ἀπεικάζεσθαι τοῦτον τοῖς
παλαιοῖς καθ᾽ ὑπόστασιν τε καὶ κίνησιν αἰνίττεσθαι
βούλεται, ἀλλὰ τοῦ αἰσθητοῦ καὶ ῥοώδους κινήσεως συν-
τρόφου καὶ περιστάσεως, ἄλλου τινὸς τῶν περαιτέρω τῆς 30
ὕλης εὐδαιμονοῦσα πρὸς τὸ κατὰ μικρὸν ἀπαρτίζεσθαι,
καὶ δή γε εἰς ὕλην καὶ εἶδος διαιρεθείη συντιθεμένη καὶ

17 mg. ιγʹ ‖ **21** mg. ιδʹ

8 συνοίκοις Wk: -ους **M** ‖ **15** κατεχόντων (αγ supra ε), -ε- ind., **M** ‖
30 ἄλλου τινὸς Wk: ἀλλ᾽ οὔτινος **M**

ἀναλυομένη. ἀλλ' ὅσα μὲν τῆς φυσικῆς ἐχόμενα θεωρίας τὴν προκειμένην ὑπόθεσιν ἀνακαθαίρει κατὰ τὸ καιριώτερον καὶ ἀπέριττον ἐπὶ τοσοῦτον.

Νῦν δ' ἄγε δὴ καὶ περὶ τούτων ὅσα μετὰ τῆς φυσικῆς ιε´
5 ἀνάγκης τῆς κάτω καὶ περὶ ἡμᾶς θεολογίας ἐφάπτεται τὸν ὑφηγημένον ἡμῖν ὑπομνήσωμεν τρόπον, ἐφ' ὃ καὶ τὸ πᾶν τῆς προκειμένης ἀφώρμηται σκέψεως, ἐκεῖνο πρῶτον ὀλίγῳ τῶν διοχλούντων ἀπορραπίσαντες λόγῳ. ἐπὰν γάρ τινες τῇ ἀληθείᾳ τῶν τοιούτων καταβροντηθεῖεν ἐφοδίων, ἐπὶ
10 μόνης τῆς ἱερᾶς δῆθεν αὐτοῖς ἀποσαλεύοντες ἀγκύρας ἐνδιαβάλλειν πειρῶνται τὴν τῆς ψυχῆς τελειότητα, ἐπὶ προΰπαρξιν αὐτὴν ἀναφέρειν ἀδολεσχοῦντες τοὺς ἐντελῆ δογματίζοντας ταύτῃ τὴν εἰς γένεσιν πρόοδον· ποίοις καὶ τίσι λόγοις τοῦτο κρατύνοντες, αὐτοὶ ἂν εἰδοῖεν, οἷ γε καὶ
15 πᾶσαν ἄλλην ὅση περὶ θεὸν νοερὰ φύσις, ἵνα μὴ προΰπαρξιν γράφοιτο, ἐλλειπῶς ἂν οἶμαι φήσουσι τοῦ τελείου καὶ κατὰ ζῳώδη νηπιότητα σωματικὴν σύστασιν τῇ προαγωγῇ ἐσχηκέναι· καὶ πρός γε δὴ καὶ τὸν τοῦ γένους ἄνθρωπον ἀρχηγέτην οὐ λογικῇ τελείᾳ ψυχῇ, ἀλλ'
20 ἐλλειπῶς ἐχούσῃ λόγου πρὸς τοῦ πεποιηκότος τὸν ὀργανικὸν ἄνδρα κατακοσμηθῆναι, ὡσπερεὶ δεδοικότος τοῦ πλάσαντος τόν τινων λῆρον, μὴ διὰ ταῦτα οὐ τῶν μὴ ὄντων προαγωγεύς, ἀλλὰ τῶν ὄντων κοσμήτωρ ὑποπτευθείη, ὃ περὶ τὴν ἀνείδεον ὕλην ὁ τῶν Ἑλλήνων ἤδη τῷ
25 ὄντι ὑλικὸς θίασος ὑλομανῶν ἐφρυάξατο. καίτοι τί τελεώτερον προφήτου, ὅσον εἰς φύσιν ἀνθρώπου, καὶ τῆς τὰ μέλλοντα προαναφωνεῖν οἵας τε ἕξεως; ἧς οὐκ ἀσύνετος ὁ πρῶτος καταλαμβάνεται ἄνθρωπος, οὐ μόνον οἷς τὴν ἐν τοῖς ζῴοις ὀξύτητι διανοίας κατεῖδε ποιότητα καὶ εἰς
30 ἑκάστῳ κλῆσιν τὴν ἰδιοτροπίαν ἀφώρισεν, ἀλλ' οἷς καὶ τὴν ἀνεπαισθήτως αὐτῷ ἀφαίρεσιν τῆς πλευρᾶς εἰς βοηθοῦ κατασκευὴν ἐπιγινώσκων εἰσάγεται· καὶ δὴ καὶ τούτῳ τῷ

1 mg. ιε´ πρὸς τοὺς λέγοντας, εἰ τελεία ἡ λογικὴ τῇ κυήσει καταπέμπεται, ἀνάγκη προΰπαρξιν ψυχῶν πρεσβεύειν.

10 CPG I 256; II 118 || **27–30** Gen. 2, 19–20 || **30–32** ib. 23 || **32** – p. 352, 4 ib. 24

λόγῳ ὃς γυναῖκά τε τὴν λῆψιν κληθήσεσθαι προηγόρευσε καὶ τῆς τῶν γεννησαμένων ἐγκαταλείψεως εἰς ἀφορμὴν τὸ θῆλυ προΐστησι καὶ πρὸς μιᾶς πῆξιν σαρκὸς συντελέσαι τῇ πρὸς αὐτὸ συντήξει τοῦ ἄρρενος. ἅπερ ἕκαστα οὐ κατὰ νηπιώδη φρένα, ἀλλὰ κατ' ἄκραν ἀρετὴν λόγου 5
τε καὶ ἀνάβασιν. πάντως δ' οὐδὲν πρᾶγμα τῷ πρώτως |
126ᵛ *φανέντι καὶ πᾶν τὸ ἀπ' ἐκείνου συμμορφοῦσθαι καὶ ἀπεικάζεσθαι, εἴπερ τῷ ἀρχετύπῳ ἐξομοιοῦσθαι τὰ ἀπ' ἐκείνου σοφὸν καὶ ἔμφρον μεταγραφόμενα ὑποδείγματος· οὐ δήπου τῇ κατὰ τὸ χεῖρόν φημι προόδῳ, ὃ τῇ παραβάσει* 10
τῆς ἐντολῆς τῇ ὑλικῇ ὑποταγὲν ματαιότητι ταῖς πεφυκυίαις κινήσεσι διεξάγεται, ἀλλὰ τῇ κατ' ἐκεῖνο ὃ καὶ αὐτὸ μὲν ὑπέβη τῇ καταδίκῃ, ὅσον δ' εἰκὸς διάστασίν τε κατακριθὲν τοῦ συγκρίματος καὶ ταῖς τῆς γενέσεως ῥύσεσιν ἐπὶ τῇ τοῦ ἐνδιαιτήματος ἐξεργασίᾳ ταλαιπωρεῖσθαι καὶ 15
κατατρίβεσθαι· ἀμείνονι δ' εἶναι κεχαρισμένῳ καὶ ὕλης χηρεύειν καὶ καθ' αὑτὸ νοερῶς τελείῳ ὑφίστασθαι οὐδέν τι παρείλετο τοῦτο ὃς ἀγαθουργῷ φύσει ἀμεταμέλητα δίδωσι τὰ χαρίσματα. ἀλλ' ἐπειδὴ ταῦτα, ἰτέον κατὰ σκοποῦ βάλλειν· τύχοιμεν γὰρ ἄν, οὐχ ἁμάρτοιμεν. 20

ις´ *Ὁ γάρ τοι ψυχῆς κατὰ γένεσιν ἀτελὴς λόγος βαθμούς τε ψυχῶν τοὺς συνίστορας τούτῳ ἐπεισκρίνειν τῇ διαπλάσει παρασκευάσας καὶ τὸν θεὸν λόγον οὐκ ἀνθρώπῳ κατασπεύσει τὸ πρῶτον, ἀλλὰ φυτῷ τὴν καθ' ὑπόστασιν ἕνωσιν αὐτοῦ πεποιῆσθαι (αὕτη γὰρ ἀρχὴ τοῖς τῶν ζῴων ἐμβρύοις,* 25
καθὰ τῷ Σταγειρίτῃ δοκεῖ) καὶ μετὰ τοῦτο ἀλόγῳ, καὶ μετ' ἐκεῖνο εἰς ἄνθρωπον ἀποτελευτήσει τριετίζοντα τὴν ὥραν, οὔπω καὶ τοῦτον συντετελεκότα τὸν λόγον καὶ τὴν ἀνθρώπου διάθεσιν, ἐπεὶ μηδὲ τότε συμπληροῦσθαι ταῖς

21 mg. *ις´ πῶς ἄτοπον ἐπὶ τῆς καθ' ὑπόστασιν ἑνώσεως ἐν ἀτελεῖ ψυχῇ ταύτην λέγομεν γεγενῆσθαι.* 30

11–12 Rom. 8, 20 || **18–19** Rom. 11, 29 || **25–26** Aristot. Eth. Nic. I 13, 1102a 32–b 2

18 τοῦτο ex τούτῳ M || **30** mg. πῶς dub. (ὅτι Mᵗ) | ἐν Mᵐ : εἰ Mᵗ

λογικαῖς ἐνεργείαις τὸ καθ' ἡμᾶς ἔγνωμεν ζῷον. καίτοι γε τελείῳ τῷ αὐτοκράτορι λόγῳ τῇ παραβάσει ὑπενεχθεὶς ὁ προπάτωρ τοιούτῳ κομίσασθαι ἐποφειλόμενος τὴν ἀνάκλησιν – οὐ γὰρ ἑτέρου, ἀλλὰ τοῦ πεπτωκότος ἡ
5 ἐπανόρθωσις· πέπτωκε δὲ οὐκ ἐνδεεῖ τῷ λόγῳ, ἢ γὰρ ἂν οὐδ' ὑπόδικος τὸ ἀτελὲς ὑποβαλλόμενος εἰς εὐπρόσωπον – τοιγάρτοι τελείῳ τῷ κρείττονι τῆς ἐντολῆς ἀποσφαλεὶς τοιούτῳ καὶ τὴν ἀνάπλασιν ὑποστῆναι χρεών, ὅτι μηδ' ἄλλο τι ὥσπερ τὸ ἧττον ταῖς ἀναλόγοις γενέσει κατεκέ-
10 κριτο διαμορφώσεσι καὶ αὐξήσεσι. πρὸς τοῦτό μοι δοκῶ καὶ τὸν θεῖον τὴν γλῶσσαν Γρηγόριον ἀπευθύνοντα διαρρήδην βοᾶν τὸν ἀχώρητον χωρεῖσθαι διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι. εἰ δὲ μὴ τελεία νοερὰ φύσις, ἀλλ' ἐξ ἀτελοῦς εἰς ἐντέλειαν
15 προαγομένη, οὔ μοι ταῦτα παραχωρεῖν τὰ μικρῷ τούτων κατόπιν ἐοίκασιν.

Ἀλλὰ καὶ ψευδὴς τούτῳ τῷ λόγῳ κἀκεῖνος ὁ θεῖος ιζ' χρησμὸς ὃς πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν ἀπειθεῖν φησὶ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. τί γὰρ
20 τὸ ἀπειθοῦν πονηρίᾳ; πότερον ὁ λόγος πρὸ ὥρας ἐπιχειρῶν καὶ φθάνων τὴν προθεσμίαν κατὰ τὸ ἄμεινον καὶ εἰς ἐνέργειαν ἀποκαθιστάμενος τῇ τοῦ συγκεκραμένου μεγαλειότητι, ὡς ἂν αὐτὸς ἀφ' ἑστίας, φασίν, ἀπρόσμαχος τῷ διώκοντι | σκότῳ καλῶς γε ποιῶν προφαίνηται; καὶ 127ʳ
25 πῶς, ὅς γε θύραθεν τῷ ἀντιθέτῳ λόγῳ τῇ ἀνεπιτηδειότητι τοῦ ὀργάνου ἑστὼς τὸν πρόσφορον ἀναμένει τῆς ἐπεισόδου καιρόν; εἰ δὲ τῇ τοῦ θεοῦ λόγου φύσει τοῦτο προσνέμοιμεν, πραγμάτων μὲν ἀπαλλαξόμεθα, ἀλλὰ μετὰ

17 mg. ιζ' Ὅτι καὶ ψευδὴς ὁ προφητικὸς λόγος Ἡσαΐου, εἰ ἀτε-
30 λεῖ ψυχῇ ἡνώθη ὁ θεὸς λόγος. || **25** mg. οἱονεὶ 'κατὰ τὴν τοῦ ἀντιπάλου λόγου ἔνστασιν'.

10–13 Greg. Naz. Or. 29, 19, PG 36, 100 A 7–8 || **17–19** Is. 7, 16 || **23** CPG I 14; II 62 || **23–24** cf. Io. 1, 5

7 ἀποσφαλὴς **M** || **9** γενέσει Wk: γενέσι (sic) **M**; possis et γενέσεσι, vel ⟨τοῖς ἀλόγοις⟩ γένεσι

τοῦ κακῶς ἀναβιώσκειν τὸν πάλαι τεθνηκότα ὀλέθριον τόκον ὃς Ἀπολινάριον δυστυχεῖ τὸν Σύρον γεννήτορα. εἰ γάρ ποτε τοῦ εἰδοποιοῦντος ὁ κυριακὸς ἄνθρωπος σπανίζων τὴν θείαν ἐκέκτητο φύσιν ἀναπληροῦσαν τὸ ἐνδεές, τίς ἡ παράνοια μὴ καὶ πρὸς τὸ ἑξῆς ὑπὸ διακένῳ τῷ ἀνθρω- 5 πίνῳ προσλήμματι τοῦτο τελεῖσθαι φρονεῖν, ἀλλ᾽ ἀριθμὸν ἄλλως εἰσβιάζεσθαι τὸν ἀνθρώπινον νοῦν, οὗ καὶ χωρὶς ἂν κατὰ τὴν ἄρτι παραδοξολογίαν ἡ κατ᾽ ἀρχὰς οἰκονομία τῷ κρείττονι κατηνύετο, κἂν εἰ πολὺς ὁ λόγος ὁ ἐπὶ τούτου διατρέπων τὸ ἄτοπον; ᾧ γὰρ τὸ πείθεσθαι, τούτῳ φῶμεν 10 προσεῖναι καὶ ἀπειθεῖν, εἴπερ καθ᾽ οὗ θέσιν καὶ ἕξιν οὐδ᾽ ἄρσιν ἀπαρνητέον, οὐ στέρησιν, ἀλλ᾽ οὐ καθ᾽ οὗ τὰ πρῶτα κατηγορεῖσθαι οὐδ᾽ ἀρχὴν λόγος συνέσεως ἐπανάσχοιτο.

ιη´ Πρὸς τούτοις εἰ μὴ τελείᾳ ψυχῇ ἡ καθ᾽ ὑπόστασιν ἕνωσις, πῶς ἀληθὴς ὁ δωδεκαέτη τὸν κύριον ἀναγράφων 15 θεῖος Λουκᾶς τοῖς νομικοῖς συνεδριάσαι καὶ συνέσει ἀνυπερβλήτῳ τοὺς λόγους ὑποβαλεῖν καὶ οὐκ ἐκείνοις μόνον ἀλλὰ καὶ τοῖς νομιζομένοις γονεῦσιν, ὁπηνίκα καὶ ταύτην ἔνθεον αὐτοῖς ἠφίει φωνήν, ἠρέμα πως καθόσον ὑπῆν τὴν θειότητα ἐμφανίζουσαν, ʽοὐκ οἴδατε᾽ λέγων 20 ʽὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι;᾽ οὐκ ἂν γὰρ ταῦτα τῆς ἀντίπαιδος ἀκμῆς οὔπω διατρανούμενον τῇ σωματικῇ ἀσθενείᾳ τὸν λόγον ἐχούσης, ὡς ἕνι τεκμηρίῳ χρησάμενον τῷ ἀνευθύνῳ τῶν κατ᾽ αὐτὴν πλημμελουμένων τὸ πρᾶγμα πιστώσασθαι, εἰ μὴ τελείῳ τῷ κατ᾽ ἀρχὰς 25 λαχόντι τὸ ζῷον οἰκονομεῖν ὁ κατὰ τὸν κύριον ἀνὴρ ἀπηκρίβωτο, θεσμῷ μὲν φυσικῷ τοῦ ταῦτα μὴ χρηματίζειν εἰργόμενος, τοῦ κρείττονος δὲ τῷ παραδόξῳ συγκράματι συνεργούμενος. ἅπασι γὰρ τοῦτο καταφανές, ὡς εἴ τι τῶν πρὸ τῆς ἥβης ἀνθρώποις ἁμαρτηθείη ἐπὶ τὸ 30 ἀκούσιον ἀποπέμπεται τῆς ἀγνοίας, καὶ οὔπω τις νόμος

14 mg. ιη´ Ὅτι καὶ τὸ τοῦ θείου Λουκᾶ διαβάλλεται, ὃς ἱστορεῖ τὸν κύριον δωδεκέτη συνετώτατον, εἰ ἀτελεῖ ψυχῇ κατ᾽ ἀρχὰς ἡνώθη θεός.

15–21 Luc. 2, 41–52

οὕτως ὠμὸς καὶ ἀπάνθρωπος ὡς συνειδότος ὀφλήσει
τιμᾶσθαι τὸν πρὸ τῆς δευτέρας ἑβδομάδος ὑπό τινος τῶν
ἐκθέσμων ἁλῶναι δυνάμενον. ἡ γὰρ τῆς σαρκὸς ἀδρανία
αὐτάρκης ἐπαμβλῦναι τὸ αὐστηρὸν τοῦ νόμου καὶ κατα-
5 στεῖλαι, ὃ καὶ κατὰ τοὺς ὑπέργηρως ἐνίοτε συγκεχώρηκεν,
οὐ τῷ φρονοῦντι (ἐντελέστατον γὰρ πᾶσι νενόμισται
τοῦτο) τῇ δὲ τοῦ σώματος συγγινώσκων ἐκλύσει καὶ
ταύτης ἡττώμενος. ἆρ᾽ οὖν τίνι ταύτην τὴν πλήρη σοφίας
δῶμεν ἀπόκρισιν; τῷ ἀνθρώπῳ; καὶ πῶς; οὐ γάρ τι ἄλλο
10 ἢ τὸ τεράστιον οὕτω καὶ καινοτόμον τῷ μήπω συντετε-
λέσθαι τὸν ἀνθρώπου λόγον, ὥς γε φασί, τῇ τοῦ κυρίου
ἐνανθρωπήσει προσμαρτυρήσομεν, ὃν ἄνθρωπον | κατὰ 127v
πάντα χωρὶς ἁμαρτίας μετὰ τοῦ ἀχράντου τόκου καὶ τὸ ἐν
βίῳ ἄληπτον ἐνθεωρηθείη καὶ εἴ τι ἄλλο μὴ ἄγαν ὑπερ-
15 πετῶς καὶ κατὰ φάσμα τὴν φύσιν ὑπεραλλόμενον. ἀλλὰ
τῷ προσειληφότι θεῷ; ἀλλ᾽ ὀλεθρίῳ τῇ ἑτοιμότητι καὶ
νῦν Ἀπολινάριος παρεισδύσεται θεὸν τῇ προσλήψει
ἀντισηκοῦντα εἰσβιαζόμενος τὰ ἀνθρώπινα. ὁρᾷς ὅσος ὁ
παράλογος προσυφαίνεται τοῖς μὴ τελείῳ τῇ κατ᾽ ἀνθρώ-
20 πους ψυχῇ τὸν κύριον ἡνῶσθαι θεσπίζουσι μηδ᾽ ἐπ᾽
ἀνελλιπεῖ τῇ δόξῃ τῷ μηδαμῶς πεφυκέναι τὸ ἐνδεὲς τοῦ
προσλαμβανομένου ἀθρόαν τοῦ ὑπερπλήρους τὴν τελειό-
τητα καταδέξασθαι, καίτοι γε τοῦ τῶν ἐθνῶν κήρυκος
ἐγκατοικίζοντος αὐτῷ πᾶν τὸ τῆς θεότητος πλήρωμα;
25 πῶς ἂν οὖν ἐξικνοῖτο τὸ ἐνδεὲς ἢ παρισωθείη τὸ ἐλλιπὲς
τῷ τὸ πᾶν ὑπερβάλλοντι, ὅπου γε καὶ ἐπὶ τελείῳ καὶ
ἀνελλιπεῖ πολλῆς συγκαταβάσεως λόγος, ῥανίδι τινὶ
ἐλαχίστῃ (πῶς ἂν ἀξίως ἐρῶ;) τὸ ἀνεξάντλητον πέλαγος
ἐνοικίζεσθαι;

30 Ἀλλὰ ταῖς κατὰ μικρὸν εἴποις προόδοις τε καὶ προβά- ιθ´

30 mg. ιθ´ Ὅτι οὐκ ἔμφρον σωματικῶς τὴν ⟨ψυχὴν⟩ ὑποτίθεσθαι αὐξομένην καὶ οὕτω τὰς ἀπὸ τοῦ θεοῦ λόγου δέχεσθαι τῆς θεώσεως ἐλλάμψεις.

13 Hebr. 4, 15 || **23—24** Col. 2, 9

12 fort. ἄνθρωπον ⟨ὁμολογοῦμεν⟩ || **13** καί] fort. κἂν || **17** προσλήψει Wk: προλ- **M** || **31 mg.** ψυχὴν **M**t: om. **M**m

σεσιν, ὥσπερ ἀνθρώπῳ θέμις καὶ κατὰ σῶμα προϊόντι καὶ αὐξομένῳ, οὕτω τὸ κατασκηνοῦν τῷ σκηνώματι συνεφαπλοῦσθαι καὶ ἐπεκτείνεσθαι; τοῦτο μὲν παχέος ἤδη καὶ κατασαρκουμένου νοὸς καὶ μηδὲν πλέον τῆς ὕλης ἐννοουμένου μηδ' ὑπεριπταμένου τὰ τῆς αἰσθήσεως 5 εἴδωλα. ἦν δ' ἂν καὶ πάντῃ σοφόν, εἰ μὴ φθάσας ὁ λόγος σώματι μὲν ὑπείκοντι τῇ γενέσει τὸ ἁδρύνεσθαι καὶ προκόπτειν ἐφῆκε, τὸ νοερὸν δὲ τῆς τοιαύτης μικρολογίας πολλῇ παρείλετο δικαιότητι, καὶ ἵνα ** τῷ λόγῳ τὴν οἰκονομίαν ταῖς κατ' ὀλίγον τῆς ἀρετῆς περιϊστῶν 10 ἀναβάσεσιν· ὃ καὶ Γρηγόριος, ὃν θεῖον εἶναι τὸν λόγον ἀληθὴς ἐπεβάλετο φήμη, προμηθῶς ὑπετέμετο, τί τὸ παρὰ τῷ θείῳ Λουκᾷ προκόπτειν σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι τὸν κύριον παριστῶν, καὶ ὡς οὐ προσθήκης ἀνάληψις τὸ λεγόμενον ἀλλὰ τοῦ κρυπτομένου φανέρωσις 15 καὶ λανθάνοντος.

κ´ Τί δαί σοι καὶ ἡ ἐν τῷ ὄρει τῆς τοῦ μονογενοῦς δόξης καὶ πρὸ τοῦ πάθους παράδειξις καὶ οὕτως ἐκπληκτικωτάτη καὶ ὑπερβάλλοντι τῷ φωτὶ τὰς προσβολὰς ἀμαυροῦσα τῶν ὄψεων νοεῖν βούλεται; οἷα γάρ τινος ἀνάχυσις σέλατος 20 πεπαρρησιασμένη τοῖς θεωμένοις πάλιν ὑπὸ τῷ γνόφῳ τῆς οἰκονομίας ὑπενόστει καὶ ὑπεστέλλετο, ὅπερ εἰ μὴ τῆς ἐνυπούσης δόξης ὑφάπλωσίς τις εἴη τοῦ κατ' ἀρχὰς μὲν ἐπὶ τελείῳ τῇ προσλήψει τεθεωμένου, οἰκονομίᾳ δὲ τῶν ὁμιλούντων ἀδηλουμένης, οὐδὲν ἂν ἔτι δεήσειεν ἀλλ' ἢ 25 φάσματος ὑποψίᾳ τὸ ἀμήχανον καθυβρίζειν, ὅπερ μὴ δόξαι πολλὴν ὑφηγεῖται σπουδὴν τοῦ μηδὲν ἐν ἀτελεῖ τῇ ἡλικίᾳ θαυματουργήσαντος, ἢ παλιρροίας καὶ ἀμπώτιδος 128r τρόπον, | ἵνα τι καὶ γελοίως ἐρῶ, ἀπὸ τοῦ τελείου μετα-

17 mg. κ´ Ὅτι καὶ ἡ ἐν τῷ ὄρει λάμψις τοῦ μονογενοῦς διαβάλλεται, εἰ διὰ τῶν παθημάτων τετελείωται. 30

6 cf. supra p. 343, 9–14 || **11–16** Greg. Naz. Or. 43, 38, PG 36, 548 B 12–C 3 || **12–14** Luc. 2, 52 || **17–20** Mt. 17, 1–8; Mc. 9, 2–8; Luc. 9, 28–36

9 lac. indic. Wk. || **26** ὑποψία **M**

χωρεῖν ἔμπαλιν ἐπὶ τὸ ἐλλειπέστερόν τε καὶ ἀτελέστερον
ἢ καὶ κατὰ ζῷον φθινάδος πάθει κατάληπτον· ὃ δὴ
σωμάτων μὲν οὐκ ἄχαρι δόξει κατηγορεῖν, ἄκρατον οὐδὲν
οὐδ' ἀμιγὲς καμάτου τῶν εἰς ἐνέργειαν εἰληχότων τῇ τῆς
5 συνθέσεως συναυλίᾳ καὶ τούτῳ γε δὴ μὴ τὸ διηνεκὲς τοῦ
εἶναι ἀσπαζομένων, ἀλλ' ὑπὸ τὸ ἀπεῖναι πάλιν καὶ λῦσαι
τὴν τάξιν ὑποκλαζόντων καὶ πρὸς τὸ μὴ ὂν ὅπερ νῦν
κατεπείγεσθαι, ἀλλ' οὐ τῶν εὐμοιρούντων τὸ δρᾶν εἰς
. ἀεὶ τοῦ ἀντιθέτου ἄνετον καὶ ἐλεύθερον. ἐπὶ γὰρ τῆς ὕλης
10 ἐλάχιστα προσδεομένης οὐσίας ἄτοπον πάντῃ κἂν ἐννοῆσαι
τοῦτό ποτε.

Τὸ δὲ καὶ τὸν ἐπὶ τὸ στῆθος ἀναπεσόντα τοῦ διδασκάλου
ἔσθ' ὅτε φάσκειν οὔπω τὴν ὥραν αὐτοῦ ἐληλυθέναι πρὸς
τί ἂν ἐπικαιρότατα λάβοιμεν; ἆρ' οὐκ ἐπὶ τελείῳ μὲν τῷ
15 τῆς δόξης ὑπάγειν πλούτῳ τὸ λεγόμενον εὐσεβές, τὸν δὲ
προσήκοντα τῆς ἐκφάνσεως ἀναμένοντι; ἐγὼ μὲν οἶμαι,
κἂν μηδεὶς ἄλλος προστίθεται. τί δαί; τὸ δόξαν ἀπο-
φαίνεσθαι τὸν κύριον τὸ πάθος τῷ τοσούτῳ προστήσεται
λόγῳ; καὶ τοῦτ' ἂν οἰηθείη τις. καὶ τῷ τοῦ Παύλου ῥητῷ
20 διὰ παθημάτων τρανοῦντι τὸν υἱὸν τελειοῦσθαι τὸ
ἀπραγμάτευτον διοικήσασθαι, ἁπλοῦς ὁ λόγος καὶ
δυσχερὲς ὅλως οὐδὲν τῷ πρὸς εὐγνώμονα τὴν ἀκοὴν
ἐνιέντι τὸν λόγον. οὔτε γὰρ πρὸς τὸ πάσχον ὑποβάλοι-
μεν, ἂν σωφρονῶμεν, τὸν λόγον, οὐ πρὸς τὴν τοῦ μὴ
25 ὄντος ἀλλ' ἐπιγινομένου αὐτῷ πλούτου χειραγωγοίημεν
τὴν διάνοιαν (οὐδὲν γὰρ μὴ ἐναποκείμενον τὸν ἐπιτήδειον
ἀναμένειν ὑποπτευθείη), πρὸς δὲ τὴν τῶν αὐτῷ προσαν-
εχόντων ὑπόληψιν κατὰ καιρόν, καὶ ὅτε τὴν ἐναπόθετον
αὐτοὺς ὑποστέγειν ἡγεῖτο δόξαν αὐτοῦ, παραγυμνοῦντι

30 **9** mg. τὸ ἑξῆς οὕτως· 'ἐπὶ γὰρ τῆς οὐσίας τῆς ἐλάχιστα ὕλης προσδεομένης', τουτέστι τῆς ἀΰλου. || **12** mg. τί τὸ 'οὔπω ἐλήλυθεν ἡ ὥρα αὐτοῦ'.

12 Io. 13, 25; 21, 20 || **12–13** Io. 2, 4; 7, 30 || **17–18** Io. 12, 23; 13, 31–32; 17, 1–5 || **19–21** Hebr. 2, 9–10

2 καὶ mg. add. **M** || **18** fort. τοιούτῳ

καὶ ἐμφανίζοντι, οὐκ αὐτοσχεδιάζοντι τὴν ἐμφάνειαν τοῖς μήπω πρὸς τοῦτο ἱκανῶς παρεσκευασμένοις, οὐ τῷ ἀθρόῳ θορυβοῦντι καὶ βλάπτειν οὕτω μᾶλλον τοὺς θεωμένους παρεχομένῳ, εἰς φάσμα καὶ τερατείαν τὸ τελούμενον διασύροντας, οἵ γε καὶ οὕτως οἰκονομούμενοι πολλαχοῦ 5 *τοῦτο παθεῖν ἀνεγράφησαν, τοῖς δὲ μετριωτέροις τὰ τελεώτερα ὑπανοίγεσθαι παιδοτριβοῦντί τε καὶ γυμνάζοντι καὶ πρὸς ἀμήχανον ὕψος ταῖς κατ᾽ ὀλίγον ἐπιγνώσεσι σοφῶς αἴροντι.*

Καὶ ὅτι ταῦτα, καὶ οὐχὶ δόξης τὸ πάθος προσθήκη 10 *(πολλάκις γὰρ ἐπαναλάβοιμι τοῦτο) ἀλλ᾽ ἐκφαντορία τῆς ὑπὸ ζόφῳ καὶ παραπετάσματι τῇ σαρκὶ ἀδηλουμένης θεότητος, ὁ ἠγαπημένος πάλιν αὐτὸς ἐχέγγυος μαθητὴς τὴν πίστιν κρατύνασθαι. ἐν γάρ τοι τῷ τοῦ πάθους καιρῷ, ὅν τισι καὶ Παῦλος δοκεῖ παραλαβεῖν εἰς τελείω-* 15 *σιν, οὕτω τὸν τελειούμενόν φησιν Ἰησοῦν περιχαρῶς τοῖς μαθηταῖς ἀναφθέγξασθαι· ʽνῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ᾽. τί φῄς; ἡ δόξα τὴν τελειότητα τότε προσμαρτυρεῖ τὸν θεάνθρωπον καταδέξασθαι; εὖγε, ἀλλ᾽ εὐθυβόλως ἡμᾶς ἡ θαυμασία* 20 *αὕτη διάληψις ἐπὶ τὸ πλημμελέστερον ποδηγήσει. τί τοῦτο; τὸ καὶ τὸν θεῖον τῷ ὄντι λόγον ἐξ ἀτελεστέρας ὑπάρξεως προσειληφέναι τηνικαῦτα τὸ ἐντελέστερον, ἐπεὶ καὶ τοῦτο προσκείμενον τὸ ʽκαὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ᾽ μεγάλην παρέχεται τὴν ῥοπὴν τῷ καὶ τὴν συνημμένην φύσιν τῷ* 25 *ἡμετέρῳ προσλήμματι εἰς προκοπὴν δόξης τὸν τοῦ πάθους καιρὸν ἀνευρέσθαι παραληρεῖν. ἐῶ γὰρ λέγειν ὅτι καὶ τῷ* 128v *πατρὶ οὗτος ἐνσταίη | τοῦ τελειοῦσθαι ὁ πρόσφορος, ἐπεὶ καὶ πρὸς ἐκεῖνον ὁ ἠγαπημένος καὶ σύνθρονος ἐνταῦθα*

4 mg. *ὥσπερ ὅτε Πέτρος θαλασσοποροῦντα θεώμενος τὸν κύριον* 30 *ἠξίου ἐπιτρέψαι αὐτῷ πρὸς αὐτὸν ἐλθεῖν.* || **14 mg.** *τί τὸ ʽνῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ᾽.* || **23 mg.** *ὡρ(αῖον) ἄγαν καὶ ἄμαχον.*

4 Mt. 14, 25–31 || **16–18** Io. 13, 31 || **28 – p. 359, 2** Io. 17, 1

25 *τῷ*[1] Wk: *τὸ* **M** || **30 mg.** *ὅτε* Wk: *ὅ, τε* **M**

φάσκει υἱὸς τό τε 'δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε'· καὶ τὸ 'ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς'. καὶ ὅλως μυρίας ἄν τις ἀσεβείας εὕροι συνηγορίας παρ' ἕκαστα τοῦ λόγου οὕτως τὴν δόξαν ἀναπτύσσειν αἱρού-
5 μενος. τίς γὰρ ὁ ἀποτεταγμένος λόγος, ὡς τῷ μὲν ἀνθρώπῳ παραφόρῳ φλυαρεῖν γνώμῃ τὴν δόξαν παραδηλοῦν τὴν τελείωσιν, τῷ δὲ θεῷ μηκέτι τοῦτο παραχωρεῖν τὸ πρόδηλον ἑλομένους τῆς ἀσεβείας τοὺς τῆς τοιαύτης δόξης ἐκλήπτορας;

10 Τοῖς μὲν οὖν οὕτω βιαζομένοις τὴν δόξαν καὶ τὴν διὰ τῶν παθημάτων τελείωσιν τῷ θεανθρώπῳ πορίζειν τοσοῦτος ἀδοξίας καὶ ἐμπαθείας βλασφήμου κατασκεδασθήσεται σκότος τε καὶ παράλογος. τοῖς δέ γε πρὸς τὴν τῶν μυουμένων σωτήριον δήλωσιν καὶ τὸ ἐκκαλυ-
15 πτικὸν τῆς τοῦ παθόντος θειότητος καὶ μεγαλειότητος καὶ τοῦ παρ' αὐτῷ τέως κρυπτομένου θησαυροῦ εἰς φανέρωσιν τὰ τῆς ἐννοίας μεταλαμβάνουσιν, ὃ καὶ Κυρίλλῳ τῷ τῆς Ἀλεξάνδρου τῆς περὶ θεὸν ἁγιστείας ἐγκεχειρισμένῳ τοὺς οἴακας τὴν πρὸ τοῦ κόσμου παρὰ τῷ πατρὶ δόξαν τοῦ
20 μονογενοῦς ὑπογράφοντι συνδοκεῖ, κατ' ἴσον προσέσται καὶ τὴν ἀσέβειαν ἐκφυγεῖν καὶ τὸ ἐμφρονέστατον ἑαυτοῖς περιποιεῖν καὶ ἀμώμητον.

Ἀλλ' ὅτι μὲν οὐ δόξης τὸ πάθος ἐμπόρευμα, οὐ τελειότης τοῦ πάσχοντος, καὶ πρό γε τούτων ὡς οὐκ ἀτελεῖ τῇ
25 ἀνθρωπίνῃ ψυχῇ οὐ τῷ θεῷ λόγῳ ἡ κατ' ἀρχὰς τοῦ ἡμετέρου φυράματος γέγονε πρόσληψις, οὐ τοῖς καθ' ἕκαστον ἀνθρώποις ἡ τῆς κυήσεως ἐξανύεται ὕπαρξις, ἀποχρώντως ἡμῖν τὰ παρόντα ὑπέστησεν.

Εἰ δ' ὅτι πρὸς τὴν παλινζωΐαν καὶ τὴν ἐκεῖσε προσ- ⟨κα'⟩
30 δοκωμένην μεταβιβάζει ἀποκατάστασιν (ἣν καὶ πάλαι τῷ πλάστῃ μὲν χαρίσασθαι τῷ πλάσματι ὁ σκοπὸς τὸ

2 ib. 4 || **17–20** Cyr. Alex. in Ioann. evang. 11, 6, PG 74, 496 A 5–D 11 || **19–20** Io. 17, 5

1 *τό τε* Wk: *τότε* **M** || **8** *ἑλομένους* Wk: *ἑλομένου, ἑλο-* ind., et mg. *εὐλαβου* (i. e. *εὐλαβουμένου*) **M** || **30** *ἣν* Wk: *ἦν* **M**

προστεθὲν ἀγώνισμα συντελέσαντι, ἐπιβουλῇ δὲ τοῦ ἀρχεκάκου ἡ παρακοὴ ἐν παραδείσῳ ὑπεφύη καὶ ἀνεβλάστησεν καὶ εἴ τι λοιπὸν τῷ τὴν κατόρθωσιν ἀπεγνῶσθαι ἡ κατάκρισις ἡμᾶς ἐμαιεύσατο· πρὸς ἣν παλινζωΐαν τε καὶ ἀποκατάστασιν πᾶσά τε ἡ ἐνταῦθα τῷ καθ' ἡμᾶς 5 *ζῴῳ οἰκονομία καὶ τὰ τῆς θεολόγου τείνει φωνῆς κεφάλαιον κατονομαζούσης τοῦτο {καὶ} ἓν καὶ τελείωσιν τοῦ ἀνθρωπείου γένους, καθότι τῷ προτεθέντι ἀρχῆθεν τῷ δημιουργοῦντι σκοπῷ τοῦτο τέλος ἐστὶ καὶ συμπέρασμα· φαμὲν δὲ καὶ τοὺς περί τι διαπονουμένους τὸ τέλειον* 10 *τηνικάδε παρέχειν, εἰ καὶ μὴ ἐξ ἀτελῶν τῶν διακονουμένων καὶ χρησομένων τῷ συντελουμένῳ, ἐπὰν πρὸς τὴν πρόθεσιν τῆς πραγματείας ὁ ἀρχιτέκτων ἐπιστήσῃ τὸ ἔργον, ὡς ἐπὶ τοῦ τῇ γραφῇ τὸν οἶκον διηνθικότος ἢ τῷ λιμένι τὴν ναῦν ἐνορμίζοντος, εἰ βούλει, καὶ τοὺς ἐπί τινος* 15 *νοσεροῦ χωρίου τῇ ἑαυτῶν ἀβουλίᾳ ἐνιδρυμένους οὐχὶ τῇ γνώμῃ τοῦ κυριεύοντος τότε τὸ τέλειον ἐσχηκέναι, ἐπειδὰν τῷ κατὰ νοῦν τοῦ δεσπόζοντος πολίσματι ἀποικίσωνται, οὐκ ἀτελεῖς οὐδὲ πρότερον ὅσον τῷ προηρημένῳ αὐτοῖς ἐναυλίσασθαι, τὸ τελεώτερον δὲ τῷ κατὰ τρόπον* 20 *τοῦ τοπαρχοῦντος κατασκηνοῦν κἀκείνοις λυσιτελῶς ἀνευρίσκοντες) τοῦτο δόξαν οὗτος καλεῖ Παῦλός τε τελειότητα καὶ ἡμεῖς συντιθέμεθα, τῷ τε ἀληθεστάτῳ τῆς ἐννοίας συνεπαινοίημεν καὶ ἑαυτοὺς οὐκ ἂν παραλογιζόμενοι φωραθείημεν.* | 25

129r ⟨κβ'⟩ *Τὸ γάρ τοι ἐληλυθέναι τὴν ὥραν τῆς δόξης λαμβάνειν τε τὴν τελείωσιν, ἐν ᾗ αὐτός τε ὁ υἱὸς δοξασθείη καὶ*

1 mg. *τελεία μὲν ἡ τοῦ κυριακοῦ ἀνθρώπου ψυχὴ ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει καὶ τελέως τεθέωτο ὡς ἐχώρει τὸ ὑποκείμενον, τελειότερον δὲ διὰ τὴν ἀνάστασιν ἔσχεν τὰ τῆς θεώσεως ἅτε τῇ* 30 *ἀφθαρσίᾳ γνησιωτέρας τὰς ἐλλάμψεις δεχόμενος τοῦ ἐξ ἡμῶν προσλήμματος.* || **24** mg. *τί τὸ παρὰ τῷ ἀποστόλῳ βούλεται δηλοῦν, τὸ διὰ τῶν παθημάτων τετελειῶσθαι τὸν κύριον.*

6–8 Greg. Naz. Or. 38, 16, PG 36, 329 C 11–13 || **22–23** Hebr. 2, 10 || **26** – p. 361, 2 Io. 17, 1


1 fort. *προτεθὲν* || **7** *καὶ*[1] del. Wk (cf. Greg. l. l.)

ὁ δοξάζων γεννήτωρ ἀντιδοξάζοιτο τῇ τῆς ὑπερβαλλούσης ἐκφάνσει δυνάμεως, οὐκ ἄλλο οὐδὲν ἢ τῆς ἀπὸ τῶν τεθνεώτων τυγχάνειν ἀναβιώσεως παραιτουμένου τὸ κρεῖττον τοῦ ἧττονος, καθ' ἣν τρανότεραί τε (τί γὰρ οὐ χρὴ
5 τἀληθῆ λέγειν;) τῇ τοῦ θνητοῦ εἰς ἀθάνατον καὶ ἀγήρων ἀλλοιώσει αἱ τοῦ λαμπρύνοντος χάριτες ἀποστίλβουσι καὶ ὅσον πρὸς τοῦτον τῇ δόξῃ μεταχωρεῖν καὶ οἰκειοῦσθαι τῷ παλαιῷ οἰκητηρίῳ κατὰ τὴν ἑαυτοῦ ἀναχώνευσιν ἐνεδίδοτο, ἣν τῷ πατρὶ ἀνατιθέναι τὸ συμφυὲς καὶ ὁμόγνωμον
10 καὶ ἰσότιμον τὸ πρὸς αὐτὸν ὑπισχνουμένην τε καὶ ἐμφαίνουσαν τοῦ υἱοῦ αὐτός τε ὁ ταῦτα ἐνθεάζων υἱὸς ἐδικαίωσε καὶ Πέτρος καὶ Παῦλος καὶ ὅσοι τοῦ θείου τούτου χοροῦ ἀνεδίδαξαν. αὕτη γὰρ δόξα μόνη μὴ κενουμένη μηδὲ ἐκλείπουσα, πραγμάτων ἑστώτων ἀρχὴ κατευμεγεθοῦσα
15 καὶ εἰς ἀΐδιόν τε καὶ ἀναλλοίωτον καὶ οὔποτ' ἂν ἀπολήγουσαν προϊοῦσα τὴν ὕπαρξιν καὶ τῆς ἀρχῆθεν τοῦ πεποιηκότος ἀγαθουργοῦ γνώμης τε καὶ βουλῆς τελευτὴ καὶ συμπέρασμα. ἀλλ' οὗτος ὁ λόγος τῶν μὲν ὑφ' ὑμῶν διατάσεων πορρωτάτω καὶ μακρὰν διοικίζεται, οὐ τῷ
20 τελείῳ τὸ τελεώτερον βραβευόντων καὶ ὥς γε ἐνῆν τὸ ὑποκείμενον δέξασθαι τὴν τοῦ φαιδροποιοῦντος λαμπρότητα, καθάπερ καὶ τῶν κατόπτρων ὅσα πρὸς ἥλιον ἔστραπται ἀναλόγως τῇ καθαρότητι τὰς προσβαλλούσας ἀκτῖνας ἀντανακλῶντα καὶ ἀποπάλλοντα, ἐξ ἀτελοῦς δὲ
25 τῆς προόδου ἐμμίσθῳ δόσει καμάτων προσευπορούντων τὸ τέλειον. ἐμοὶ δὲ καὶ τὸ ἐξ ἀρχῆς συλλήψεως τέλειον τοῦ ἐνανθρωπήσαντος λόγου ἐπὶ τελείῳ τῇ ἀνθρωπίνῃ κατὰ τὸν σύστοιχον κόσμον ψυχῇ πρεσβευόμενον καὶ μισθαρνίας τῆς διὰ τῶν παθημάτων χωρίς. εἰς γὰρ παράστασιν τοῦ
30 τελείου, ἄλλον τρόπον ἐρεῖν ἐπιτευκτικώτατον, τὸ πάθος

7 mg. πρὸς τὸν λαμπρύνοντα δηλ(ονότι). || **8 mg.** τὴν ἀναχώνευσιν· τὴν ἀφθάρτωσιν, τὴν ἀναβίωσιν. || **18 mg.** ἡ ὅλη σύνταξις οὕτως· 'ὁ λόγος, τουτέστιν ὁ ὀρθός, τῶν μὲν ὑφ' ὑμῶν διατάσεων πόρρω τε καὶ μακρὰν διοικίζεται'.

12 1 Petr. 1, 21; Act. 2, 22–36

ὑπὲρ τοῦ πλάσματος, οὗ μηδὲ μεῖζον, ὡς ἔργῳ, οὕτω καὶ λόγῳ ὁ τελεώτατος τὴν ἀγαθότητα καὶ ὑπερπλήρης ἐγνώρισεν, οὐκ εἰς προσθήκης δόξης ἀνάληψιν, οὕτως ἐγγὺς ὡς πάντα λόγον χρηστὸν προσμαρτυρεῖν τὴν ἐγγύτητα. εἰ μὲν οὖν μὴ ἱκανὰ ταῦτα πεῖσαι, οὐδὲν ἂν 5 ἔργον τῷ λόγῳ διατριβὴν ἔτι παρέχειν, πολλῶν καὶ εὐπόρων τῶν εἰς πειθὼ τῆς ἀληθείας εὑρισκομένων καὶ πρὸς βιαίαν ἐφελκύσασθαι συγκατάθεσιν· εἰ δ' ἱκανά, ἐπεὶ καὶ πρὸς ἄνδρα ὁ λόγος ἀφιλόνεικόν τε τὸν τρόπον καὶ μᾶλλον παντὸς ἐξαίρετον τιθέμενον τὴν ἀλήθειαν καὶ 10 ἐκ μικρῶν δοθεισῶν ἀφορμῶν ἐντρεχέστατον καταπλουτεῖν τὸ σοφώτερον, ἐνταῦθα διαναπαῦσαι τὸν λόγον κἀμοὶ βέλτιστον καταφαίνεται κἀκείνῳ δόξαι ἐρασμιώτατον.



Vatopedi 456 f. 240ʳ
(Athos-Princeton Expedition)